





BIBLIOTHECA
SCRIPTORUM GRAECORUM ET ROMANORUM
EDITA CURANTE
CAROLO SCHENKL

ORPHICA.

RECENSUIT

EUGENIUS ABEL.

ACCEDUNT PROCLI HYMNI, HYMNI MAGICI, HYMNUS IN ISIM
ALIAQUE EIUSMODI CARMINA

LIPSIAE
SUMPTUS FECIT G. FREYTAG.

PRAGAE
SUMPTUS FECIT F. TEMPSKY.

MDCCCLXXXV.

ORPHICA.

RECENSUIT

EUGENIUS ABEL.

ACCEDUNT PROCLI HYMNI, HYMNI MAGICI, HYMNUS IN ISIM
ALIAQUE EIUSMODI CARMINA

LIPSIAE
SUMPTUS FECIT G. FREYTAG.

PRAGAE
SUMPTUS FECIT F. TEMPSKY.

MDCCCLXXXV.

Praefatio.

Minorem carminum Orpheo olim falso tributorum editionem paraturus textum ad optimos codices recensitum necdum iusto apparatu critico instructum oneratumve lectoribus proponere volui, nisi quod ubique, quid in libris manuscriptis traditum, quid a doctis viris feliciter inventum esset, quam brevissime indicandum esse mihi visum est. Quo in proposito ita perstiti, ut in annotatione critica post veram lectionem coniectura inventam scripturam, in qua omnes codices fide digni consentiunt, apponerem. Lectiones curvis uncinis circumdatae in Lithicis e deterioribus codicibus sumptae sunt, in Argonauticis et in Hymnis e melioribus quidem, quae tamen paulo longius ab archetypi scriptura abesse mihi videbantur. Sunt autem boni codices, quorum rationem in hac quidem editione habere debui, Argonauticorum Ruhnkenianus, Vossianus, Vindobonensis, Strahoviensis, Neapolitanus, Marcianus, Ambrosianus, duo Mutinenses, Hymnorum integerrimi codices nonnullos versus in omnibus hucusque editionibus omissos continentes Neapolitanus, Marcianus, Ambrosianus, Mutinensis; Lithicorum praeter Ambrosianum A nullus melioris familiae codex superest. — Emendatio a viris doctis Stephano (1566), Eschenbachio (1689), Gesnero (1764), Tyrwhittio (1781), Schneidero aliis (1803) usque ad initium huius saeculi propositas magnam partem e praeclara Hermanni editione (1805) hausi; Sanctamandi observationes quasdam ineditas e codice Bodleiano olim a me descriptas ad Argonautica et Hymnos emendandos adhibere potui. Recentiorum post Hermannum criticorum praeter Vossium (1805) et Wielium virum de Orpheo optime meritum (1853. 61. 62. 66. 68. 78) non nisi raro unam alteramve

emendationem probare potui. Unum restat quod addam. Versuum numeri uncinis inclusi in Argonauticorum et Lithicorum, raro in Hymnorum margine editionis Hermannianae sunt, in qua nonnulli Lithicorum Hymnorumque versus, quos e libris manuscriptis prompsi, desunt, Argonauticorum autem versus aliquot deperditi quoque — mira sane ratione — numerantur. Hymnorum numeros ex Hermanni editione retinui, in qua Hymnus in Hecaten ab *Εὐχή* recte seiunctus est; in editionibus ante Hermannum praeterea hymnus LXXXVIII — idque fortasse recte — deest.

Fragmenta Orphica quod attinet nolui rudem indigestamque molem, quam omnes paene Orphei editiones inde a Stephaniana ne novissima quidem fragmentorum collectione Mullachiana (1857. 75) excepta exhibent, amplius propagare: immo potius viam a Lobeckio in „Aglaophamo" (1829) praeclaro exemplo patefactam persecutus sum, id est singula fragmenta non perversissimo vel potius nullo ordine ut casus tulit unum alteri subieci, sed sive certis veterum testimoniis sive sola probabilitate nisus ad singula carmina Orpheo a veteribus tributa, quorum titulos Clemens Alexandrinus, Suidas aliique nobis servaverunt, rettuli et ita disposui, ut servato etiam rerum ordine lectores ex ipsis fragmentis lineamenta quaedam Orphicae doctrinae sibi cogitatione fingere possent. Sed ne iis quidem, qui accuratiorem harum rerum notitiam sibi comparare volunt (quod sine diligentissima Lobeckii, Schusteri, Foersteri aliorumque commentationum lectione fieri nequit), meam operam prorsus inutilem esse spero, cum non solum multa fragmenta novo et fortasse hic illic meliore etiam ordine a me posita sint, sed etiam plurimi auctorum loci, qui Orphei fragmenta nobis servaverunt, a Lobeckio nonnumquam minus accurate citati, ex optimis quas nostra aetas tulit editionibus, quarum partem haud exiguam prompta Schenkelii humanitas mihi suppeditavit, in hanc editionem transscripti sint.

Fragmentis falso Orpheo tributis ea tantum *λόγια* inserui, quae in Mullachii editione inter Orphica leguntur. Quorum numerum nolui facili sane opera augere, cum vel ex fr. 299 eluceat, Proclum saltem haec oracula non ad Orpheum auctorem rettulisse.

In Appendicem hymnos aliquot Orphicis non ita dissimiles recepi, quae cum Orphicis non sine fructu comparari possunt. Procli hymnos e libris manu scriptis emendatos et in pristinum ordinem redactos edidi; puerilem epithetorum ornantium congeriem, cui *Ὕμνος εἰς Βάκχον* et *Ὕμνος εἰς Ἀπόλλωνα* titulos auctori praeponere placuit, ex Jacobsii Anthologia Graeca transscripsi; incantationes magicas a Partheyo et Millero editas coniecturarum a Meinekio, Diltheyo, Nauckio propositarum ope a nonnullis sordibus purgavi, denique Hymni in Isim omnia fragmenta primus composui primusque eis, quae Sauppe, Bergk, Welcker, Hermann ad emendationem huius carminis contulerunt, usus sum.

Haec sunt quae de huius editionis ratione praemonenda esse duxi. Integrum apparatum criticum maiori Orphicorum carminum editioni reservavi.

Scribebam Budapestini mense Junio a. MDCCCLXXXV.

Eugenius Abel.

ORPHEI ARGONAUTICA.[1]

1) Argonauticorum scriptorem antiqui Orphei nomen ementitum saeculo post Christum natum quarto post Quintum Smyrnaeum et ante Nonnum vixisse argumentis e re metrica et dicendi genere sumptis probavit Hermann.

ΟΡΦΕΩΣ
ΑΡΓΟΝΑΥΤΙΚΑ.

Ὦναξ Πυθῶνος μεδέων, ἑκατηβόλε, μάντι,
ὃς λάχες ἠλιβάτου κορυφὴν Παρνησίδα πέτρης,
σὴν ἀρετὴν ὑμνῶ· σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάσσαις·
πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς ἐτυμηγόρον αὐδήν,
ὄφρα πολυσπερέεσσι βροτοῖς λιγύφωνον ἀοιδὴν
ἠπύσω Μούσης ἐφετμαῖς καὶ πηκτίδι πυκνῇ.
Νῦν γάρ σοι, λυροεργέ, φίλον μέλος ἀείδοντι
θυμὸς ἐποτρύνει λέξαι, τάπερ οὔποτε πρόσθεν
ἔφρασ', ὅτ' ἐν Βάκχοιο καὶ Ἀπόλλωνος ἄνακτος
κέντρῳ ἐλαυνόμενος φρικώδεα κῆλα πίφαυσκον
θνητοῖς ἀνθρώποισιν, ἀκήρατα δ' ὄργια μύσταις·
ἀρχαίου μὲν πρῶτα χάους ἀμέγαρτον Ἀνάγκην,
καὶ Χρόνον, ὡς ἐλόχευσεν ἀπειρεσίοις ὑπὸ κόλποις
Αἰθέρα καὶ διφυῆ πυριωπέα κυδρὸν Ἔρωτα,
Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν, ὅν ῥα Φάνητα
ὁπλότεροι καλέουσι βροτοί· πρῶτος γὰρ ἐφάνθη.

---

2 κορυφὴν Voss] κορυφῆς. — Παρνησίδα Hermann] παρνασσίδα. — πέτρης Voss] πέτρην. — 9 ὅτ' ἐν Wiel] ὅτ' ἂν vel ὅταν. — 10 κῆλα πιφαύσκω Hermann, κῆλα πίφαυσκον Wiel pro κῆλ' ἐπίφαυσκον (κῆλ' ἐπίφασκον). — 11 ἀκήρατα Wiel] ἄκη μετά. — ὄργια Sanctamandus] ὄρκια (ὅρκια). — Ἀνάγκην Abel] ἀνάγκην. — 13 Χρόνον Zoëga] κρόνον. — ἀπειρεσίοις ὑπὸ κόλποις Steuchus] ἀπειρεσίῃσιν (ἀπειρεσίοισιν) ὑπ' ὁλκοῖς. — 14 πυριωπέα Abel] περιωπέα. — 15 φανῆτα codd. — 16 καλέουσι Stephanus] κικλήσκουσι.

Βριμοῦς τ᾿ εὐδυνάτοιο γονάς, ἠδ᾿ ἔργ᾿ ἀίδηλα
Γηγενέων, οἳ λυγρὸν ἀπ᾿ Οὐρανοῦ ἐκμάξαντο
σπέρμα γονῆς, τό τε πρόσθεν ὅθεν γένος ἐξεγένοντο
θνητῶν, οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι·
θητείην Παιᾶνος, ὀρεσσιδρόμου τε λατρείην
μητρός, ἅ τ᾿ ἐν Κυβέλοις ὄρεσιν μητίσατο κούρην
Φερσεφόνην περὶ πατρὸς ἀμαιμακέτου Κρονίωνος·
ῥαιομένου τε Ζαγρῆος περίφημον ἄμυξιν·
ὄργιά τ᾿ Ἰδαίων, Κορυβάντων τ᾿ ἄπλετον ἰσχύν·
Δήμητρός τε πλάνην καὶ Φερσεφόνης μέγα πένθος·
θεσμοφόρος θ᾿ ὡς ἦν· ἠδ᾿ ἀγλαὰ δῶρα Καβείρων·
χρησμούς τ᾿ ἀρρήτους Νυκτὸς περὶ Βάκχου ἄνακτος·
Λῆμνόν τε ζαθέην ἠδ᾿ εἰναλίην Σαμοθρῄκην,
αἰπεινήν τε Κύπρον καὶ Ἀδωναίην Ἀφροδίτην.
ὄργια Πραξιδίκης καὶ ὀρεινῆς μητρὸς ἄθυρμα·
θρήνους τ᾿ Αἰγυπτίων καὶ Ὀσίριδος ἱερὰ χύτλα.
ἀμφὶ δὲ μαντείης ἐδάης πολυπείρονας οἴμους
θηρῶν τ᾿ οἰωνῶν τε, καὶ ἣ σπλάγχνων θέμις ἐστίν·
ἠδ᾿ ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς
ψυχαὶ ἐφημερίων ὕπνῳ βεβολημέναι ἦτορ·
σημείων τεράτων τε λύσεις ἄστρων τε πορείας·
ἁγνοπόλον τε καθαρμόν, ἐπιχθονίοις μέγ᾿ ὄνειαρ·
ἱλασμούς τε θεῶν φθιμένων τ᾿ ἐπινήχυτα δῶρα.
ἄλλα δέ σοι κατέλεξ᾿, ἅπερ εἴσιδον ἠδ᾿ ἐνόησα,
Ταίναρον ἡνίκ᾿ ἔβην σκοτίην ὁδὸν Ἄϊδος εἴσω
ἡμετέρῃ πίσυνος κιθάρῃ, δι᾿ ἔρωτ᾿ ἀλόχοιο·

---

18 *Γηγενέων* manus correctrix in aliquot codd.] *γιγάντων*. — *ἐκμάξαντο* Hermann] *ἐστάξαντο* (*ἐτάξαντο*). — 19 *τό τε πρόσθεν* Hermann] *τὸ πρόσθεν*. — 21 *θητείην* Abel] *θητείαν*. — *Παιᾶνος* Abel] *τε ζηνός*. — *λατρείην* Abel] *λατρείαν*. — 24 *ῥαιομένου τε Ζαγρῆος* Abel] *καὶ μήλου* (*εὐμήλου*) *τε καὶ ἡρακλέος*. — 25 *ὄργια* Sanctamandus] *ὅρκια*. — 29 *Σαμοθρῄκην* Hermann] *σαμοθράκην*. — 31 *ὀρεινῆς* Hermann recepta aliquot bonorum codicum ser iptura *μητρὸς* pro *νυκτός*] *ἀρείνης*. — *ἄθυρμα* Abel] *ἀθήνης*. — 33 *οἴμους* Ruhnken] *ὅρμους*. — 34 *τ᾿* Slothouwer addidit. — *θέμις* Wiel] *θέσις*.

ἠδ' ὅτ' ἐν Αἰγύπτῳ ἱερὸν λόγον ἐξελόχευσα
Μέμφιν ἐς ἠγαθέην πελάσας ἱεράς τε πόληας
Ἄπιδος, ἃς πέρι Νεῖλος ἀγάρροος ἐστεφάνωται·
πάντα μάλ' ἀτρεκέως ἀπ' ἐμῶν στέρνων δεδάηκας.
Νῦν δ', ἐπεὶ ἠερόφοιτος ἀπέπτατο δήϊος οἶστρος
ἡμέτερον δέμας ἐκπρολιπὼν εἰς οὐρανὸν εὐρύν,
πεύσῃ ἀφ' ἡμετέρης ἐνοπῆς, ὅσσα πρὶν ἔκευθον·
ὥς ποτε Πιερίην Λειβήθρων τ' ἄκρα κάρηνα
ἡρώων τε καὶ ἡμιθέων πρόμος εἰσεπέρησε
λισσόμενός μ' ἐπίκουρον ἑοῦ νόστοιο γενέσθαι
ποντοπόρῳ σὺν νηὶ πρὸς ἄξενα φῦλ' ἀνθρώπων
ἔθνος ἐς ἀφνειὸν καὶ ἀτάσθαλον, ᾧ ἔνι κραῖνεν
Αἰήτης, υἱὸς φαεσιμβρότου Ἠελίοιο.
Θέσφατα γὰρ Πελίης δειδίσσετο, μή οἱ ὄπισθε
χειρὸς ὑπ' Αἰσονίδης καθέλῃ βασιλήιον ἀρχήν.
καί οἱ ὑπὸ πραπίδεσσι δόλου τρίβον ἠπερόπευε·
τάσσε γὰρ ἐκ Κόλχων κῶας χρύσειον ἐνεῖκαι
Θεσσαλίην εὔπωλον. ὃ δ' ὡς κλύεν ἔκνομον αὐδήν,
χεῖρας ἐπαντείνας ἐπεκέκλετο πότνιαν Ἥρην·
τήνδε γὰρ ἐκ μακάρων περιώσια κυδαίνεσκεν.
ἣ δ' ἄφαρ εὐχωλῇσιν ἐφέσπετο κηδομένη περ·
ἔξοχα γὰρ μερόπων ἠγάζετο καὶ φιλέεσκε
δεινοβίην ἥρωα περικλυτὸν Αἴσονος υἷα·
καί ῥα καλεσσαμένη ἐπετέλλετο Τριτογενείῃ,
ἥ οἱ φηγινέην πρῶτον τεκτήνατο νῆα,
ἣ καὶ ὑπ' εἰλατίνοις ἐρετμοῖς ἁλιμυρέα βένθη
πρώτη ὑπεξεπέρησε, τρίβον δ' ἤνυσε θαλάσσης.
Ἀλλ' ὅτε δὴ συνάγειρεν ἀγακλειτοὺς βασιλῆας,
Θρῄκην εἰς εὔπωλον ἐπείγετο δῖος Ἰήσων,
καί μ' ἐκίχανε χέλυν πολυδαίδαλον ἐντύνοντα,
ὄφρα κέ σοι μέλπων προχέω μελίγηρυν ἀοιδήν,

43 ὅτ' ἐν Voss] ὅσον. — Αἰγύπτῳ Schneider] αἰγυπτίων. — 45 πέρι Gesner] περὶ. — 49 ὅσσα Wiel] ἅ. — 51 εἰσεπέρησε Schneider] ἐξεπέρησε. — 54 ἔνι Abel] ἐνί. — 57 Αἰσονίδης Wiel] αἰσονίδα. — 59 κῶας χρύσειον Gerhard] χρύσειον κῶας. — 63 δ' ἄφαρ Wiel] δὲ παρ'.

κηλήσω δέ τε θῆρας ἰδ' ἑρπετὰ καὶ πετεηνά.
ἡνίκα δ' εἰς ἄντρον πολυήρατον εἰσεπέρησε,
μείλιχον ἐκ λασίων στέρνων ἀνενείκατο φωνήν·
'Ορφεῦ, Καλλιόπης τε καὶ Οἰάγρου φίλε κοῦρε,
Βιστονίῃ Κικόνεσσι πολυρρήνοισιν ἀνάσσων,
χαῖρ', ἐπεὶ Αἱμονίας ὀχεὰς πρώτιστον ἱκάνω,
Στρυμονίας τε ῥοὰς 'Ροδόπης τ' αἰπεινὰ πρὸς ἄγκη.
εἰμὶ δ' ἐγὼ Μινύῃσι πανέξοχον αἷμα λελογχώς,
Θεσσαλὸς Αἰσονίδης· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἀλλὰ φίλος, πρόφρων μ' ὑποδέχνυσο καὶ κλύε μῦθον
μειλιχίαις ἀκοαῖς, καὶ λισσομένῳ ὑπάκουσον,
'Αξείνου πόντοιο μυχοὺς καὶ Φᾶσιν ἐραννὸν
νηὶ σὺν 'Αργῴῃ πλεῦσαι, δεῖξαί τε θαλάσσης
Παρθενίης ἀτραποὺς ἐπιήρανον ἡρώεσσιν,
οἵ ῥα τεὴν μίμνουσι χέλυν καὶ θέσφατον ὀμφὴν
ἐλδόμενοι ξυνῶν πελάγει ἐπαρηγόνα μόχθων.
οὐ γὰρ δὴ πλεῦσαι πρὸς βάρβαρα φῦλα μέδονται
νόσφι σέθεν· καὶ γάρ ῥα ποτὶ ζόφον ἠερόεντα,
νείατον ἐς κευθμῶνα, λιτῆς ἐς πυθμένα γαίης,
μοῦνον ἀπ' ἀνθρώπων πελάσαι καὶ νόστον ἀνευρεῖν
* * *
ὧν ἕνεκα ξυνήν τε δίην Μινύῃσιν ἀρέσθαι
καὶ κλέος, ἀνθρώποισιν ἐπ' ἐσσομένοισι πυθέσθαι.
Τὸν μὲν ἐγὼ μύθοισιν ἀμειβόμενος προσέειπον·
Αἰσονίδη, τί με ταῦτα παραιφάμενος ἐρεείνεις,
ὄφρα κεν ἐς Κόλχους Μινύαις ἐπιήρανος ἔλθω
νηὶ σὺν εὐσέλμῳ πλεύσας ἐπὶ οἴνοπα πόντον;
ἤδη γάρ μοι ἅλις καμάτων, ἅλις ἔπλετο μόχθων,
ὧν ἱκόμην ἐπὶ γαῖαν ἀπείριτον ἠδὲ πόληας
Αἰγύπτῳ Λιβύῃ τε βροτοῖς ἀνὰ θέσφατα φαίνων.

---

79 *Αἱμονίας* Abel] *αἱμονίους*. — *ὀχεάς* Schneider] *ὀχέας*. — 80 *Στρυμονίας* Schneider] *στρυμονίους*. — 81 *Μινύῃσι* Hermann] *μινύαισι*. — 85 *ἐραννόν* Heringa] *ἐρυμνόν*. — 86 *πλεῦσαι* Huschke] *πελάσαι*. — 87 *ἐπιήρανον* Pierson] *ἐπιήρατον*. — 89 *ἐλδόμενοι* Ruhnken] *ἐλπόμενοι*. — 92 *ἐς* bis scripsi pro *εἰς*. — 93 lacunae *signa* Hermann posuit. — 94 *Μινύῃσιν* Hermann] *μινύαισιν*.

καί ῥά μ᾽ ἀλητείης τε καὶ ἐξ οἴστρου ἐσάωσε
μήτηρ ἡμετέρη, καί ῥ᾽ ἐς δόμον ἤγαγεν ἁγνόν,
ὄφρα τέλος θανάτοιο κίχω μετὰ γήραϊ λυγρῷ.
ἀλλ᾽ οὐκ ἔσθ᾽ ὑπαλύξαι, ἃ δὴ πεπρωμένα κεῖται.
Μοιρῶν ἐννεσίῃσιν ἐπείγομαι· οὐ γὰρ ἄτιμοι
ἱκεσίου Ζηνὸς κοῦραι Λιταί. ἵξομαι ἤδη
ὁπλοτέροις βασιλεῦσι καὶ ἡμιθέοις ἐνάριθμος.
Καὶ τότε δὴ λίπον ἄντρον ἐπήρατον ἠδ᾽ ἐπέρησα
αὐτῇ σὺν φόρμιγγι καὶ ἐς Μινύας ἀφίκανον
λαιψηροῖσι πόδεσσιν ὑπὲρ Παγασηίδας ἀκτάς.
ἔνθα δ᾽ ἀριστήων Μινυῶν λόχος ἠγερέθοντο·
στεῖνον δὲ ψαμάθους ὁμάδῳ ῥηγμῖνά τ᾽ Ἀναύρου.
ἀλλ᾽ ὅτε δή μ᾽ ἐνόησαν ἀταρπιτὸν ἐξανύοντα,
ἀσπασίως ἤγερθεν· ἐγήθεε δ᾽ ἦτορ ἑκάστῳ.
αὐτὰρ ἐμυθεόμην ἐρεείνων ἄνδρας ἀρίστους.
Πρῶτα δὲ εἶδα βίην Ἡρακλῆος θείοιο,
ὃν τέκεν Ἀλκμήνη Ζηνὶ Κρονίωνι μιγεῖσα,
ἦμος ὅτε τρισσὴν μὲν ἐλείπετο σείριος αἴγλην
ἠέλιος, δολιχὴ δ᾽ ἐπεμαίετο πάντοθεν ὄρφνη.
Τῖφύν τ᾽ Ἀγνιάδην, δολιχῆς ἰθύντορα νηός·
Θεσπιέων δ᾽ ὅγε δῆμον ἐφ᾽ ὕδασι Περμησσοῖο,
ἀγχούρου λαοῖς Σιφαέσι ῥεῖθρον ἄμειβεν·
ὃς πέρι μὲν βύκτῃσι καὶ ἀργήεσσιν ἀέλλαις
νῆα κατιθύνειν δεδάει πολυμήτιδι τέχνῃ.
Κάστορά θ᾽ ἱππόδαμον Πολυδεύκεά τ᾽ εἰσενόησα
καὶ Μόψον Τιταρῆθεν, ὃν Ἄμπυκι νυμφευθεῖσα
Χαονίην ὑπὸ φηγὸν Ἀρηγονὶς ἐξελόχευσε·
Πηλέα τ᾽ Αἰακίδην, Αἰγίνης ἀγλαὸν υἱόν,
ὃς Δολόπεσσιν ἄνασσεν ἐνὶ Φθίῃ ἐριβώλῳ.

---

103 *καί ῥά μ᾽* Hermann] *καί με.* — 104 *ἐς* scripsi pro *εἰς.* — *ἁγνόν* Wiel] *ἄλλον.* — 115 *στεῖνον δὲ* Sanctamandus] *στεινὸν δή.* — *ψαμάθους* Schneider] *ψαμάθου.* — 123 *δῆμον* Wiel] *τῆμος.* — *Περμησσοῖο* Schneider] *περμησσοῖο* (*τελμησσοῖο* similia.) — 124 *ἀγχούρου λαοῖς Σιφαέσι ῥεῖθρον* Wiel] *ἄγχουρος λαοῖσι φαεσ(σ)ίρειθρον.* — 125 *πέρι* Hermann] *περί.* — 126 *δεδάει* Hermann] *δέδαεν.*

τρισσὴν δ' Ἑρμείαο κλυτὴν εἰσέδρακα γένναν,
Αἰθαλίδην, ὃν ἔτικτε περικλυτὴ Εὐπολέμεια,
Μυρμιδόνος θυγάτηρ, Ἀλόπῃ ἐνὶ πετρηέσσῃ·
ἠδ' Ἔρυτον καὶ καλὸν Ἐχίονα, τούς ποτε νύμφη
Λαοθόη Μενετοῖο παρευνηθεὶς ἐλόχευσε
Κυλλήνης μεδέων χρυσόρραπις Ἀργειφόντης.
αὐτὰρ Ἀλεκτορίδης καὶ βουφάγος ἦλθε Κόρωνος.
Ἴφικλος αὖ Φυλάκου δῖον γένος ἀντεβόλησε·
Βούτης τ' Αἰνιάδης, ἴκελος χρυσάορι Φοίβῳ.
Κάνθος δ' Εὐβοίηθεν Ἀβαντιάδης ἐπέρησεν,
ὃν δὴ μοῖρ' ἐδάμασσε, τέλος δ' ἐπέθηκεν ἀνάγκη,
φθίσθαι ὑπὲρ Λιβύης, νόστον δ' οἴκοιο λαθέσθαι.
Ἄλκωνος δὲ Φάληρος ἀπ' Αἰσήποιο ῥοάων
ἤλυθεν, ὃς Γύρτωνος ἁλιστεφὲς ἔκτισεν ἄστυ.
Ἴφιτος αὖ μετὰ τοῖσιν ἐφέσπετο Ναυβόλου υἱός,
Φωκίδος ἕς ῥ' ἤνασσε καὶ εὐπύργοιο Τανάγρης.
Λαοδόκος, Ταλαὸς καὶ Ἀρήιος, υἱοὶ ἄμωμοι
ἦλθον Ἀβαντιάδαι περιώνυμοι, οὓς τέκε Πηρώ.
Ἀμφιδάμας δ' Ἀλέου πάϊς ἤλυθε· πέμψε γὰρ αὐτὸν
ἴφθιμος γενέτης Τεγέης ὅρια προλιπόντα.
ἤλυθε δ' Ἐργῖνος, Βράγχου πολύπυρον ἄρουραν
ἐκπρολιπὼν καὶ πύρσιν ἐρυμνῆς Μιλήτοιο,
ἔνθα ῥοαὶ κλύζουσι πολυπλανέος Μαιάνδρου.
ἐν δὲ Περικλύμενος Νηλήιος εἰσαφίκανεν,
ἀγχόθι Παλλήνης τε καὶ εὐύδροιο Λιπάξου
ἄστυ λιπὼν ἀφνειὸν ἐλειονόμους τε Κολώνας.
ἐκ δὲ λιπὼν Καλυδῶνα θοὸς Μελέαγρος ἔβαινεν,
Οἰνεὺς τόν ῥ' ἐλόχευσε καὶ Ἀλθαίη ῥοδόπηχυς.
Ἴφικλος αὖτ' ἐπέρησε λιπὼν Ἀτρακηίδα λίμνην.

135. 136 εὔρυτον, ἐγχίονα, νύμφη λαοθόη μερετοῖο παρευνηθεῖσ' ἐλ. plerique boni libri. — 138 αὐτὰρ Ἀλεκτορίδης Hermann] αὐτίκα δ' ἀκτορίδης. — 139 ἀντεβόλησεν (sic) Hermann] ἀντετόρησε. — 140 ἴκελος codd. plurimi. — 148 Ταλαός Eschenbach] τ' ἀγλαός (τ' ἀλαός). — 149 τηρώ vel τυρώ codd. vett. — 150 Ἀμφιδάμας Gesner] ἰφιδάμας. — πάϊς Abel] παῖς. — 153 ἐρυμνῆς Wesseling] ἐρεμνῆς. — 156 Παλλήνης Eschenbach] πελλήνης.

σύγγονος Ἀλθαίης· πέρι δ᾽ αὖ τίεν ἔξοχα πάντων
εὐειδῆ Μελέαγρον ἰδ᾽ ἀγλαὰ ἔργ᾽ ἐδίδασκεν.
Ἀστερίων δ᾽ ἐπέρησε πάις κλεινοῖο Κομήτου,
Πειρεσίην ὃς ἔναιεν, ἵν᾽ Ἀπιδανοῖο ῥεέθροις
Πηνειὸς μίσγων ξυνὸν ῥόον εἰς ἅλα πέμπει.
Εὐρυδάμας δ᾽ ἐπέρησε λιπὼν Βοιβηίδα λίμνην,
ἀγχόθι Πηνειοῖο καὶ εὐπελαγέος Μελιβοίης.
αὐτὰρ ἔπειτ᾽ Ἐλάτοιο πάις Πολύφημος ἀγήνωρ,
ὅς σφιν ἐν ἠνορέῃσι μετέπρεπεν ἡρώεσσιν,
ἠθεῖος Καινῆος, ἀφίκετο, τόν ῥά τέ φασι
μισγόμενον Λαπίθαις ὑπὸ Κενταύροισι δαμῆναι
θεινόμενον πεύκῃσι τανυφλοίοις τ᾽ ἐλάτῃσι,
καί οἱ ἀνατλῆναι καὶ ἀκαμπέα γούνατ᾽ ἐρεῖσαι,
ζῳόν τ᾽ ἐν φθιμένοισι μολεῖν ὑπὸ κεύθεα γαίης.
Ἄδμητος δ᾽ ἀφίκανε Φεραιόθεν, ᾧ ποτε Παιὰν
θητεύων ὑπόεικε· Διὸς δ᾽ ἠλεύατο μῆνιν,
οὕνεκά οἱ Κύκλωπας ἀμαιμακέτοισιν ὀιστοῖς
ἐν φθιμένοισιν ἔτευξ᾽ Ἀσκληπιοῦ εἵνεκα λώβης.
ἤλυθε δ᾽ Εὐρυτίων Ἴρου πάϊς Ἀκτορίωνος,
τρηχείην Ὀπόεντα λιπών· σὺν δ᾽ ἤλυθεν Ἴδας
Λυγκεύς θ᾽, ὃς τήλιστα δι᾽ αἰθέρος ἠδὲ θαλάσσης
βένθεα, καὶ Πλουτῆος ὑποχθονίοιο βέρεθρα
μοῦνος ἀπ᾽ ἀνθρώπων δεινοῖσιν ὀπώπεεν ὄσσοις.
αὐτὰρ ἐπὶ Τελαμὼν συνεφέσπετο, τόν ῥ᾽ ἐλόχευσεν
Αἰακῷ ἀτρύτῳ κούρη κλυτοῦ Ἀσωποῖο
Αἴγιν᾽ ἐν κροκάλῃσιν ἁλιστεφέος Σαλαμῖνος.
δὴ τότ᾽ Ἄβαντος παῖς νόθος ἤλυθε καρτερὸς Ἴδμων,
τόν ῥ᾽ ὑποκυσαμένη τέκεν Ἀπόλλωνι ἄνακτι
Ἀμφρύσου παρὰ χεῦμα Φερητιὰς Ἀντιάνειρα.

161 πέρι Hermann] περί. — 164 ἵν᾽ Hermann addidit. — 166 ἐπέρησε] Gesner] ἐπόρευσε. — 168—170 ἀγήνωρ pro ἵκανεν, ἠθεῖος pro ἠνειός scripsit et punctum post ἡρώεσσιν in comma mutavit Wiel. — 172 πεύκῃσι Hermann] πεύκαισι (πεύκαις). — 174 ζῳόν scripsi pro ζωόν. — 177 οἱ Schneider] τοι. — 178 ἐν φθιμένοισιν Pierson] ἐν φθιτοῖσιν. — Ἀσκληπιοῦ Sanctamandus] ἀσκληπιοῖο. — 179 Εὐρυτίων Ἴρου Burmann] ἀκτορίων ἶλου. — πάϊς Abel] παῖς. — 189 Ἀμφρύσου Heringa] ἀμβρόσιον.

τῷ καὶ μαντοσύνην ἔπορεν καὶ θέσφατον ὀμφὴν
Φοῖβος, ἵν' ἀνθρώποισιν ἀρηρότα μυθίζοιτο.
ἤλυθε δ' αὖ μετὰ τοῖσι Μενοίτιος ἐξ Ὀπόεντος,
σύγχορτος Μινύαις· ἔπι δ' ἤλυθε δῖος Ὀιλεύς.
Φλίας δ' ἐξίκανε περικλυτός, ὅν ποτε Βάκχῳ
νύμφη ὑποκλινθεῖσα παρ' Ἀσωποῖο ῥοῇσι
τίκτεν ἄμωμον ἔχοντα δέμας καὶ ἐπίφρονα μῆτιν.
Κηφεὺς δ' Ἀρκαδίηθε μεθ' ἡρώεσσι πελάσθη.
Ἀγκαῖον δ' ἀν' ὅμιλον ἀπ' Ἀρκαδίης πολυμήλου
πέμψε πατὴρ γηραιὸς ἐπὶ πλόον Ἀξείνοιο·
οὗτος δ' οὔποτε χλαῖναν ἐπὶ στιβαροῖς βάλεν ὤμοις,
ἀλλ' ἄρκτου λάσιον στέρνοις ἀμπίσχετο δέρμα.
Ναύπλιος αὖθ' ἵκανεν, Ἀμυμώνης φίλος υἱός,
ὃν τέκεν εὐνηθεῖσα περικλυτῷ Ἐννοσιγαίῳ,
ἀγλαὸν ἠνορέην, δέμας εἴκελον ἀθανάτοισι.
Ταιναριεὺς δ' Εὔφημος ἔβη Μαλεήτιδος ἄκρης
ἐκπρολιπὼν αὐλῶνας ἁλικλύστους τε Θεράπνας.
Ἀγκαῖός τ' ἔμολε Πλευρώνιος, ὅς ῥα πορείας
οὐρανίας ἄστρων ἐδάη κύκλους τε πλανήτας·
δίζετο γὰρ τά τ' ἐόντα τά τ' ἐσσόμεν' ἀνθρώποισιν.
ἐν δὲ Παλαιμόνιος Λέρνου νόθος ἤλυθεν υἱός·
σίνετο δὲ σφυρὰ δισσά, πόδας δ' οὐκ ἦεν ἀρηρώς·
τοὔνεκεν Ἡφαίστοιο γόνον καλέεσκον ἅπαντες.
ἤλυθε δ' Ἀλφειοῖο λιπὼν Πισήτιδας ὄχθας
Αὐγείης, υἱὸς πυριφεγγέος Ἠελίοιο.
ναὶ μὴν καὶ δισσοὶ ὅρπηκες ἀμύμονες ἦκον,
Ἀμφίων κλυτόφημος ἰδ' Ἀστέριος μενεχάρμης,
Πελλήνην προλιπόντες ἰδ' ἤθεα πατρίδος αἴης.
δισσὸν δ' αὖ Βορέου καλὸν στάχυν εἰσενόησα,
οὓς τέκ' Ἐρεχθῆος κούρη κλυτὴ Ὠρείθυια
Ἰλισσοῦ παρὰ χεῦμα θεοῦ φιλότητι μιγεῖσα·

193 *σύγχωρος* codd. optimi. — *ἔπι* Hermann] *ἐπί*. — 195 *Ἀσωποῖο* Eschenbach] *αἰσήποιο* boni codd. — 197 *δ'* Hermann] *τ'*. — 204 *ἴκελον* codd. — 205 *ἔφηβος* codd. — *Μαλεήτιδος* Hermann] *μαλεάτιδος*. — 213 *Πισήτιδας* Hermann] *πισιδάτιδας*. — 219 *κούρη* Hermann] *θείου*.

οἳ δὴ καὶ ταρσοῖσιν ὑπουατίοις πεπότηντο,
Ζήτης καὶ Κάλαϊς, δέμας εἴκελοι ἀθανάτοισιν.
αὐτὰρ δὴ Πελίαο Φεραιόθεν ἤλυθ᾽ ἄνακτος
* * *
ἀγχιστεύς. νηὸς γὰρ ἐπ᾽ Ἀργφώης λελίητο
ἄξεινον ποτὶ Φᾶσιν ἅμ᾽ ἡρώεσσι πελάσσαι.
σὺν δέ οἱ ἦλθ᾽ ἕταρος Ἡρακλῆος θείοιο,
καλὸς Ὕλας· τῷ δ᾽ οὔπω ὑπὲρ δροσεροῖο γενείου
ἀργεννὰς ἐρύθηνε παρηΐδας ἁβρὸς ἴουλος,
ἀλλ᾽ ἔτι κοῦρος ἔην, πολὺ δ᾽ ἥνδανεν Ἡρακλῆι.
  Οὗτοι μὲν ποτὶ νῆα καὶ ἐς λόχον ἠγερέθοντο.
καί ῥά οἱ ἄλλοθεν ἄλλος ἐκέκλετο ἠδ᾽ ἀγόρευε.
δεῖπνα δὲ πορσύνοντο πολυξείνοιο τραπέζης
ἥμενοι ἑξείης· πόθεεν δέ τοι ἔργον ἕκαστος.
αὐτὰρ ἐπεὶ σίτοιο ποτοῦ θ᾽ ἅλις ἔπλετο θυμῷ,
ἀνστάντες ῥ᾽ ἅμα πάντες ἀπὸ ψαμάθοιο βαθείης
ἤιον, ἔνθα τ᾽ ἔμιμνεν ὑπὲρ ψαμάθου ἁλίη νηῦς.
τὴν ῥα τότ᾽ εἰσορόωντες ἐθάμβεον· αὐτὰρ ἔπειτα
Ἄργος ἐπιφροσύνῃσι νόου πόρσυνεν ὀχλίζειν
δουρατέῃσι φάλαγξι καὶ εὐστρέπτοισι κάλωσι
πρυμνόθεν ἀρτήσας. κάλεεν δ᾽ ἐπὶ μόχθον ἱκάνειν
πάντας κυδαίνων. οἳ δ᾽ ἐσσυμένως ὑπάκουσαν·
τεύχεα δ᾽ ἐκδύνοντο, περὶ στέρνοισι δ᾽ ἀνῆπτον
σειραίην μήρινθον· ἐπέβριθεν δ᾽ ἄρ᾽ ἕκαστος
αἶψα θοὸν ποτὶ κῦμα κατειρύσαι εὔλαλον Ἀργώ.
ἣ δέ οἱ ἐγχριμφθεῖσα ποτὶ ψαμάθῳ βεβάρητο,

221 ὑπουατίοις Gesner] ὑπ᾽ οὐατίοις. — 223 versum hic deesse primus Pierson vidit. — 224 Ἀργφώης Sanctamandus] ἀργφώας. — λελίητο Pierson] γεγένητο. — 225 φάσιν codd. — 226 ἑτάρος (ἑτάρως) codd. — 227 τῷ δ᾽ Stephanus] τὸν δ᾽. — 228 ἀργεννὰς ἐρ. παρηΐδας Stephanus] ἀργενὴς ἐρ. παρηΐδος. — 229 ἥνδανεν codd. — 232 δὲ πορσύνοντο Hermann] δ᾽ ἐπορσ. — Versus 233 et 234 in edd. ante Hermannum inverso ordine legebantur. 234 θυμῷ Stephanus] θυμός. — 235 ῥ᾽ ἅμα Hermann] δ᾽ ἅμα. — 237 τότ᾽ Schneider] ποτ᾽. — 238 ἐπιφροσύνῃσι Abel] ἐφημοσύνῃσι. — 239 δουρατέῃσι Hermann] δουρατέεσσι. — 240 ἀρτύσας codd. —

αἰαλέοις φύκεσσιν ἐρυκομένη ποτὶ χέρσον,
ἡρώων παλάμῃσιν ὑπὸ στιβαρῇσιν ἀπειθής.
παχνώθη δ' αὖ θυμὸς Ἰήσονος· αὐτὰρ ἔμοιγε
νεῦσεν ὀπιπεύων, ἵνα οἱ θάρσος τε βίην τε
μολπῇ ὑφ' ἡμετέρῃ κεκμηόσιν αὖτις ὀρίνω.
αὐτὰρ ἐγὼ φόρμιγγα τιταινόμενος μετὰ χερσὶ
μητρὸς ἐμῆς ἐκέρασσ' εὐτερπέα κόσμον ἀοιδῆς,
καί οἱ ἀπὸ στηθέων ὄπα λείριον ἐξελόχευσα·
"Ἔξοχον ἡρώων Μινυήιον αἷμα γενέθλης,
εἰ δ' ἄγε νῦν στερεοῖσιν ὑπὸ στέρνοισι κάλωας
βρίσαθ' ὁμορροθέοντες, ἐρείσατε δ' ἴχνια γαίῃ
ταρσοῖσιν ποδὸς ἄκρον ὑπερβλήδην τανύσαντες,
καὶ χαροπὸν ποτὶ χεῦμα γεγηθότες ἕλξατε νῆα.
Ἀργώ, πεύκῃσίν τ' ἠδὲ δρυσὶ γομφωθεῖσα,
ἄι' ἐμῆς ἐνοπῆς· καὶ γὰρ πάρος ἔκλυες ἤδη,
ἡνίκα δένδρε' ἔθελγον ἐν ὑλήεντι κολώνῃ
πέτρας τ' ἠλιβάτους, καί μοι κατὰ κόσμον ἔβαινον
οὔρε' ἀποπρολιποῦσαι· ἐπίσπεο δ' αὖτε θαλάσσης
Παρθενίης ἀτραπούς· σπέρχευ δ' ἐπὶ Φᾶσιν ἀμείβειν
ἡμετέρῃ πίσυνος κιθάρῃ καὶ θεσκέλῳ ὀμφῇ.
Δὴ τότ' ἐπιβρομέουσα Τομαριὰς ἔκλυε φηγός,
ἥν οἱ ὑποτροπίην Ἄργος θέτο νηὶ μελαίνῃ
Παλλάδος ἐννεσίῃσιν· ἀνηέρθη δὲ μάλ' ὦκα
δούρατ' ἐλαφρίζουσα, θοὴ δ' ὠλίσθανε πόντῳ·
καί οἱ ἐπειγομένη θαμινὰς ἐκέδασσε φάλαγγας,
αἵ οἱ ὑπὸ τρόπιν εἶντο μιῆς σχοίνοιο ταθεῖσαι.
ἐν δ' ἄρ' ἔβη λιμένας, χαροπὸν δ' ἀνεχάσσατο κῦμα·
θῖνες δ' ἀμφέκλυσθεν· ἐγήθει δὲ φρέν' Ἰήσων,

246 *φύκεσσιν* Hermann] *φυκέεσσιν.* — 250 *αὖθις* (sic) Wiel] *αἰέν.* — 251 *τιταινόμενος* Abel] *τιτηνάμενος.* — 254 *μινήιον* (*μινύηον*) codd. — 255 *στερεοῖσιν* Hermann] *στερροῖσιν.* — 260 *ἄι'* Heringa] *αἰέν.* — 262 *κατὰ κόσμον* Abel] *κατὰ πόντον.* — 263 *οὔρε' ἀποπρολιποῦσαι* Ruhnken] *οὔρεα* (*οὔρηα*) *προλιπ.* — *ἐπέσπεο* codd. — 264 *σπέρχευ* Hermann] *σπέρχου.* — *Φᾶσιν* Heringa] *πᾶσιν.* — 271 *ὑπὸ τρόπιν εἶντο* Hermann] *ὑπὸ τρόπι* (*ὑποτροπίῃ, ὑποτροπίην*) *κεῖντο.* — *μιῆς* Hermann] *μιᾶς.* — 272 *λιμένας* Hermann] *λιμένος.* — 273 *φρέν'* Stephanus] *φρένας.*

ἆλτο δ' ἔσω νεὸς Ἄργος, ἐφέσπετο δ' αὐτόθι Τῖφυς,
καί οἱ ἐπαρτέα θῆκαν ἀρηρότα πορσύνοντες
ἱστόν τ' ἠδ' ὀθόνας· ἐπὶ δ' αὖτ' οἴηκας ἔδησαν
πρυμνόθεν ἀρτήσαντες, ἐπεσφίγξαντο δ' ἱμᾶσιν.
αὐτὰρ ἐπεὶθ' ἑκάτερθεν ἐρετμοὺς ἡπλώσαντο,
εἰσβαίνειν δ' ἐκέλευον ἐπειγομένους Μινύας·
τοῖσιν δ' Αἰσονίδης ἔπεα πτερόεντα προσηύδα·

Κέκλυτέ μευ, βασιλῆες ἀμύμονες· οὐ γάρ ἔμοιγε
ἁνδάνει ἐν πραπίδεσσιν ἀρειοτέροισιν ἀνάσσειν.
ὑμεῖς δ', ὅντινά οἱ κραδίη θυμός τε μενοινᾷ,
ἡγεμόνα στήσασθε, καὶ ᾧ φρεσὶ πάντα μελήσει
σημαίνειν, ὅ τι δεῖ ῥέξαι ἔπος ἠδὲ καὶ ἔργον
πόντον ἐπιπλώουσιν ἀφιξομένοις τ' ἐπὶ γαῖαν,
εἴτε καὶ ἐς Κόλχους ἢ ἐς ἀλλοδαποὺς ἀνθρώπους.
καὶ γὰρ δὴ μοῦνον σὺν ἐμοὶ πολέες τε καὶ ἐσθλοί,
οἵ ῥα καὶ ἀθανάτου ῥίζης γένος εὐχετάασθε,
ξυνὸν ἀνηρείψασθε πόνον, κλέος ὄφρ' ἂν ἄροισθε.
ἀλλ' οὔ οἱ κάρτιστον ἀρειότερόν τε γενέσθαι
Ἡρακλῆος ἄνακτος ὀΐομαι· ἴστε καὶ αὐτοί.

Ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπῄνεον. ἐν δ' ἅμα φωνῇ
φηγὸς ἐπερρόθεεν, Μινύαις ἔπι κοίρανον εἶναι
Ἀλκείδην, ὃς πᾶσι μέγ' ἔξοχος ἦεν ἑταίροις.
ἀλλ' οὐ πεῖθον ἄνακτα πεπνυμένον, ὅς ῥά οἱ ἤδη
Ἥρης ἐννεσίῃσι τετιμένον Αἴσονος υἱόν,
ᾗ δή οἱ κλέος ἐσθλὸν ἐπ' ἐσσομένοισιν ὄπαζεν·
ὅς ῥά οἱ αὐτὸς ἔνισπεν Ἰήσονα κοίρανον εἶναι
πεντήκοντ' ἐρέτῃσιν ἀνὰ τραφερήν τε καὶ ὑγρήν.
καὶ τότε δὴ μάλα πάντες ἐπῄνεον, ὡς ἐκέλευεν
Ἡρακλέης, καὶ θῆκαν Ἰήσονα κοίρανον εἶναι.

---

275 ἐπαρτέα Schneider] ἐπάρτια. — 284 φρεσὶ Voss] περί. — 285 δεῖ Wiel] κεν. — 287 ἢ ἐς Hermann] καὶ ἐς. — 288 μοῦνον Sanctamandus] μοῦνοι. — 293 ἅμα Heyne] ἄρα. — 294 φηγὸς Wiel] λαός. — ἔπι κοίρανον Gesner] ἐπὶ κοίρανον (ἐπικοίρ.). — 298 ᾗ Hermann] ὡς. — 300 ἐρετμαῖσιν (ἐρετμοῖσιν) codd.

Ἦμος δ' Ἠέλιος τὸν ἀπείριτον αἰθέρα τέμνων
ἵπποις ὠκυπόδεσσι κελαινὴν ἔντυε νύκτα,
τῆμος ἐνὶ πραπίδεσσιν ἐμήτιεν Αἴσονος υἱὸς
πίστιν ἐφ' ἡρώεσσι καὶ ὅρκια συνθεσιάων
θέσθαι, ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιντο.
καὶ τότε τοι, Μουσαῖε, φίλον τέκος Ἀντιοφήμου,
πορσῦναι μ' ἐκέλευε θοῶς ἱερήια καλά.
αὐτὰρ ἐγὼ ψαφαρῇσιν ἐπ' ἠϊόνεσσιν ἔνεικα
κᾶλα, τά τ' ἐκ δρυός ἐστι φερεσβίου· ἐν δ' ἄρ' ὕπερθε
πυρκαϊῇ κατέθηκα θεοῖς ἐπινήχυτα δῶρα.
καὶ τότε δὴ κραντῆρα βοῶν περιμήκεα ταῦρον
σφάζον, ἀνακλίνας κεφαλὴν εἰς αἰθέρα δῖαν,
ζωοταμών· πυρὶ δ' αἷμα πέριξ χέον ἔνθα καὶ ἔνθα·
αὐτὰρ ἐπὶ κραδίην ἐρύσας ποπάνοισιν ἔθηκα
λείψας ὑγρὸν ἔλαιον, ἐπ' αὐτῷ δὲ γλάγος ἀμνῆς.
ἥρωας δ' ἐκέλευσα περισταδὸν ἀμφιχυθέντας
δούρατ' ἐπαμπήξασθαι ἰδ' ἄορα κωπήεντα
βύρσῃ τε σπλάγχνοισι τ' ἐρειδομένους παλάμῃσι.
θῆκα δ' ἄρ' ἐν μέσσῳ τεῦχος κυκεῶνος ἐρείσας
ὀστράκεον, τῷ πάντα περιφραδέως ἐμέμικτο·
Δήμητρος μὲν πρῶτα φερέσβιος ἀλφίτου ἀκτή,
αἷμα δ' ἐπὶ ταύροιο, θαλάσσης θ' ἁλμυρὸν ὕδωρ.
στέψασθαι δ' ἐκέλευσα κύκλους ἐρόεντας ἐλαίης·
καὶ τότε χρυσείην φιάλην χείρεσσιν ἐμῇσιν
ἀμπλήσας κυκεῶνος ἐφεξείης ἐπένειμα,
γεύειν ἄνδρα ἕκαστον ἐρισθενέων βασιλήων.
πυρκαϊῇ δ' ἐκέλευον Ἰήσονα λαμπάδα θέσθαι
πεύκης ἀζαλέης· ὑπὸ δ' ἔδραμε θεσπεσίη φλόξ.
δὴ τότ' ἐγὼ πρὸς χεῦμα πολυφλοίσβοιο θαλάσσης

---

310 ἔνεικα Abel] ἐνεῖκα (ἐνῆκα). — 312 πυρκαϊῇ Seidenadel] πέπλα (πολλά). — κατέθηκα Seidenadel] παρακατέθηκα. — 315 ζωοτάμον codd. — πυρὶ δ' αἷμα πέριξ Hermann] περὶ δ' αἷμα πυρί. — 316 ἐπὶ Gesner] ἐπεί. — ἐρύσας Schneider] θραύσας. — 320 σπλάγχνοισί τ' Gesner] σπλάγχνοισιν. — ἐρειδομένους Schneider] ἐρειδομέναις. — 326 ἐμῇσιν Hermann] ἐμαῖσιν. — 327 ἐπένειμα Sanctamandus] ἐπένειμον.

χεῖρας ἐπαντείνας τάδ᾽ ἀπὸ γλώσσης ἀγόρευσα·
Ὠκεανοῦ μεδέοντες ἁλικλύστοιό τε πόντου
ἐμβύθιοι μάκαρες, καὶ ὅσοι ψαμαθώδεας ἀκτὰς
ναίεθ᾽ ἁλικροκάλους καὶ Τηθύος ἔσχατον ὕδωρ·
Νηρέα μὲν πρώτιστα καλῶ πρέσβιστον ἁπάντων
ἄμμιγα πεντήκοντα κόραις πάσῃσιν ἐρανναῖς·
Γλαυκήν τ᾽ ἰχθυόεσσαν, ἀπείριτον Ἀμφιτρίτην,
Πρωτέα καὶ Φόρκυνα καὶ εὐρυβίην Τρίτωνα
λαιψηρούς τ᾽ ἀνέμους αὔραις μίγα χρυσεοτάρσοις
ἄστρα τε τῆλε φανέντα καὶ ἀχλύα Νυκτὸς ἐρεμνῆς
αὐγήν τ᾽ Ἠελίοιο θοῶν προποδηγέτιν ἵππων,
δαίμονας εἰναλίους τε μιγαζομένους ἥρωσιν
ἀκταίους τε θεούς ποταμῶν θ᾽ ἁλιμυρέα ῥεῖθρα
αὐτόν τε Κρονίδην σεισίχθονα, κυανοχαίτην,
κύματος ἐκπροθορόντα μολεῖν ἐπιτάρροθον ὅρκων.
ὄφρα μὲν οὖν ἐπίκουροι Ἰήσονος ἔμπεδον αἰεὶ
μίμνωμεν προφρόνως ξυνῶν ἐπαρηγόνες ἄθλων,
ζῳοὶ νοστήσαιμεν ἑὰ πρὸς δώμαθ᾽ ἕκαστος·
ὃς δέ κε συνθεσίας δηλήσεται οὐκ ἀλεγίζων
ὅρκον ὑπερβασίῃ, τούτου δ᾽ ἐπιμάρτυροι ἔστων
ἰθύντειρα Δίκη καὶ Ἐριννύες αἰνοδότειραι.
Ὣς ἐφάμην· οἱ δ᾽ αὐτίχ᾽ ὁμοφροσύνῃ κατένευσαν
ὅρκια δειμαίνοντες, ἐσημήναντο δὲ χερσίν.
αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
δὴ τότε νηὸς ἑῆς κοῖλον κύτος εἰσεπέρησαν
πάντες ἐφεξείης, ὑπὸ δὲ ζυγὰ τεύχε᾽ ἔθεντο
χεῖρας ἐρετμώσαντες. ἐκέκλετο δ᾽ αὐτόθι Τῖφυς,
ἐκταδίοις ὅπλοις δῆσαι πάρα κλίμακα μακρήν,
ἱστία δ᾽ ἁπλῶσαι, λιμένος δ᾽ ἐκ πείσματ᾽ ἀρέσθαι.

334 *ψαμμώδεας* codd. — 337 *πάσῃσιν* Hermann] *πάσαισιν* (*πασαῖσιν*). — 338 *τ᾽* Sanctamandus] *δ᾽*. — 341 *τῆλε φανέντα* Wiel] *τηλεσίφαντα.* — 342 *θοῶν* Gesner] *ποδῶν.* — 347 *ὄφρα* Hermann] *τόφρα.* — *Ἰήσονος* Hermann] *Ἰάσονος.* — 349 *ζῳοὶ* scripsi pro *ζωοί.* — 350 *συνθεσίας* Hermann] *συνθεσίης.* — 351 *ὑπερβασίῃ* Sanctamandus] *ὑπερβάσιον.* — 353 *αὐτίχ᾽* Hermann] *αὖτις.* — 359 *παρὰ* codd. — 360 *πείσματ᾽ ἀρέσθαι* Pierson] *πείσματα θέσθαι.*

καὶ τότε δὴ λιγὺν οὖρον ἐπιπροέηκεν ἄηναι
Ἥρη, Ζηνὸς ἄκοιτις, ἐπείγετο δ' ἐς πλόον Ἀργώ.
οἱ δ' ἄρ' ἐπ' εἰρεσίην ἔπεχον χεῖράς τε νόον τε
ἄκμητοι βασιλῆες, ἐτέμετο δ' ἄσπετος ἅλμη
ἀφροῦ ἅμ' οἰδαίνοντος ὑπὸ τρόπιν ἔνθα καὶ ἔνθα.
τῆμος δ' ἱερὸς ὄρθρος ἀπ' Ὠκεανοῖο ῥοάων
ἀντολίας ἤνοιγεν, ἐφέσπετο δ' ἠριγένεια
ἡδὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα·
καὶ τότε δὴ σκοπιαί τε καὶ ἠνεμόεσσα κολώνη
Πηλίου ὑλήεντος ἀπ' ἠιόνος κατέφαινε.
Τῖφυς δ' ἀμπαύσας δολιχῆς οἰήια νηὸς
τυτθὸν ὑπ' εἰρεσίῃσιν ἐκέκλετο κῦμα χαράσσειν·
καί ῥα θοῶς ἀκτῇσιν ὑπέδραμον· ἐκ δ' ἄρα νηὸς
κλίμακα δουρατέην λιμένων ἔντοσθε χάλασσαν,
ἐκ δ' ἔβαν ἥρωες Μινύαι, παύσαντο δὲ μόχθου.
τοῖσι δὲ μύθων ἦρχεν ὁμιλαδὸν ἱππότα Πηλεύς·
Ὦ φίλοι, ἀθρεῖτε σκοπιῆς προὔχοντα κολωνὸν
μέσσῳ ἐνὶ πρηῶνι κατάσκιον, ἔνθα τε Χείρων
ναίει ἐνὶ σπήλυγγι, δικαιότατος Κενταύρων,
οὓ τράφεν ἂν Φολόην, Πίνδου τ' αἰπεινὰ κάρηνα,
ὅς ῥα δικασπολίῃ γάνυται καὶ ἀκέσμασι νούσων·
ἄλλοτε δ' αὖ Φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων,
ἢ λιγυρὴν φόρμιγγα χελυκλόνου Ἑρμάωνος
πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει.
τῷ ῥα καὶ ἡμέτερον κοῦρον Θέτις ἀργυρόπεζα
νήπιον, ἀρτιγένεθλον, ἐν ἀγκαλίδεσσι λαβοῦσα
Πήλιον εἰνοσίφυλλον ἔβη, Χείρωνί τ' ἔδωκεν
εὖ καὶ ἐπισταμένως ἀγαπαζέμεν ἠδ' ἀτιτάλλειν·
ὃν δή μοι πόθος ἐστὶ περὶ φρένα θηήσασθαι,

---

361 ἐπιπροέηκε νέεσθαι codd., corr. Voss. — 371 δολιχῆς Hermann] διὰ γῆς (δισσῆς codd. dett.). — νηός Hermann] χειρός. — 373 ἀκτίσιν codd. — 378 ἔνθα τε Hermann] ἐνθάδε. — 380 ἂν Φολόην Wakefield] ἐν φολοῇ. — 381 γάνυται Abel] μέλεται. — ἀκέσμασι Gesner] ἀκεύμασι. — 383 χελυκλόνου Abel] χελυκλόνον. — 385 τῷ ῥα Hermann] τόφρα.

ἀλλά, φίλοι, πελάσωμεν ἐπὶ σπέος, ὄφρα ἴδωμεν
ἕξιν παιδὸς ἐμοῖο, καὶ ἤθεσιν οἷσι κέκασται.
Ὣς εἰπὼν ἐξῖκεν ἀταρπιτόν· οἱ δ' ἑπόμεσθα.
αὐτὰρ ἔπειτ' αὐλὴν εἰσήλθομεν ἠεροειδῆ.
καί οἱ κεκλιμένος μὲν ἐπ' οὐδαίοιο χαμεύνης
κεῖτο μέγας Κένταυρος, ἀπηρήρειστο δὲ πέτρῃ
ἱππείῃσιν ὁπλῇσι τανυσσάμενος θοὰ κῶλα.
ἀγχοῦ δ' ἱστάμενος Θέτιδος καὶ Πηλέος υἱὸς
χερσὶ λύρην ἤρασσε, φρένας δ' ἐπετέρπετο Χείρων.
ἀλλ' ὅτε δή ῥ' ἄθρησεν ἀγακλειτοὺς βασιλῆας,
ἀσπασίως ἀνόρουσε, κύσεν δ' ἄρα φῶτα ἕκαστον·
δαῖτα δὲ πόρσυνεν· μέθυ δ' ἀμφιφορεῦσι κομίσσας
ῥωγαλέαις ἔστρωσεν ὑπὸ στιβάδεσσι πέτηλα·
κλινθῆναι δ' ἐκέλευσεν, ἀδαιδάλτοις δ' ἐπὶ πλεκταῖς
κρεῖα χύδην προὔθηκε συῶν ἐλάφων τε ταχειῶν·
αὐτὰρ ἔπειτ' ἐπένειμε ποτὸν μελιηδέος οἴνου.
ἀλλ' ὅτε δὴ δόρποιο ποτοῦ θ' ἅλις ἔπλετο θυμῷ,
χερσὶν ἐπικροτέοντες ὁμόκλεον, ὄφρ' ἂν ἔγωγε
δηρίσω Χείρωνι διωλύγιον κιθαρίζων.
ἀλλ' ἐγὼ οὐ πιθόμην· πέρι γάρ μοι ἐπήλυθεν αἰδώς,
ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἰσοφαρίζειν·
μέσφ' αὐτὸς Χείρων ἐλιλαίετο καί μ' ἀέκοντα
ἠνώγει ᾄδοντ' ἐριδαινέμεν εἵνεκα μολπῆς.
πρῶτος δ' αὖ Κένταυρος ἀείρατο πηκτίδα καλήν,
ἥν ῥά οἱ ἐν χείρεσσι φέρων ὤρεξεν Ἀχιλλεύς.
ὃς δ' ἄρ' ἄειδε μάχην Κενταύρων ὀβριμοθύμων,
οὓς Λαπίθαι κατέπεφνον ἀτασθαλίης ἕνεκα σφῆς,
ἠδ' ὡς Ἡρακλῆι καταντία μαιμώοντες
ἐν Φολόῃ δήρισαν· ἐπεὶ μένος οἶνος ἔγειρεν.

393 ἔπειτ' Sanctamandus] ἐπ' εἰς. — 395 πέτρην codd. — 398 λύρην Hermann] λύραν. — 402 τ' post ῥωγ. delevit Hermann. — 403 ἐπὶ Sanctamandus] ὑπό. — πλεκταῖς Wiel] πλακταῖς. — 406 θυμῷ Stephanus] θυμός. — 409 μοι ἐπήλυθεν Voss] μ' ἐπήλυθεν. — 412 ᾄδοντ' Sanctamandus] ᾄδων. — 414 οἱ Hermann] τότ'. — 416 σφῆς Hermann] σφῶν. — 418 οἶνος Perdrierius] οἴνου.

αὐτὰρ ἔγωγε μετ᾽ αὐτὸν ἑλὼν φόρμιγγα λίγειαν
ἐκ στόματος μελίγηρυν ἱεὶς ἀνέπεμπον ἀοιδήν.
πρῶτα μὲν ἀρχαίου χάεος μέλανα σκότον ὕμνουν,
ὡς ἐπάμειψε φύσεις, ὥς τ᾽ οὐρανὸς ἐς πέρας ἦλθε·
γῆς τ᾽ εὐρυστέρνου γένεσιν πυθμένας τε θαλάσσης·
πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν Ἔρωτα,
ὥς θ᾽ ἅτ᾽ ἔφυσεν ἅπαντα διέκριθεν ἄλλο πρὸς ἄλλου·
καὶ Κρόνον αἰνολέτην, ὥς τ᾽ ἐς Δία τερπικέραυνον
ἤλυθεν ἀθανάτων μακάρων βασιλήιος ἀρχή.
μέλπον θ᾽ ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε·
καὶ Βριμοῦς, Βάκχοιο, Γιγάντων τ᾽ ἔργ᾽ ἀίδηλα,
ἀνθρώπων τ᾽ ὀλιγοδρανέων πολυεθνέα φύτλην
ἤειδον· στεινὸν δὲ διὰ σπέος ἤλυθεν αὐδὴ
ἡμετέρης χέλυος μελιχρὴν ὄπα γηρυούσης.
στείνετο δ᾽ ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
Πηλίου, ὑψηλάς τε μετὰ δρύας ἤλυθε γῆρυς·
καί ῥ᾽ αἳ μὲν πρόρριζοι ἐπ᾽ αὔλιον ἐρρώοντο
πέτραι τ᾽ ἐσμαράγουν, θῆρες δ᾽ ἀίοντες ἀοιδῆς
σπήλυγγος προπάροιθεν ἀλυσκάζοντες ἔμιμνον·
οἰωνοί τ᾽ ἐκυκλοῦντο βοαύλια Κενταύροιο
ταρσοῖς κεκμηῶσιν, ἑῆς δ᾽ ἐλάθοντο καλιῆς.
αὐτὰρ ὁρῶν Κένταυρος ἐθάμβεε χεῖρ᾽ ἐπὶ παλμῷ
πυκνὸν ἐπισσείων, οὖδας δ᾽ ἤρασσεν ὁπλῇσι.
Τῖφυς δ᾽ εἰσεπέρησε νεὼς ἄπο, καί ῥ᾽ ἐκέλευσεν
ὦκα περᾶν Μινύῃσιν· ἐγὼ δ᾽ ἄμπαυον ἀοιδήν.
οἳ δὲ θοῶς ἤγερθεν, ἔδυνε δὲ τεύχε᾽ ἕκαστος.
παῖδα δ᾽ ἐν ἀγκαλίδεσσιν ἀνίσχανεν ἱππότα Πηλεύς,

421 *μέλανα σκότον* Abel] *μελανήφατον.* — *ὕμνουν* Schenkl (*ὕμνεον* Wiel)] *ὕμνον.* — 422 *ἐς πέρας* Steuchus] *ἑσπέρας.* — 423 *πυθμένας* Hermann] *πυθμένα.* — 425 *ὅσσα τ᾽ ἔφυσεν* codd., corr. Wiel. — *διέκριθεν δ᾽ ἄλλο* (vel *ἄλλον*) *ἀπ᾽ ἄλλου* codd.; corr. Voss. — 431 *στεινὸν* Stephanus] *στενόν.* — 433 *στείνετο* Wiel] *ἕστατο* (*ἔστατο*). — 435 *αἳ* Hermann] *αἱ.* — *ἐρρώοντο* Hermann] *ἐθρώσκοντο.* — 439 *κεκμηόσιν* codd. — 440 *παλμῷ* Wiel] *καρπῷ.* — 441 *ἐπισείων* codd. — 442 *εἰσεπέρησε νεὼς* Stephanus et corrector libri Vindobonensis] *εἰσεπέρησεν ἕως.* — 443 *περᾶν* (sic) Pierson] *παρά.* — *Μινύῃσιν* Hermann] *μινύαισιν.* — *ἀοιδήν* Schneider] *ἀοιδῆς.* — 444 *ἔδυνε* Pierson] *ἔντυνε.*

καί ῥ' ἔκυσεν κεφαλήν τε καὶ ἄμφω φάεα καλὰ
δακρυόεν γελόων· κηλήθη δὲ φρέν' Ἀχιλλεύς.
αὐτὰρ ἐμοὶ Κένταυρος ἑῇ γέρας ὤπασε χειρὶ
νεβρῆν παρδαλέην, ξεινήιον ὄφρα φέροιμι.
ἀλλ' ὅτε δὴ σπήλυγγος ἀποπροθορόντες ἔβημεν,
ἄκρης ἐκ σκοπιῆς ὁ γέρων ἀνὰ χεῖρας ἀείρων
Φιλυρίδης ἠρᾶτο, θεοὺς δ' ἐπεκέκλετο πάντας,
νόστον μὲν Μινύῃσιν ἰδὲ κλέος ἐσθλὸν ἀρέσθαι
ὁπλοτέροις βασιλεῦσιν ἐπ' ἐσσομένοις μερόπεσσιν.
Αὐτὰρ ἐπεί ῥ' ἐπὶ θῖνα καὶ ἐς νέα πάντες ἔβησαν,
ἐν προτέροις θώκοισι καθίζανον· ἐν δ' ἄρ' ἐρετμοῖς
χεῖρας ἐφαπλώσαντες ὑγρὴν ἅλα τύπτον ἕκαστος
Πήλιον ἐκνεύσαντες· ὑπὲρ μέγα λαῖτμα δὲ πόντου
ἀφρὸς ἐπιζείων χαροπὴν λεύκαινε θάλασσαν.
Τισαίη δ' ἀπέκρυφθεν ἄκρη καὶ Σηπιὰς ἀκτή,
φάνθη δὲ Σκίαθος, Δόλοπός τ' ἀνεφαίνετο σῆμα
ἀγχίαλός θ' Ὁμόλη ῥεῖθρόν τ' Ἀμύρου ἁλιμυρές,
ὃς διὰ πολλὴν γαῖαν ἱεῖ μεγαλόβρομον ὕδωρ.
Οὐλύμπου δὲ βαθυσκοπέλου πρηῶνας ἐρυμνοὺς
εἰσέδρακον Μινύαι καὶ Ἄθω δενδρώδεα κνημὸν
Παλλήνην τ' εὐρεῖαν ἰδὲ ζαθέην Σαμοθρῄκην,
ἔνθα καὶ ὄργια φρικτὰ θεῶν, ἄρρητα βροτοῖσιν,
ἄσμενοι εἰσεπέρησαν ἐμαῖς ὑποθημοσύνῃσιν
ἥρωες· μετὰ γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι
τῆσδε θυηπολίης ἀβολεῖν πλωτῆρσιν ἑκάστοις.

---

447 φρέν' Stephanus] φρένας. — 449 νεβρῆν Schneider] νεβρήν. — 452 Φιλυρίδης Abel] φιλλυρίδης. — 453 Μινύῃσιν Hermann] μινύαισιν. — 454 βασιλεῦσιν ἐπ' Gesner] βασιλεῦσι καί. — 455 ἐπεί ῥ' Hermann] ἐπεί τ'. — 457 ὑγρὴν Jacobs] ὑπείρ. — 458 δὲ Hermann] τε. — 460 Τισαίη Eschenbach] πεισαίη. — 462 δ' pro θ' codd. — Ὁμόλη Eschenbach] ὁμαλή (ὁμάλη). — τ' Ἀμύρου ἁλιμυρές Abel] θ' ἁλιμυρὲς ἐναύλου. — 463 ἱεῖ Hermann] ἴει. — 465 κνημόν Wiel] κάμνον. — 466 Παλλήνην Eschenbach] πελλήνην. — σαμοθράκην codd. — 467 ὄργια Sanctamandus] ὅρκια (ὄρκια). — δὲ post ἄρρητα delevit Stephanus. — 468 ἐμαῖς Hermann] ἐμῇς (ἐμῆς). — 470 ἀβολεῖν Hermann] ἄμοτον. — ἑκάστοις Eschenbach] ἕκαστος.

Σιντιακαῖς δ᾽ ὀφρύσσιν ἐκέλσαμεν ὠκίαλον νηῦν
Λήμνῳ ἐν ἠγαθέῃ· τόθι περ κακὰ ἔργα μεμήλει
θηλυτέραις· αἳ γάρ οἱ ἀιστώσαντο συνεύνους
σφῇσιν ἀτασθαλίῃσι, καὶ ἡ κλυτὴ Ὑψιπύλεια
ἐλδομέναις κραίνεσκε, γυναικῶν εἶδος ἀρίστη.
ἀλλὰ τί σοι περὶ τῶνδε πολὺν λόγον ἀμφαδὸν εἰπεῖν,
ὅσσον ἐφ᾽ ἵμερον ὦρσεν ἀγαυαῖς Λημνιάδεσσι
Κύπρις ἐρωτοτρόφος Μινύαις ἐς λέκτρα μιγῆναι.
φίλτροις Ὑψιπύλην ἐρατοῖς ἐδάμασσεν Ἰήσων,
ἄλλῃ δ᾽ ἄλλος ἔμικτο· καὶ ἐκλελάθοντο πορείης,
εἰ μὴ ἀποτροπίοις ἐνοπαῖς θελξίφρονί θ᾽ ὕμνῳ
ἡμετέρῳ θελχθέντες ἔβαν ποτὶ νῆα μέλαιναν
εἰρεσίην ποθέοντες, ἐπεμνήσαντο δὲ μόχθου.
Ἔνθεν ἐς Ἑλλήσποντον ὑπηφόους φέρεν οὖρος,
ἀκραὴς Ζέφυρος, στεινῆς ἀπάτερθεν Ἀβύδου
Ἴδην, Δαρδανίην, Πιτύην τ᾽ ἐπὶ δεξί᾽ ἔχοντας,
οὗ καὶ Ἀβαρνιάδος Περκώτης τ᾽ εὔσταχυν αἶαν
ἀργυρέαις Αἴσηπος ἐπικλύζει προχοῇσιν.
αἶψα δ᾽ ἐπιθρώσκουσα θέεν πολυηγόρος Ἀργώ.
αὐτὰρ ἐπὶ ψαμάθοισιν ἐκέλσαμεν· ἐν δ᾽ ἄρα Τῖφυς,
ἰθύντωρ ἀκάτοιο, καὶ ἀγλαὸς Αἴσονος υἱός,
σύν τ᾽ ἄλλοι Μινύαι γλαυκώπιδι Τριτογενείῃ
θῆκαν ἀείραντες βριθὺν λίθον· ἔνθα τε νύμφαι
κρήνῃ ὑπ᾽ Ἀρτακίῃ καλὰ νάματα πλημμύρουσιν,
οὕνεκά οἱ πλώουσιν ἀνὰ πλατὺν Ἑλλήσποντον
εὔδιος ἀντεβόλησε μυχοῦ ἔντοσθε γαλήνη,
κύμασι θεινομένοις ὑπὸ χειμερίῃσιν ἀέλλαις,
οὐδ᾽ ἐς γαῖαν ἔριψαν ἐυγνάμπτους ἀγκύρας.
ἔνθα δὲ πορσύνοντες ἐπὶ κροκάλαις προὐχούσαις

---

471 ὀφρύσσιν Hermann] ὀφρύσιν. — νηῦν Hermann] ναῦν. — 473 οἱ Hermann] κεν. — 481 θ᾽ ὕμνῳ Eschenbach] θυμῷ. — 483 ἐμεμνήσαντο codd. — 484 ὑπηφόους Wiel] ἅμ᾽ ἠῴους. — 486 Ἴδην Ruhnken] Ἴλιον. — ἐπὶ δεξί᾽ Schneider] ἐπιδέξι᾽. — 487 Ἀβαρνιάδος Holstenius] ἀβαρνιάδας. — 493 ἔνθα τε Hermann] ἔνθα δέ. — vv. 497 et 498 sedem mutare iussit et θεινομένοις pro θεινόμενοι scripsit Wiel.

δεῖπνά τε καὶ κλισίην δόρπου μεμνήμεθ᾽ ἕκαστοι.
δὴ τότε κεκλιμένοισιν ἐπήλυθε Κύζικος ἥρως,
ὃς Δολιέων ἤνασσε περικτιόνων ἀνθρώπων,
Αἰνῆος φίλος υἱός, ὃν ἡ τέκε δῖα γυναικῶν,
Εὐσώρου θυγάτηρ, Αἰνήτη καλλιπάρῃος·
ὅς ῥα φιλοξενίῃ Μινύας ἐγέρηρεν ἅπαντας
σφάζων πῖά τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
ἀγροτέρους τε σύας· δῶκεν δ᾽ ἔπι οἶνον ἐρυθρόν·
σῖτον δ᾽ ἄφθονον ἧκεν ἀποπλώουσι φέρεσθαι
χλαίνας τ᾽ ἠδὲ τάπητας ἐυννήτους τε χιτῶνας.
φίλατο δ᾽ αὖ παρεόντας ὁμηλικίης ἕνεκα σφῆς·
καί ῥα πανημερίῃσιν ἐν εἰλαπίνῃσιν ὅμαρτεν.
  Ἀλλ᾽ ὅτ᾽ ἐς Ὠκεανοῖο ῥόον βαπτίζετο Τιτάν,
μήνη δ᾽ ἀστοχίτων ἔπαγεν μελαναυγέα ὄρφνην,
τῆμος ἀρηίφατοι κίον ἀνέρες, οἵ ῥα νέμοντο
Ἀρκτῴοις ἐν ὄρεσσι τεθηλότες εἴκελα θηρσί,
Τιτᾶσι βριαροῖς τ᾽ ἐναλίγκιοι ἠδὲ Γίγασιν·
ἓξ γὰρ χεῖρες ἑκάστῳ ἀπ᾽ ὤμων ἀίσσοντο.
οὓς τότ᾽ ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες
ἐς μόθον ὁρμαίνοντας ἀρήια τεύχε᾽ ἔδυνον.
καί ῥ᾽ οἳ μὲν πεύκῃσιν ἀμύνοντ᾽, οἳ δ᾽ ἐλάτῃσιν·
ἐν δ᾽ ἔπεσαν Μινύῃσι κατὰ σκοτόεσσαν ὁμίχλην.
οὓς τοι ἐπειγομένους κτεῖνεν Διὸς ἄλκιμος υἱὸς
τόξῳ οἰστεύων. σὺν δ᾽ Αἰνέος ὤλεσε παῖδα
Κύζικον, οὔτι ἑκών, ἀλλ᾽ ἀφραδίῃσι πεδηθείς·
τῷ δ᾽ ἄρα μόρσιμον ἦεν ὑφ᾽ Ἡρακλῆι δαμῆναι.
αἶψα δέ οἱ Μινύαι κοίλης ἔντοσθεν ἔβησαν
νηὸς τευχήρεις, ποτὶ δὲ ζυγὸν ἷζον ἕκαστος.
Τῖφυς δὲ πρύμνηθεν ἐπήπυεν, ἠδ᾽ ἐκέλευε

502 *Δολιέων* Hermann] *δολόπων*. — 503 *ἡ* Wiel] *οἱ*. — 504 *Εὐσώρου θ. Αἰνήτη* Eschenbach] *εὐδώρου θ. αἰνίππη*. — 507 *ἐπὶ* codd. — 509 *χλαῖνας* codd. — 510 *φίλατο* Gesner] *φίλετο*. — 511 *εἰλαπίνῃσιν* Hermann] *εἰλαπίναισιν*. — 512 *ὅτ᾽ ἐς* Wakefield] *ὅτε γ᾽*. — 515 *τεθηλότες* Wiel] *τεθηπότες*. — 519 *ὁρμαίνοντας* Gesner] *ὁρμαίνοντες*. — 523 *Αἰνέος* Hermann] *αὖ νέον*. — 528 *πρυμνῆθεν* codd.

κλίμακα νηὸς ἔσω ἐρύσαι καὶ πείσματα λῦσαι.
ἀλλ᾽ οὔ οἱ λύοντο κάλοι, δεσμοῖσι δ᾽ ἀφύκτοις
ὠκείης στροφάλιγγος ἀρηρότες ἐσφίγγοντο
νῆα κατείργοντες. θάμβησε δὲ Τῖφυς ἀμύμων,
ἄφθογγος δέ οἱ ἧκε χερῶν οἰήια νηὸς
Ἀργῴης· οὐ γάρ οἱ ἐέλπετο κῦμα περῆσαι·
Ῥείη γὰρ κοτέεσκε δεδουπότος εἵνεκα φωτός.
ἀλλ᾽ ὅτε πρὸς μέσατον νυκτὸς προὔβαινεν ἀταρπὸς
ἄστρα τε τηλεφανῆ δῦνεν ῥόον Ὠκεανοῖο,
ὄσσε κυβερνητῆρος ἐπέστιχε νήδυμος ὕπνος.
τῷ δὲ βαθὺ κνώσσοντι θεὰ μενέδουπος Ἀθήνη
ἄγχι παρισταμένη πανετήτυμα σήματ᾽ ἔφαινεν·
ὧδε δ᾽ ὁμοκλήσασα θεηγόρον ἔννεπε μῦθον·
  Εὕδεις, Ἀγνιάδη, γλυκερῷ βεβολημένος ὕπνῳ,
κῶμα περὶ βλεφάροισι λαβών· ἀλλ᾽ ἔγρεο, Τῖφυ,
κέκλεο δ᾽ ἡρώεσσι μολεῖν ἐπὶ νήνεμον ἀκτὴν
νηὸς ἀποπροθορόντας, ὅθι ξένος ἐν ψαμάθοισι
κεῖται ἀποφθίμενος· τῷ οἱ κτέρεα κτερεΐξαι
παμμήτειρα Ῥέη κέλεται γέρα, ἠδ᾽ ἐπιλοιβὰς
δοῦναι ὑποχθονίοις, καὶ δάκρυα λειβέμεν ὅσσων
αἰδομένους Θέμιν ἁγνοτελῆ ξενίην τε τράπεζαν·
ὃν ῥ᾽ ἀέκων ἔκτεινε βαλὼν διὰ νύκτερον ὄρφνην
Ἡρακλέης· θυμὸν δὲ θεᾶς ἐχολώσατε Ῥείης.
ἀλλ᾽ ὁπότ᾽ ἂν θεσμοῖς ξεῖνον σεβάσησθε θανόντα,
Δίνδυμον αὐτίκ᾽ ἔπειτα Ῥέης ἕδος εἰσαναβάντες
ἱλασμοῖς ἱεροῖς Γαίης ἀρέσασθε θύγατρα,
πείσματα δ᾽ ἀράμενοι τότε δὴ μνώεσθε πλόοιο.
  Ὣς εἰποῦσα θεὰ πάλιν ἐτράπετ᾽ ἶσον ὀιστῷ
οὐρανὸν ἐσσυμένη. τοῦ δ᾽ αὐτίκα κῶμα κεδάσθη·

---

529 *λύσαι* codd. — 535 *φωτός* Wiel] *λαοῦ.* — 538 *κυβερνητῆρος ἐπέστιχε* Schneider] *κυβερνήτῃ προσεπέστιχε.* — 540 *πανετήτυμα* Dorville] *παρετήτυμα.* — 543 *λαβών* Wakefield] *βαλών.* — 547 *ἠδ᾽ ἐπιλοιβὰς* Ruhnken] *ἠδέ τι λοιβάς* (*ἠδ᾽ ἔτι λοιβάς*). — 549 *ἀγνοτερῆ* codd. — 552 *ὁπότ᾽ ἂν* scripsi pro *ὁπόταν.*

πρύμνης δ' ἆλτο θοῶς· ἀνέγειρε δὲ λαὸν ἀυτῇ
τοίχων ἔνθα καὶ ἔνθα παρακλιδὸν ὑπνώοντας,
ψυχῇ ὑποτρομέων· ἄφαρ ἡρώεσσι δ' ὀνείρου
φάσματα πᾶσιν ἔνισπεν ἐπιδρομάδην ἀγορεύων.
οἳ δὲ θοῶς ἤγερθεν, ἐπ' ἠόνα δ' ἆλτο ἕκαστος.
ἣ δὲ κατ' ὀρφναίοιο πόλου χρυσήνιος Ἠὼς
ἀντολίην ἤνοιγεν, ἐδέχνυτο δ' οὐρανὸς ὄρθρον·
καὶ τότ' ἀριστῆες Μινύαι νέκυν εἰσενόησαν
αἵματι καὶ κονίῃ πεπαλαγμένον· ἀμφὶ δ' ἄρ' ἄλλοι
δήιοι ἄμμιγ' ἔκειντο, πελώρια σώματα θηρῶν.
ἀλλ' οἳ μὲν βασιλῆα περισταδὸν ἀμφιχυθέντες
Κύζικον εὐξέστοισιν ὑπὸ πλακέεσσιν ἔθηκαν,
ἂν δ' ἄρα τύμβον ἔχευαν, ἐδωμήσαντο δὲ σῆμα,
φιτροὺς δ' αἶψα κόμιζον, ἰδ' ἔντομα πορσύνοντες
παμμέλαν' ἐν βόθροις μετεκίαθον. αὐτὰρ ἔγωγε
ψυχὴν ἱλασάμην σπένδων μειλίγματα χύτλων
ὕδατί τ' ἠδὲ γάλακτι, μελισσορύτων τ' ἀπὸ νασμῶν
λοιβὰς συμπροχέων καὶ ἐμοῖς ὕμνοισι γεραίρων.
αὐτὸς δ' Αἰσονίδης προὐθήκατο πᾶσιν ἄεθλον,
τυμβιδίου ἐπ' ἀγῶνος ἑταίροις ἔμμεν ἄεθλα,
δῶρα, τά οἱ πόρεν Ὑψιπύλη Λήμνοιο φέρεσθαι.
Ἀγκαίῳ μὲν δῶκε πάλης γέρας ἀμφικύπελλον
χρύσειον πολυχανδὲς ἔχειν· Πηλῆι δ' ἔδωκεν
ᾄσσοντι σταδίοισι ποδωκείης ἕνεκα σφῆς
χλαῖναν φοινικέην, πολυδαίδαλον ἔργον Ἀθήνης·
αὐτὰρ παγκρατίου δῶκεν γέρας Ἡρακλῆι
ἀργύρεον κρητῆρα παναίολον· ἱππασίης δὲ
Κάστορι χρυσείων φαλάρων πολυτεχνέα κόσμον·
πυγμαχίης δὲ τάπητα διανθέα δῶκε φέρεσθαι
ἀθλοφόρῳ Πολυδεύκει· ὃ γὰρ κλυτὸν ἤρατο νῖκος.

---

558 ἀυτμῇ codd. — 566 δ' ἄρ' Hermann] γάρ. — 567 ἄμμιγ' Voss] ἀμφίς. — 569 ὑπὸ πλακέεσσιν codd. dett. pro ὑπὸ πλατέεσσιν. — 575 λοιβὰς Sanctamandus] λοιβαῖς. — 581 ᾄσσοντι Wiel] θάσσοντι. — 583 παγκρατίου Gesner] παγκρατίοιο. — 585 Κάστορι add. codd. dett. — 586 διανθέα Voss] λειανθέα.

αὐτὸς δ᾽ εὐκαμπὲς λάβε οἱ τόξον καὶ ὀιστούς,
τεινόμενος δέ οἱ ἧκε βέλος, τὸ δ᾽ ἀπέπτατο τηλοῦ·
δῶκε δ᾽ ἄρ᾽ Αἰσονίδῃ Μινυῶν λόχος εἵνεκα τιμῆς
πλέξας εὐανθῆ στέφανον τανυφύλλου ἐλαίης.
αὐτὰρ ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος Ἰήσων
ἐμβάδα χρυσείῃσι τιταινομένην πτερύγεσσι.
λῦτο δ᾽ ἀγών, φήμη δὲ διέπτατο δώματος εἴσω
Κυζίκου οἰχομένου· τοῦ δ᾽ ὡς κλύε σύγγαμος αἰνή,
στήθεα δρυπτομένη λίγ᾽ ἐκώκυεν, ἀμφὶ δὲ δειρὴν
ἁψαμένη μήρινθα βρόχῳ ἀπὸ θυμὸν ὄλεσσε.
γῆ δ᾽ ὑποδεξαμένη πλακὶ δάκρυα πίδακος ἧκε
βλύζουσ᾽ ἀργυροειδὲς ὕδωρ πέτρης ἀπὸ λισσῆς
ἀέναον· Κλείτην δὲ περικτίονες καλέουσι.
καὶ τότε δὴ βασιλῆες ὀνειροπόλον διὰ πύστιν
κνημὸν ἔβαν ζάθεον καὶ Δινδύμου ἀκρώρειαν,
ὄφρα κε μειλίξαιντό οἱ εὐοίνοις ἐπιλοιβαῖς
Ῥείην πρεσβυγενῆ, θυμὸν δ᾽ ἀλέοιντο ἀνάσσης.
αὐτὰρ ἐγὼν ἑπόμην, φόρμιγγα δὲ χερσὶν ἄειρον·
Ἄργος δ᾽ αὖθ᾽ ἵκανε λιπὼν εὐεργέα νῆα,
ὅς ῥα τανυφλοίῳ ἐλάτῃ ἀμφιπλεκὲς ἔρνος
ἀμπέλου αὐαλέης ὀξεῖ ἀπέκερσε σιδήρῳ·
ξέσσε δ᾽ ἐπισταμένως βρέτας ἱερὸν ἰδμοσύνῃσι,
μίμνειν ἔμπεδον αἰὲν ἐπ᾽ ἐσσομένοις ἀνθρώποις·
λάεσι δ᾽ εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ.
ἐν δ᾽ ἄρ᾽ ἐπειγόμενοι Μινύαι — μέγα δ᾽ ἔξοχα πάντων
Αἰσονίδης — λιθάκεσσιν ἀρηρότα βωμὸν ἔτευξαν,
ᾧ ἔπι ταυροθύτους λοιβὰς ἠδ᾽ ἱερὰ καλὰ
ῥέξαν ἀριστῆες· σπονδῇσι δὲ τέρπετο Ῥείη.

588 λάβε οἱ τόξον καὶ Hermann] λάβε τόξον ἠδ᾽ ἄρ᾽. — 590 Μινυῶν Abel] μινύης. — 593 χρυσείῃσι Slothouwer] χρυσείην γε. — 599 πέτρης ἀπὸ λισσῆς Wiel] κρήνης ἀπὸ μέσσης. — 600 Κλείτην Gesner] κλεινήν. — 602 ἔβαν Wiel] ἐπί. — Δινδύμου Hermann] δίνδυμον. — 603 οἱ εὐοίνοις Hermann] εὐοινίστοις. — 604 ἀνάσσης Stephanus] ἀνάσσῃ. — 607 ὅς ῥα Hermann] ὥς κε. — τανυφλοίῳ ἐλάτῃ Hermann] τανυφλοίου (τανυφύλλου) ἐλάτης. — 614 ἔπι codd. — 615 σπονδῇσι δὲ τέρπετο Hermann] σπονδαῖσι δ᾽ ἐτέρπετο.

αὐτὰρ ἐμ' ἤνωγον κλῆσαι θεὸν ἠδὲ γερῆραι,
ὄφρα κεν ἀντομένοις νόστον μελιηδέ' ὀπάσσαι.
ἀλλ' ὅτε δὴ θυέεσσι λιτῇσί τε γουνασάμεσθα,
Ἀργῴην ποτὶ νῆα κατήλθομεν. ἐν δ' ἄρα Τῖφυς
ἥρωας πρύμνηθεν ἐκέκλετο· σὺν δ' ἄρα πάντες
ἐσσύμενοι θώκοισιν ἐπὶ προτέροισι κάθιζον
βάντες ὑπὲρ τοίχοιο καὶ εἰρεσίης μνώοντο.
ἀπροφάτως δ' ἀπὸ γῆς στρεπτοὶ λύοντο κάλωες,
πείσματα δ' ἠπλώθη· κραιπνὸν δ' ἀπὸ Δινδύμου ἄκρης
ἵκμενον οὖρον ἐφῆκε Ῥέη λιπαροκρήδεμνος.
ἡμεῖς δ' αὖτ' ἐπὶ νηὶ γεράσμια πέμπομεν ἱρὰ
βωμὸν ἐπιστέψαντες ἐπ' ἐσσομένοισι πυθέσθαι
Πεισματίῃ, τόθι πείσματ' ἐεργομένης λύθεν Ἀργοῦς.
Αὐτὰρ ἐπεί ῥ' ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης,
θῖνε διαπρήσσουσ' ἁλιμυρέα κύματα πόντου,
Μύσια δὲ σχεδόθεν παραμείβετο πείρατα γαίης·
αἶψα δὲ Ῥυνδακίδας προχοὰς ἤμειψε θέουσα,
καλούς τ' ἐς λιμένας ψαμαθώδεας εἰσεπέρησε,
κέλσε δ' ἐπ' αἰγιαλῷ· προτόνοις δ' ἐπὶ χεῖρα βαλόντες
ἱστία μηρύσαντο καὶ ἀμφ' ἱμᾶσιν ἔδησαν,
κλίμακα δ' ἐξώκειλαν ἐπὶ χθονός, ἐκ δ' ἔβαν αὐτοὶ
σίτου καὶ πόσιος λελιημένοι· ἀμφὶ δὲ κνημὸς
Ἀργάνθου κατέφαινε βαθυσκόπελοί τε κολῶναι.
Ἡρακλέης δ' ἠπείγετ' ἀν' ὑλήεντας ἐναύλους
τόξον ἔχων παλάμαις ἰδὲ τριγλώχινας ὀιστούς,
ὄφρα κε θηρήσαιτο, πόροι δ' ἐπὶ δόρπον ἑταίροις
ἢ σύας, ἢ πόρτιν κεραήν, ἢ ἄγριον αἶγα.
τοῦ δ' ἀφαμαρτήσαντος Ὕλας ἐξίκετο νηὸς
λάθρῃ ἐπισπόμενος· σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ
ὕλῃ ἔνι πλαγχθείς, ἐν δὲ σπέος ἤλυθε νυμφῶν
λιμναίων· αἵ δέ σφιν ἐσαθρήσασαι ἰόντα

---

622 τοίχοιο Sanctamandus] θώκοιο. — 623 στρεπτοί Pierson] λεπτοί. — 628 Πεισματίῃ Hermann] πεισματίης. — 632 Ῥυνδακίδας Abel] ῥυνδακίους. — 637 κνημός Sanctamandus] κναμός. — 638 ὀργάθου codd. — 645 ἔνι πλαγχθείς Gesner] ἐνιπλαγχθείς. — 646 λιμναίων Hermann] λιμνακίδων.

κοῦρον ἔτ' ἠίθεον, κατερύκακον, ὄφρα σὺν αὐταῖς
ἀθάνατός τε πέλῃ καὶ ἀγήραος ἤματα πάντα.
ἀλλ' ὅτε πρὸς μεσάτην ἠῶ τρέπεν ὠκέας ἵππους
Ἠέλιος, κραιπνὸς δ' ἐξ οὔρεος ἔπνεεν οὖρος,
ἐν δ' ἔπεσ' ἀργενναῖς ὀθόναις, ἐγεγώνεε Τῖφυς
νηὸς ἔσω περάαν, θινὸς δ' ἐκ πείσματα λύειν·
οἳ δὲ κυβερνητῆρος ἐφημοσύνῃσι πίθοντο.
Εἰλατίδης δ' ἀνὰ πρῶνα θοῶς Πολύφημος ἔβαινεν,
ὄφρα κεν Ἡρακλῆα θοῶς ἐπὶ νῆα καλέσσαι·
ἀλλ' οὔ οἱ ξύμβλητο· μολεῖν δέ οἱ οὔτι πέπρωτο
Φᾶσιν καλλίροον μένος ὄβριμον Ἡρακλῆος.
  Αὐτὰρ ὑπηῷοι λυγρὴν ἐπερήσαμεν αἶαν,
ἔνθ' Ἄμυκος Βεβρύκεσσιν ὑπερφιάλοισιν ἄνασσεν·
ὅστε Πανομφαίου Ζηνὸς θέμιν οὐκ ἀλεγίζων
ἆθλον ἐπὶ ξείνοισι περικτιόνων ἀνθρώπων,
ὅστις ἐπὶ σταθμοὺς ἠδ' ἀστεμφῆ δόμον ἵξοι,
θήκατο πυγμαχίης ὑπερόπλου πειρηθῆναι.
τοῦ μὲν ἄρ' ἠίστωσε βίην κρατερὸς Πολυδεύκης
τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι·
λαοὺς δ' αὖ Βεβρύκων Μινύαι χαλκῷ κατένηραν.
ἔνθα δ' ἀφορμηθέντες ὑπ' εἰρεσίῃ τε καμόντες
Βιθυνῶν μέγα ἄστυ βαθείῃ κέλσαμεν ἀκτῇ
σπεύδοντες προχοαῖς, ἠδ' ἐν νιφεταργέσιν ὕλαις
ἕσπεροι αὐλισθέντες ἐφοπλίσσαι μέγα δόρπον.
ἔνθα πότ' αἰνόγαμος Φινεὺς ὑπερήνορι θυμῷ
δοιοὺς ἐξαλάωσε γόνους, προβλῆσί τε πέτραις
θηρσὶν ἕλωρ προὔθηκε γυναίων εἵνεκα φίλτρων·
τοὺς δὲ καὶ ἀσκηθεῖς καὶ ὀπωπότας αὖτις ἔτευξαν

---

649 τρέπεν Voss] φέρεν. — 651 ἐγεγώνεε Τῖφυς Wiel] τῖφυς δ' ἐγεγώνει. — 655 καλέσσαι Eschenbach] καλέσσοι. — 656 δέ Hermann] γάρ. — 657 φάσιν codd. — 658 ὑπηῷοι Ruhnken] ἐπ' ἠῷοι. — ἐπερήσαμεν Hermann] ἐπεράσσομεν. — 664 τοῦ et βίην Hermann] τόν et βίῃ. — 668 τὸ μέγ' (μέγα) ἄστυ codd. — 669 νιφεταργέσιν Schneider] νιφαργέσιν. — 670 ἐφοπλίσσαι μέγα Hermann] ἐφοπλισσώμεθα. — 673 ἕλωρ Ruhnken] ἑλών.

παῖδε κλυτοῦ Βορέω· Φινεῖ δέ οἱ ὤπασαν ἄτην
ἀργαλέοιο κότου, φωτὸς δ' ἀπενόσφισαν αὐγάς.
αὐτὰρ ἐπὶ ζαμενὴς Βορέης στροφάδεσσιν ἀέλλαις
ἁρπάξας ἐκύλινδε διὰ δρύμα πυκνὰ καὶ ὕλας
Βιστονίης, ἵνα κῆρ' ὀλοὴν καὶ πότμον ἐπίσπῃ.
Αὐτὰρ ἐπεὶ Φινῆος Ἀγηνορίδεω κατέλειπον
αὖλιν, ὑπὲρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα
ἀγχοῦ Κυανέαις πέτραις, ἅς μοί ποτε μήτηρ
ἡμετέρη κατέλεξε περίφρων Καλλιόπεια.
οὐ γάρ οἱ ὑπάλυξις ὀιζυροῖο πόνοιο·
ἀλλὰ κραδαινόμεναι ἀνέμων ἀργῆσσιν ἀέλλαις
ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλῃσιν ἰοῦσαι·
δοῦπος δ' ἂμ πέλαγός τε καὶ οὐρανὸν εὐρὺν ἵκανε
ῥηγνυμένοιο κλύδωνος ὀρινομένης τε θαλάσσης
κύματι παφλάζοντι· περίβρεμε δ' ἄσπετος ἅλμη.
ἀλλ' ἐγὼ Ἀγνιάδῃ τάδ' ἀπὸ γλώσσης ἀγόρευσα,
πρύμναν ἔπι κρούειν, ὄφρ' ἂν πεφυλαγμένος εἴη.
τοῦ δὲ καὶ εἰσαΐοντος ἐπαχνώθη φίλον ἦτορ,
ἐν στέρνοισι δὲ κεῦθεν, ἅ οἱ τελέεσθαι ἔμελλε,
μοῦνος ἀφ' ἡρώων· ἀλλὰ γλαυκῶπις Ἀθήνη
Ἥρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι
ἄκρην ἱστοκεραῖαν· ὃ δ' ἀσχαλόων πεπότητο,
πέτραις δ' ἐν μυχάτῃσιν ὑπὸ πτερύγεσσιν ἀερθεὶς
δινήθη· ταὶ δ' αἶψα κραδαινόμεναι ἑκάτερθεν
σύμπεσον ἀλλήλῃσι καὶ οὐρῆς ἄκρον ἔκερσαν
ὄρνιθος· περὶ δέ σφιν ἐτώσιον ἠρείσαντο.
Τῖφυς δ' ἐκπροφυγόντος ἐρωδιοῦ αἰπὺν ὄλεθρον
σῖγα μὲν ἡρώεσσιν ἐκέκλετο· τοὶ δ' ἀίοντες
ἱέμενοι θοὰ κύμαθ' ὑπ' εἰρεσίῃσι χάρασσον.

675 *Βορέω* Hermann] *βορέου*. — 680 *Ἀγηνορίδεω κατέλειπον* Abel] *ἀγηνορίδαο λιπόντες*. — 684 *ὑπάλυξις* Schneider] *ἐξυπάλυξις*. — 685 *κραδαινόμεναι* Wiel] *κατειρύμεναι*. — *ἀργῆσσιν* Hermann] *ἀργῆσιν*. — 686 *ἀλλήλῃσιν* Hermann] *ἀλλήλαισιν*. — 689 *περίβρεμε δ'* Sanctamandus] *περιβρέμει*. — 691 *ἔπι κρούειν* Bergk] *ἔπειθ' ὀρόειν*. — 697 *μυχάτῃσιν* Hermann] *μυχάταισιν*. — 698 *δινήθη* Stephanus] *δινεῖτο*. — 701 *ἐκπροφυγόντος* Gesner] *ἐκπρολιπόντος*.

αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι
πέτρας ἠλιβάτους· αἳ δ᾽ ἀλλήλων ἀπόρουσαν·
κῦμα δ᾽ ἀνερρόχθησε· βυθὸς δ᾽ ὑποείκαθε νηὶ
ἡμετέρῃ πίσυνος κιθάρῃ διὰ θέσκελον ὀμφήν.
ἀλλ᾽ ὅτε δὴ πορθμοῖο κατὰ στόμα καὶ διὰ πέτρας
Κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ᾽ ἄρ᾽ αἵ γε
βυσσόθεν ἐρριζοῦντο, καὶ ἔμπεδον αἰὲν ἔμιμνον.
οὕτω γὰρ Μοῖραι τάδ᾽ ἐπεκλώσαντο βαρεῖαι.
Καὶ τότε δὴ προφυγόντες ἀδευκέα πήματ᾽ ὀλέθρου
Ῥηβαίου προχοὰς ἀκτήν θ᾽ ἱκόμεσθα Μέλαιναν
νῆσον ὑπὲρ δολιχὴν Θυνηίδα, τῆς ἀπάτερθεν
Τέμβριος ἰχθυόεις θαλεραῖς πλημμύρεται ὄχθαις,
Σαγγάριός θ᾽, ὃς κύματ᾽ ἐπιτρέχει Ἀξείνοιο.
ἀλλ᾽ ὅτ᾽ ἐπ᾽ αἰγιαλὸν ἐπενισσόμεθ᾽ εἰρεσίῃσιν,
ἀμφὶ Λύκοιο ῥέεθρον ἐκέλσαμεν, ᾧ ἔπι λαοῖς
κραῖνε Λύκος ποταμοῖο φερώνυμος, ὅς ῥ᾽ ὑπέδεκτο
ἥρωας Μινύας, ξενίῃ δ᾽ ἐγέρηρε τραπέζῃ,
φίλατο δ᾽ αὖ νύκτας τε καὶ ἤματα συνεχὲς αἰεί.
ἔνθα καὶ αἶσα κατέσχε καταφθίσθαι δύο φῶτας,
Αἰολίδην Ἴδμωνα κυβερνητῆρά τε Τῖφυν.
τοῦ μὲν δὴ κατὰ σῶμα λυγρὴ ἠρείσατο νοῦσος,
τὸν δὲ κατέκτανε θήρ, σῦς ἄγριος· ἂν δ᾽ ἄρα τοῖσι
τύμβους χευάμενοι πολιὴν ἐπενισσόμεθ᾽ ἅλμην
Ἀγκαίῳ πίσυνοι· τὸν γὰρ φάσαν ἴδριν ἅπαντες
ναυτιλίης σφετέρῃσι δαημοσύνῃσι κεκάσθαι.
αὐτὰρ ὃ πηδαλίων οἰήια λάζετο χερσὶ
νῆα κατιθύνων ἐπὶ Παρθενίοιο ῥέεθρα,
ὃν δὴ Καλλίχορόν μιν ἐπωνυμίην καλέουσιν,

---

713 *Ῥηβαίου* Gesner] *Ῥηβανοῦ*. — *προχοὰς ἀκτήν θ᾽ ἱκόμεσθα Μέλαιναν* Brunck] *προχοαῖσι μέλαιν᾽ ἐξικόμεθ᾽ ἀκτήν*. — 716 *Ἀξείνοιο* Gesner] *ευξείνοιο*. — 720 *ἐγέρηρε* Pierson] *ὑπέδεκτο*. — 721 *φίλατο* Gesner] *φίλετο*. — 722 *κατέσχε* Schneider] *παρέσχε*. — 723 *Αἰολίδην* Wiel] *αμπυκίδην*. — 725 *τὸν δὲ κατέκτανε* Abel] *τὸν δ᾽ ἔκτανε*. — *ἂν δ᾽ ἄρα* Sanctamandus] *αὐτὰρ ὅ*. — *τοῖσι* Wiel] *τοῖσγε*. — 726 *ἐπενισσόμεθ᾽* Hermann] *ἐπένησαν*. — *ἅλμην* Sanctamandus] *θῖνα*. — 729 *ὃ* Schneider addidit. — 731 *ἐπωνυμίην* Sanctamandus] *ἐπώνυμόν οἱ*.

ὅν τοι ἐγὼ μύθοισιν ἐνὶ προτέροισιν ἔλεξα.
ἔνθεν ἄκρην προβλῆτα παραπλώσαντες ἔβημεν
γῆν ἐπὶ Παφλαγόνων, τήν οἱ παράμειψε θέουσα
Ἀργὼ ὑπὲρ μέγα λαῖτμα· Καραμβίην δ' ἵκετ' ἄκρην,
ᾗ ἔπι Θερμώδων χέεται Ἅλυός τε ῥέεθρον
πολλὸν ἐπ' Αἰγιαλὸν δίνας ἁλιμυρέας ἕλκον.
νέρθε δ' ἐπιθρώσκουσι Βορειάδος ἀντίον ἄρκτου
μακρὰ Θεμισκύρης Δοιαντίδος * *
ἄγχι δ' Ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται,
καὶ Χάλυβες Τιβαρηνά τ' ἔθνη λαοί τε Βέχειρες
μίγδην Μοσσύνοισι πέδον περιναιετάουσι.
βαιὰ δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσιν,
ἧχί τε Μακριέες Μαριανδυνοῖσιν ὅμουροι.
νέρθε δέ τοι Ἑλίκης δολιχὸς παρακέκλιται αὐχήν,
ἔνθα θ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται
τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα πόντου·
οὗ Σίνδης ὄρος αἰπὺ καὶ εὐθαλέες λειμῶνες·
ἔνθα θ' Ἀράξεω ῥεῦμα μεγαβρεμέτου ποταμοῖο,
ἐξ οὗ Θερμώδων, Φᾶσις Τάναΐς τε ῥέουσιν·
οὗ Κόλχων κλυτὰ φῦλα καὶ Ἡνιόχων καὶ Ἀβάσγων·
ὃν παραμειβόμενοι μυχάτοις ἐπεπλείομεν ὅρμοις
Οὔρων Χινδαίων τε Χαρανδαίων Σολύμων τε,
Ἀσσυρίων τε λεὼν τρηχύν τ' ἀγκῶνα Σινώπης,
καὶ Φίλυρας Ναπάτας τε καὶ ἄστεα πυκνὰ Σαπείρων·

732 ἐνὶ Gesner] ἐπί. — 733 ἄκρην Hermann] ἄκραν. — 736 ἔπι Schneider] ἐνί. — χέεται Hermann] κεῖται. — 737 πολλόν Wesseling] βάλλον. — Αἰγιαλόν Abel] αἰγιαλόν. — 738 νέρθεν codd. pro νέρθε δ'. — ἐπιθρώσκουσι Hermann] ὑποθρώσκουσι. — βαρηάδος (βαριάδος) codd. — 739 δέ μιν σκύρης codd. — Δοιαντίδος Gesner] βοιατίδος. — Lacunae signa Ruhnken posuit pro verbis ἄψεα κεῖται e versu sequ. temere repetitis. — 741 λαοί τε Βέχειρες Stephanus et miniator codicis Vossiani] λαοί τ' ἐπίχειρες. — 742 Μοσσύνοισι Hermann] μνημοσύνης (codd. dett. ἐν μοσύνοισι). — 743 βαιά Hermann] λαιά. — 744 Μακριέες Abel] μάκροι (μαῦροι) ἔσαν. — 746 ἔνθα θ' Schenkl] ἔνθα δ'. — 748 Σίνδης Hermann] σύμης. — καὶ εὐθαλέες λειμῶνες Hermann] πολύς τ' εὐθαλέα λειμών. — 749 Ἀράξεω Hermann] ἀράξου. — 750 φάσις codd. — 751 Ἀβάσγων Hermann] ἀραξῶν. —

Βύζηράς τ᾽ ἐπὶ τοῖσιν ἰδ᾽ ἄξενα φῦλα Σιγύννων.
Ἶκτο δ᾽ ὑπὸ πνοιαῖς ἀνέμου πλησίστιος Ἀργὼ
ὄρθριος, ἐρχομένης ἠοῦς ἐπ᾽ ἀπείρονα κόσμον,
ἐς πέρατ᾽ Ἀξείνου Φᾶσιν κατὰ καλλιρέεθρον.
αὐτὰρ ἐπεὶ ποταμοῖο διὰ στόμα πρηὺ ῥέοντος
ἱκόμεθ᾽, αὐτίκα οἱ στέφανος καὶ τεῖχος ἐρυμνὸν
Αἰήτεω κατέφαινε καὶ ἄλσεα· τοῖς ἔνι κῶας
χρύσεον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ.
Ἀγκαῖος δ᾽ ἤνωγε παραιφάμενος ἐπέεσσι
λαίφεά τε στέλλειν καὶ ἐπίκριον αὖθι χαλάσσαι
ἱστὸν ἀνακλίναντας, ὑπ᾽ εἰρεσίῃ δὲ νέεσθαι.
ὣς οἳ μὲν τὰ ἕκαστα πονείαθον· αὐτὰρ Ἰήσων
αὐτίκα μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν,
ξυνῇ τ᾽ ἐν Μινύῃσι διπλῆν ἀνενείκατο φωνήν,
ἢ ὅγ᾽ ἐπ᾽ Αἰήταο μόλοι δόμον οἶος ἀπ᾽ ἄλλων,
μειλιχίοις στέρξοι τε παραιφάμενος ἐπέεσσιν,
ἠὲ μεθ᾽ ἡρώεσσι, καὶ ἐς μόθον αὐτίκα λεύσσοι.
ἀλλ᾽ οὔ οἱ Μινύῃσιν ἐφήνδανε πᾶσι νέεσθαι·
δεῖμα δ᾽ ἐνὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη
ἀμβολίην θ᾽, ἵνα οἷ τελέσῃ, τάπερ αἶσα γενέσθαι.
ὦκα δ᾽ ἄρ᾽ οὖλον ὄνειρον ἀπ᾽ οὐρανοῦ ἧκε φέρεσθαι
ἐς δόμον Αἰήταο. συθεὶς δ᾽ ὅγε δεῖμα πέλωρον
ἔσκηψεν βασιλῆι περὶ φρένας, ὅς ῥά τ᾽ ἔδοξε
παρθένου, ἣν ἀτίταλλεν ἐνὶ μεγάροισιν ἑοῖσι,
Μηδείης κόλποισιν ἐν ἱμερτοῖσι συθῆναι

---

756 *Σιγύννων* Eschenbach] *σιγύμνων*. — 757 *πνοιαῖς* Hermann] *πνοιῇς*. — 758 *ὄρθριος* Schneider] *ὄρθριον*. — 759 *ἐς πέρατ᾽* Heringa] *ἔσπερ᾽ ἐπ᾽*. — *φάσιν* codd. — vv. 760—763 ante Hermannum post v. 766 legebantur. — 762 *Αἰήτεω* Hermann] *αἰήτου*. — *ἐνὶ* (sic) Hermann] *ἐπί*. — 765 *ἐπίκριον* Eschenbach] *ἐπ᾽ ἰκρίον*. — 767 *πονείαθον* Hermann] *πονείατο*. — 769 *ξυνῇ τ᾽ ἐν Μινύῃσι διπλῆν* Hermann] *ξυνὴν μὲν μινύαισιν ἄδην*. — 770 *ἢ ὅγ᾽* Wiel] *ἤ μιν*. — *μόλοι* Hermann] *μόλῃ*. — 773 *Μινύῃσιν* Hermann] *μινύαισιν*. — *ἐφήνδανε* Schneider] *ἐπήνδανε*. — 775 *οἷ* Hermann] *οἱ*. — 777 *ἐς* Hermann] *εἰς*. — 778 *βασιλῆι* Schneider] *βασιλῆα*. — *ὅς ῥά τ᾽* Abel] *ὅς νιν*. — 780 *Μηδείης* Hermann] *μηδείας*.

ἀστέρα παμφανόωντα δι᾽ ἠερίοιο πορείης.
ἡ δ᾽ ἐπεὶ ἐν πέπλοισι λάβεν κεχαρηότι θυμῷ,
ἧκε φέρουσ᾽ ἐς χεύματ᾽ ἐϋρρείτου ποταμοῖο
Φάσιδος· ἀστέρα δ᾽ αἰνὸν ἀναρπάξαντα ῥεέθρῳ
οἴχεσθαι πόντοιο δι᾽ Ἀξείνοιο φέροντα.
ταῦτα δ᾽ ἐσαθρήσας δολίου ἐξέσσυτο ὕπνου
ἀπροφάτως, στυγερὸν δὲ περὶ φρένας ἵκετο δεῖμα·
ἆλτο δ᾽ ἄρ᾽ ἐξ εὐνῆς· δμωσὶν δέ οἱ ὦκ᾽ ἐπέτελλεν
ἵππους ἐντύνειν, ὑπὸ δὲ ζεύξασθαι ἀπήνην,
ὄφρα κε μειλίξαιτο κιὼν ἐπὶ ῥεῖθρον ἐραννὸν
Φᾶσιν δινήεντα σὺν ἐνδαπίαις μίγα νύμφαις
ψυχάς θ᾽ ἡρώων, ὅσσαι τ᾽ ἐπὶ ῥεῖθρον ἄμειβον.
θυγατέρας δ᾽ ἔκληζε θυώδεος ἐκ θαλάμοιο,
Χαλκιόπην σὺν παισὶν ἀποφθιμένου Φρίξοιο
ἠδ᾽ ἁπαλὴν Μήδειαν ἀριπρεπὲς εἶδος ἔχουσαν,
παρθένον αἰδοίην, ὄφρ᾽ ἂν συνέποιντο κιόντι·
Ἄψυρτος δ᾽ ἀπάνευθε δόμους ναίεσκε πόληος.
ἅρμα δ᾽ ἔπι χρύσειον ἔβη μίγα θυγατέρεσσιν
Αἰήτης. τὸν δ᾽ αἶψα διὲκ πεδίου φέρον ἵπποι
χεῖλος ὑπὲρ ποταμοῦ δονακώδεος, ἔνθα περ αἰεὶ
εὐχωλὰς ῥείθροισι καὶ ἱερὰ καλὰ κόμιζε.
κείνῃσιν δ᾽ ὄχθῃσιν ὑπέδρομος ἤλυθεν Ἀργώ.
τήν ῥα τότ᾽ Αἰήτης εἰσέδρακεν, ἐν δ᾽ ἄρα πολλοὺς
ἑξείης ἥρωας ὁμιλαδὸν ἑδριόωντας,
ἀθανάτοις ἰκέλους· περὶ γάρ οἱ τεύχεα λάμπε.
τοῖσι δ᾽ ἄρ᾽ ἐν πάντεσσι μετέπρεπε δῖος Ἰήσων·
Ἥρῃ γὰρ πέρι πάμπαν ἐτίετο, καί οἱ ἔδωκε
κάλλος τε μέγεθός τε καὶ ἠνορέην ὑπέροπλον.

783 ἐς Abel] εἰς. — χεύματ᾽ Hermann] χεῦμα. — 784 αἰνόν Wiel] αἰέν. — ῥεέθρῳ Sanctamandus] ῥέεθρον. — 787 ἀπροφάτως Hermann] ἀπροφανῆ. — ἵκετο Ruhnken] εἵλκετο. — 791 φάσιν codd. — ἐνδαπίαις Dinner] ἐνδαπίῃς. — 798 ἔπι Hermann] ἐπί. — 799 διὲκ Abel] δι᾽ ἐκ. — 800 ποταμοῖο codd. — 801 καλὰ κόμιζεν (sic) Hermann] κάλ᾽ ἐκόμιζεν (ἐκόμιζον). — 802 κείνῃσιν δ᾽ ὄχθῃσιν Hermann] κείναισιν δ᾽ ὄχθαισιν. — 803 τήν Ruhnken] καί. — 805 ἰκέλους codd. — οἱ Hermann] ἑ (ἑ). — 807 Ἥρῃ Schneider] ἥρη.

ἀλλ᾽ ὅτε δὴ σχεδὸν ὄντες ἐπ᾽ ἀλλήλοις βάλον ὄσσε,
Αἰσονίδης Μινύαι τε περὶ φρένα παχνώθησαν.
πρόσθε γὰρ Αἰήτης μὲν ἐφ᾽ ἅρματος ἠέλιος ὣς
λάμπετο μαρμαρυγῇσι πέριξ χρυσέων ἀπὸ πέπλων·
ἀμφὶ δέ οἱ στεφάνη κεφαλὴν ἔχε θυσανόεσσα
ἀκτῖσι φλογέαις· σκῆπτρον δ᾽ ἐν χερσὶν ἐνώμα
ἀστεροπαῖς ἴκελον· δοιὼ δ᾽ ἑκάτερθεν ἑήσθην
θυγατέρες· ταῖς γάρ οἱ ἀγαλλόμενος πεφόρητο.
σμερδνὸν ὑπ᾽ ὀφθαλμοῖσι δ᾽ ἐσέδρακε νηὶ πελασθείς,
καί οἱ ἀπὸ στηθέων βριαρὴν ἀνενείκατο φωνὴν
δεινὸν ὁμοκλήσας· μέγα δ᾽ ἀμφιάχων ἐγεγώνει·
  Φράζετον, οἵτινες ἐστέ, τί δὲ χρέος ὔμμας ἱκάνει,
ἔκ ποθεν ἐλδομένοισι Κυταιίδα γαῖαν ἀμεῖψαι.
οὐδ᾽ ἄρ᾽ ἐμὴν ἀλέγοντες ἀνακτορίην πεφόβησθε,
οὐδὲ λεών, σκήπτροις ἐπιήρανον ἡμετέροισι,
Κόλχων, οἵ καὶ Ἄρηι δορυσσόῳ εἰσὶν ἀτειρεῖς,
ἐς μόθον ἱεμένοις εὖ εἰδότες ἶφι μάχεσθαι.
  Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
Αἰσονίδῃ δ᾽ ἄρα θάρσος ἐνὶ πραπίδεσσιν ὄπασσεν
Ἥρη πρέσβα θεά· μέγα δ᾽ ἀντιάχων ἐγεγώνει·
  Οὔτε τι ληιστῆρες ἱκάνομεν, οὔτε τιν᾽ ἄλλην
γαῖαν ἐπιστρωφῶντες ἐγείρομεν ὕβριος αἴσῃ
ἔργ᾽ ἄδικ᾽ ἀνθρώποισιν, ἃ δὴ πολέες μεμάασι
τετλάμεν ἐν βιοτῇ κέρδους ἕνεκα σφετέροιο.
ἀλλά μοι ἆθλον ἔταξε Ποσειδῶνος φίλος υἱός,
πατροκασίγνητος Πελίης, χρύσεον ποτὶ κῶας
λαζομένους ἀφικέσθαι ἐυκτιμένην ἐς Ἰωλκόν.

810 *Αἰσονίδης* Hermann] *αἰήτης.* — 812 *μαρμαρυγῇσι* Hermann] *μαρμαρυγαῖσι.* — 813 *στεφάνη κεφαλὴν ἔχε θυσσανόεσσα* (sic) Stephanus] *στεφάνην κεφαλὴ ἔχε θυσσανόεσσαν.* — 814 *ἀκτίσι* codd. — 815 *ἴκελον* codd. — *ἑήσθην* Hermann] *ἔηστον.* — 816 *οἱ* Hermann] *κεν.* — 819 *ἀμφιάχων* Hermann] *ἀντιάχων.* — 820 *ὔμμας* Hermann] *ὑμᾶς.* — 823 *λεώ* codd. — *σκήπτροις ἐπιήρανον* Pierson] *σκήπτροισιν ἐπήρανον.* — 824 *οἵ καὶ* Hermann] *οἵ κεν.* — *δορυσσόῳ* Sanctamandus] *δορυσσόοι.* — 828 *θεῶν* codd. — 834 *Πελίης* Hermann] *πελίας.*

οὐδέ τί οἱ νώνυμνοι ἐμοὶ ἐρίηρες ἑταῖροι·
οἳ μὲν γὰρ μακάρων, οἳ δ᾽ ἡρώων γένος ἐσμέν.
οὐδέ τί οἱ πολέμων ἀδαήμονες οὐδὲ μόθοιο·
ξεῖνοι δ᾽ εὐχόμεθ᾽ εἶναι ἐφέστιοι· ὣς καὶ ἄμεινον.
Ὣς φάτο· τοῦ δ᾽ ἄρα θυμὸς ὀρίνετο ἶσος ἀέλλῃ,
Αἰήτεω, καὶ σμερδνὸν ἐσέδρακεν ὀφθαλμοῖσι
φρικτὸν ἐφ᾽ ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων.
ὀψὲ δὲ δὴ Μινύαις τοίην ἀνενείκατο φωνήν·
Εἰ μὲν δὴ Κόλχοισιν ἀρηιφάτοισιν ἐσάντα
μαρναμένοις ἐπιθεῖσθον, ἀποφθίσειν μένος ἄνδρας
ἔλπεσθ᾽· οὐ γὰρ ἀδήριτον γέρας ἔσσεται ὑμῖν,
κῶας ἀειρομένους ἰέναι πρὸς πατρίδα γαῖαν.
εἰ δέ νυ παῦροι ἐόντες ὑποκλίνοιτε φάλαγγι
ἡμετέρῃ, τότε νῆα καταφθιμένοισι κεάσσει·
εἰ δέ κέ μοι πείθοισθε, τὸ καὶ πολὺ κέρδιόν ἐστι,
κρίναντες τὸν ἄριστον, ἢ ὅς βασιλεύτερός ἐστιν,
ὄφρα κε πειρηθεὶς ἀέθλων, οὓς αὐτὸς ἐνίσπω,
κῶας ἕλῃ χρύσειον· ὃ καὶ γέρας ἔσσεται ὑμῖν.
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο· τοὶ δ᾽ ἄρ᾽ ὀπίσσω
βῆσαν ἐπειγόμενοι, Μινύαις δ᾽ ἄχος ἔπλετο θυμῷ.
καί ῥα τόθ᾽ Ἡρακλῆος ἔχον πόθον· οὐ γὰρ ἔμιμνον
ἔθνος ἀμαιμάκετον Κόλχων καὶ θούριον Ἄρην.
Νῦν δέ σοι, ὦ Μουσαῖε, παραδρομάδην ἀγορεύσω,
οἷά περ αἰνόμοροι Μινύαι πάθον, ἠδ᾽ ὅσ᾽ ἔρεξαν,
ὥς τ᾽ ἄψορρος ὄρουσ᾽ ἐκ δώματος Αἰήταο
Ἄργος ἐυμμελίης, Φρίξου πάις, ὅν ῥά τ᾽ ἔτικτε
Χαλκιόπη — τῷ γὰρ παρελέξατο πατρὸς ἐν οἴκῳ,
ἡνίχ᾽ ὑπὲρ νώτων κριοῦ Κόλχοισι πελάσθη —
ἀγγέλλων Μινύῃσιν, ἃ δὴ τελέεσθαι ἔμελλε

---

836 *νώνυμοι* codd. — 843 *Μινύαις* Abel] *μινύαισι.* — 845 *ἀνδρῶν* codd. — 846 *οὐ γὰρ* Schubert] *ὥς κεν.* — 849 *κεάσσει* Wiel] *κεάσσαι.* — 851 *τὸν* Schneider] *τίν᾽.* — 855 *ἐπειγόμενοι* Abel] *ἀμειβόμενοι.* — 861 *ἐυμελίης* (*εὐμ.* codd.). — *ῥά τ᾽* Abel] *ῥα.* — 863 *νώτῳ* codd. — 864 *Μινύῃσιν* Hermann] *μινύαισιν.*

σφῇσιν ἀτασθαλίῃσι πολυφθόρου Αἰήταο·
ἠδ᾽ ὡς παρθενίοις αὐτοῦ φίλτροισι δαμάσθη
αἰνόγαμος Μήδεια θεᾶς Ἥρης διὰ βουλάς —
ἐν δέ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφος Κυθέρεια,
ἧκε δ᾽ ἄρ᾽ ἰὸν ὑπὸ σπλάγχνοις δασπλῆτις Ἐρινύς —
ὥς τε βόας ζεύγλῃσι δαμάσσατο πῦρ πνείοντας
τετραγύῳ θέμενος σπόρον αὔλακι, τόν ῥ᾽ ἐκόμισσε
Φρίξος ἐυμμελίης, ὅτ᾽ ἔβη δόμον Αἰήταο,
ἕδνον Ἐνυαλίοιο δρακοντείων ἀπ᾽ ὀδόντων·
ἠδ᾽ ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν
αὐτοφόνῳ παλάμῃ, ὥς τ᾽ ἀγλαὸν ἤρατο κῦδος
Αἰσονίδης· ὥς τ᾽ ἦλθε διὲκ μεγάρων λελαθοῦσα
λῖτι καλυψαμένη ἑανῷ διὰ νύκτερον ὄρφνην
παρθένος αἰνολεχής — πέρι γάρ ῥά ἑ τεῖρον ἔρωτες
νηὸς ἐπ᾽ Ἀργῴης πελάσαι, καὶ πότνι᾽ ἀνάγκη —
οὔ τιν᾽ ὀπιζομένη, πατρὸς χόλον οὐκ ἀλέγουσα.
ἠδ᾽ ὡς ἀμφιπλακεῖσα περιπτύξασά τε μορφὰς
στέρνα τε μαιμώωσα κύσεν χαρίεν τε πρόσωπον
δάκρυσι πλημμύρουσα γενειάδας· οὐδέ τιν᾽ αἰδῶ
ἔσχε πόθων ἥρωος, ἐλαυνομένη δ᾽ ὑπὸ φίλτρων
παρθενίην ἔρριψε γάμων τ᾽ εὐήνορα θεσμόν·
ἄλλα τε καὶ μάλα πολλά, τά θ᾽ ὕστερον αὖτις ἀκούσῃ.
Ἀλλ᾽ ὅτε δὴ Μήδεια λίπεν δόμον Αἰήταο
λαθριδίη καὶ νηὸς ἐφ᾽ ἡμετέρης ἐπελάσθη,
δὴ τότε οἱ κατὰ θυμὸν ἐμηδόμεθ᾽, ὄφρα μολόντες
ἀμφ᾽ ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.
ῥᾷστα περὶ φρεσὶ δ᾽ ἦσι δοκεύομεν, οὐδέ τις ἡμέων
ἔγνω μόχθον ἄελπτον· ἐφέσπετο γὰρ μέγα ἔργον
πᾶσιν ἐφ᾽ ἡρώεσσι, κακῶν δ᾽ ἀνεφαίνετο πυθμήν.

---

866 *φίλτροισι δαμάσθη* Hermann] *φιλτροῖς ἐδαμάσθη.* — 868 *δέ* Hermann] *γάρ.* — 870 *πῦρ* Dorville] *πυρί.* — 871 *τετραγύῳ* Sanctamandus] *τετράγυον.* — 873 *Ἐνυαλίοιο* Schneider] *ἐνυάλιόν τε.* — 875 *ὥς τ᾽* Hermann] *πῶς δ᾽.* — 882 *χαρίεν* Schenkl] *χάριέν.* — 884 *ἥρωας* codd. — 885 *θεσμόν* Schneider] *θυμόν.* — 886 *ἄλλα τ᾽ αὖ πολλὰ καὶ ἐσύστερον αὖθις ἀκούσῃ* codd.; corr. Hermann.

πρόσθε γὰρ Αἰήταο δόμων ποταμοῖό τ' ἐραννοῦ
ἐννέ' ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον ἄντην
φρουρεῖται πύργοισι καὶ εὐξέστοισι μύδροισιν,
ἑπτὰ περὶ στεφάνοισι κυκλούμενον. ἐν δ' ἄρα τρισσαὶ
χαλκήρεις πύλαι εἰσὶ πελώριοι· ἐν δ' ἄρα τῇσι
τεῖχος ἐπιθρώσκει, πέρι δ' αὖ χρύσειαι ἐπάλξεις.
αὐτὰρ ἐπὶ σταθμοῖο πυλῶν τηλῶπις ἄνασσα
ἱστάνει αἰθύσσουσα πυρὸς σέλας, ἥν τέ νυ Κόλχοι
Ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται,
δεινὴν ἀνθρώποισιν ἰδεῖν, δεινήν τ' ἐσακοῦσαι,
εἰ μή τις τελετὰς πελάσει καὶ θύσθλα καθαρμῶν,
ὅσσα περ ἀρήτειρα καθάρματα μύστις ἔκευθεν,
αἰνολεχὴς Μήδεια Κυταιιάσιν μίγα κούραις.
οὐδέ τις ἐνδοτέρω κείνην ὁδὸν εἰσεπέρησεν
ἐνδάπιος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας·
εἴργει γὰρ πάντη δεινὴ θεὸς ἡγεμόνεια
λύσσαν ἐπιπνείουσα πυριγλήνοις σκυλάκεσσιν.
ἐν δέ σφιν πυμάτῳ μυχῷ ἕρκεος ἄλσος ἀμείβει
δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαὶ
δάφναι τ' ἠδὲ κράνειαι ἰδ' εὐμήκεις πλατάνιστοι·
ἐν δέ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν,
ἀσφόδελος κλύμενός τε καὶ εὐώδης ἀδίαντος,
καὶ θρύον ἠδὲ κύπειρον ἀριστερεών τ', ἀνεμώνη
ὅρμινόν τε καὶ εἰρύσιμον κυκλαμίς τε θυώδης,
στοιχὰς παιονίη τε πολύκνημόν τε κάτερνες,
μανδραγόρης πόλιόν τ'· ἔπι δὲ ψαφαρὸν δίκταμνον
εὔοδμός τε κρόκος καὶ κάρδαμον· ἐν δ' ἄρα κῆμος,

894 ἐραννοῦ Hermann] ἐρυμνοῦ. - 898 τῇσιν (sic) Hermann] ταῖσι. — 899 πέρι Hermann] περί. — 900 τηλῶπες codd. — 901 ἱστάνει Hermann] ἵστανεν. — αἰθύσσουσα Schneider] αἰθύουσα. — 904 τελεταῖς codd. — 906 αἰνολεχής Abel] δεινολεχής. — Κυταιιάσιν Abel] κυτηιάσιν (κυτιάσιν) — 910 λύσσα codd. — πυριγλήνοις Tyrwhitt] ὑπὲρ γαληνοῖς. — 916 ἀνεμώνη Hermann] ἀμενηνά. — 917 ὅρμινόν Eschenbach] ὁρμιόν. — κυκλαμές codd. — τε θυώδης Wiel] τε θεοειδής. 918 πολύκνημόν τε κάτερνες Hermann] κάτερνές τε πολύκνημον. — 919 ἔπι Hermann] ἐπί. — δίκταμνον Schneider] δίκταμον. — 920 καὶ Hermann] ἰδέ.

σφῇσιν ἀτασθαλίῃσι πολυφθόρου Αἰήταο·
ἠδ᾽ ὡς παρθενίοις αὐτοῦ φίλτροισι δαμάσθη
αἰνόγαμος Μήδεια θεᾶς Ἥρης διὰ βουλάς —
ἐν δέ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφος Κυθέρεια,
ἧκε δ᾽ ἄρ᾽ ἰὸν ὑπὸ σπλάγχνοις δασπλῆτις Ἐριννύς —
ὥς τε βόας ζεύγλῃσι δαμάσσατο πῦρ πνείοντας
τετραγύῳ θέμενος σπόρον αὔλακι, τόν ῥ᾽ ἐκόμισσε
Φρίξος ἐυμμελίης, ὅτ᾽ ἔβη δόμον Αἰήταο,
ἕδνον Ἐνυαλίοιο δρακοντείων ἀπ᾽ ὀδόντων·
ἠδ᾽ ὡς δυσμενέων σπαρτῶν στάχυν ἐξενάριξεν
αὐτοφόνῳ παλάμῃ, ὥς τ᾽ ἀγλαὸν ἤρατο κῦδος
Αἰσονίδης· ὥς τ᾽ ἦλθε διὲκ μεγάρων λελαθοῦσα
λῖτι καλυψαμένη ἑανῷ διὰ νύκτερον ὄρφνην
παρθένος αἰνολεχής — πέρι γάρ ῥά ἑ τεῖρον ἔρωτες
νηὸς ἐπ᾽ Ἀργῴης πελάσαι, καὶ πότνι᾽ ἀνάγκη —
οὔ τιν᾽ ὀπιζομένη, πατρὸς χόλον οὐκ ἀλέγουσα.
ἠδ᾽ ὡς ἀμφιπλακεῖσα περιπτύξασά τε μορφὰς
στέρνα τε μαιμώωσα κύσεν χαρίεν τε πρόσωπον
δάκρυσι πλημμύρουσα γενειάδας· οὐδέ τιν᾽ αἰδῶ
ἔσχε πόθων ἥρωος, ἐλαυνομένη δ᾽ ὑπὸ φίλτρων
παρθενίην ἔρριψε γάμων τ᾽ εὐήνορα θεσμόν·
ἄλλα τε καὶ μάλα πολλά, τά θ᾽ ὕστερον αὖτις ἀκούσῃ.
Ἀλλ᾽ ὅτε δὴ Μήδεια λίπεν δόμον Αἰήταο
λαθριδίη καὶ νηὸς ἐφ᾽ ἡμετέρης ἐπελάσθη,
δὴ τότε οἱ κατὰ θυμὸν ἐμηδόμεθ᾽, ὄφρα μολόντες
ἀμφ᾽ ἱερῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.
ῥᾶστα περὶ φρεσὶ δ᾽ ᾖσι δοκεύομεν, οὐδέ τις ἡμέων
ἔγνω μόχθον ἄελπτον· ἐφέσπετο γὰρ μέγα ἔργον
πᾶσιν ἐφ᾽ ἡρώεσσι, κακῶν δ᾽ ἀνεφαίνετο πυθμήν.

---

866 *φίλτροισι δαμάσθη* Hermann] *φιλτροῖς ἐδαμάσθη*. — 868 *δέ* Hermann] *γάρ*. — 870 *πῦρ* Dorville] *πυρί*. — 871 *τετραγύῳ* Sanctamandus] *τετράγυον*. — 873 *Ἐνυαλίοιο* Schneider] *ἐνυάλιόν τε*. — 875 *ὥς τ᾽* Hermann] *πῶς δ᾽*. — 882 *χαρίεν* Schenkl] *χάριέν*. — 884 *ἥρωας* codd. — 885 *θεσμόν* Schneider] *θυμόν*. — 886 *ἄλλα τ᾽ αὖ πολλὰ καὶ ἐσύστερον αὖθις ἀκούσῃ* codd.; corr. Hermann.

πρόσθε γὰρ Αἰήταο δόμων ποταμοῖό τ' ἐραννοῦ
ἐννέ' ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον ἄντην
φρουρεῖται πύργοισι καὶ εὐξέστοισι μύδροισιν,
ἑπτὰ περὶ στεφάνοισι κυκλούμενον. ἐν δ' ἄρα τρισσαὶ
χαλκήρεις πύλαι εἰσὶ πελώριοι· ἐν δ' ἄρα τῇσι
τεῖχος ἐπιθρώσκει, πέρι δ' αὖ χρύσειαι ἐπάλξεις.
αὐτὰρ ἐπὶ σταθμοῖο πυλῶν τηλῶπις ἄνασσα
ἱστάνει αἰθύσσουσα πυρὸς σέλας, ἥν τέ νυ Κόλχοι
Ἄρτεμιν ἐμπυλίην κελαδοδρόμον ἱλάσκονται,
δεινὴν ἀνθρώποισιν ἰδεῖν, δεινήν τ' ἐσακοῦσαι,
εἰ μή τις τελετὰς πελάσει καὶ θύσθλα καθαρμῶν,
ὅσσα περ ἀρήτειρα καθάρματα μύστις ἔκευθεν,
αἰνολεχὴς Μήδεια Κυταιιάσιν μίγα κούραις.
οὐδέ τις ἐνδοτέρω κείνην ὁδὸν εἰσεπέρησεν
ἐνδάπιος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας·
εἴργει γὰρ πάντῃ δεινὴ θεὸς ἡγεμόνεια
λύσσαν ἐπιπνείουσα πυριγλήνοις σκυλάκεσσιν.
ἐν δέ σφιν πυμάτῳ μυχῷ ἕρκεος ἄλσος ἀμείβει
δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαὶ
δάφναι τ' ἠδὲ κράνειαι ἰδ' εὐμήκεις πλατάνιστοι·
ἐν δέ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν,
ἀσφόδελος κλύμενός τε καὶ εὐώδης ἀδίαντος,
καὶ θρύον ἠδὲ κύπειρον ἀριστερεών τ', ἀνεμώνη
ὅρμινόν τε καὶ εἰρύσιμον κυκλαμίς τε θυώδης,
στοιχὰς παιονίη τε πολύκνημόν τε κάτερνες,
μανδραγόρης πόλιόν τ'· ἔπι δὲ ψαφαρὸν δίκταμνον
εὔοδμός τε κρόκος καὶ κάρδαμον· ἐν δ' ἄρα κῆμος,

894 ἐραννοῦ Hermann] ἐρυμνοῦ. — 898 τῇσιν (sic) Hermann] ταῖσι. — 899 πέρι Hermann] περί. — 900 τηλῶπες codd. — 901 ἱστάνει Hermann] ἵστανεν. — αἰθύσσουσα Schneider] αἰθύουσα. — 904 τελεταῖς codd. — 906 αἰνολεχής Abel] δεινολεχής. — Κυταιιάσιν Abel] κυτηιάσιν (κυτιάσιν) — 910 λύσσα codd. — πυριγλήνοις Tyrwhitt] ὑπὲρ γαληνοῖς. — 916 ἀνεμώνη Hermann] ἀμενηνά. — 917 ὅρμινόν Eschenbach] ὁρμιόν. — κυκλαμές codd. — τε θυώδης Wiel] τε θεοειδής. 918 πολύκνημόν τε κάτερνες Hermann] κάτερνές τε πολύκνημον. — 919 ἔπι Hermann] ἐπί. — δίκταμνον Schneider] δίκταμον. — 920 καὶ Hermann] ἰδέ.

σμῖλαξ ἠδὲ χαμαίμηλον μήκων τε μέλαινα
ἀλκείη, πάνακες καὶ κάρπασον ἠδ' ἀκόνιτον·
ἄλλα τε δηλήεντα κατὰ χθόνα πολλὰ πεφύκει.
μέσσον δ' ἠερόμηκες ἐπὶ στύπος ἄλσεϊ πολλῷ
ἤπλωται φηγοῖο, πέριξ κλαδέεσσιν ἐραννόν.
ἐν δ' ἄρα οἱ χρύσειον ἐπικρέματ' ἔνθα καὶ ἔνθα
ὄρπηκος ταναοῖο δέρας, τό οἱ ἀμφιδοκεύει
δεινὸς ὄφις, θνητοῖς ὀλοὸν τέρας, οὐ φατὸν εἰπεῖν·
χρυσέαις γὰρ φολίδεσσιν ἐθείρεται, ἐν δ' ἄρα πρέμνον
ἀπλήτοις ὁλκοῖσι φορεύμενος ἀμφιπολεύει,
σῆμα χαμαιζήλοιο Διός, ποτὶ κῶας ἀμείβων·
φρουραῖς δ' ἀκμήτοις ἐπιμαίνεται ἄμμορος ὕπνου
γλαυκοῖς ἀμφ' ὄσσοισιν ἀναιδέ' ἄκανθαν ἑλίσσων.
Αὐτὰρ ἐπεὶ κλύομεν τόδ' ἐτήτυμον, ὡς ἐτέτυκτο,
ἀμφί τε Μουνυχίης Ἑκάτης φρουρῆς τε δράκοντος,
πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως Μήδεια,
διζόμεθ' οἶμον ἄελπτον ὀϊζυροῖο πόνοιο,
ὥς κέ μιν Ἀγροτέρην μειλιξάμενοι πεπίθοιμεν,
ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
δέρμ' ἀπονοστήσαιμεν ἑὴν ἐς πατρίδα γαῖαν.
καὶ τότε δὴ μετὰ πᾶσιν ὁμόκλεεν ἡρώεσσι
Μόψος — ὃ γάρ τ' ἐδάη σφῇσιν τάδε μαντοσύνῃσιν —
ὄφρ' ἐμὲ γουνάσσωνται ἐπιστείβουσί οἱ ἔργον
Ἄρτεμιν ἵλασθαι θέλξαι θ' ὑπερήνορα θῆρα.
ὣς οἱ μὲν λίσσοντο περισταδόν· αὐτὰρ ἔγωγε
Αἰσονίδην ἐκέλευσα δύω θ' ἅμα φῶτε κραταιώ,

---

921 *σμῖλαξ* Abel] *σμίλαξ*. — 922 *ἀλκείη* Hermann] *ἄλκυα καί*. — *κάρπασον* Hermann] *κάλπασον*. — 925 *κλαδέεσσιν* Abel] *κλαδεῶσιν*. — *ἐραννόν* Hermann] *ἐρυμνόν*. — 926 *ἐπικρέματ'* Hermann] *ἐπεκρέματ'*. — 927 *τό οἱ ἀμφιδοκεύει* Hermann] *τό κεν αἶψα δοκεύει*. — 929 *χρυσέαις* Hermann] *χρυσαῖς*. — 930 *ἀπλήτοις* Hermann] *ἀπλάτοις*. — 932 *ἀκμήτοις* Hemsterhuys] *ἀδμήτοις*. — *ἐπιμαίνεται* Wiel] *ἐπιμαίεται*. — 933 *ἀναιδέ' ἄκανθαν* Wiel] *ἀναιδέα κανθόν*. — 935 *ἀμφί τε* Hermann] *ἀμφί γε*. — 937 *οἶμον* Gesner] *οἱ μέν*. — 938 *μιν* Abel] *νιν*. — 942 *γάρ τε δαείς φησιν* codd. — 943 *ἐπιστείβουσί οἱ* Hermann] *ἐπιστείβωσι δέ*. — 946 *θ' ἅμα* Hermann] *δή*.

Κάστορά θ᾽ ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα,
Μόψον τ᾽ Ἀμπυκίδην ἰέναι πρὸς τέρματα μόχθου.
αὐτὰρ ἐμοὶ Μήδεια συνέσπετο μούνη ἀπ᾽ ἄλλων.
ἡνίκα δ᾽ ἐς σηκοὺς ἱκόμην ζάθεόν τε θεράπνην,
χώρῳ ἐπὶ πλακόεντι βόθρον τρίστοιχον ὄρυξα,
φιτρούς τ᾽ ἀρκεύθοιο καὶ ἀζαλέης ἀπὸ κέδρου
ῥάμνου τ᾽ ὀξυτόροιο πολυκλαύτων τ᾽ αἰγείρων
ὦκα φέρων νῆσα πυρὴν ἔντοσθε βόθροιο.
πολλὰ δέ μοι φέρε φάρμακ᾽ ἐπισταμένη Μήδεια
φωριαμῶν ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.
αὐτίκα δ᾽ οὐλοπλάσμαθ᾽ ἐπὶ πλεκταῖς ἐπονεύμην,
ἐν δὲ πυρῇ ἐνέβαλλον ἰδ᾽ ἔντομα θύματ᾽ ἔρεζον
σκύμνους παμμέλανας σκυλάκων τρισσοὺς ἱερεύσας.
αἵματι δ᾽ αὖ χάλκανθον ἰδὲ στρούθειον ἔμιξα
κνῆκόν τε, σχιστήν, ἔπι τε ψύλλειον ἀηδὲς
ἄγχουσάν τ᾽ ἐρυθρὴν ἰδὲ χάλκιμον. αὐτὰρ ἔπειτα
νηδύας ἐμπλήσας σκυλάκων φιτροῖς ἐπέθηκα·
ὕδατι δ᾽ αὖ μίξας λοιβὰς χεόμην περὶ βόθρον,
ὄρφνινά θ᾽ ἑσσάμενος φάρη καὶ ἀπεχθέα χαλκὸν
κρούων ἐλλισάμην. αἳ δ᾽ ὀτραλέως ὑπάκουσαν
ῥήξασαι κενεῶνας ἀμειδήτοιο βερέθρου
Τισιφόνη τε καὶ Ἀληκτὼ καὶ δῖα Μέγαιρα
πεύκαις ἀζαλέαις φόνιον σέλας αἰθύσσουσαι.
καίετο δ᾽ αὐτίκα βόθρος, ἐπεσμαράγει δ᾽ ὀλοὸν πῦρ·
λιγνὺς δ᾽ αἰθαλόεσσα χύθη περιμηκεῖ καπνῷ.
αὐτίκα δ᾽ ἐξ Ἀίδαο διὰ φλογὸς ἠγέρθησαν

---

950 ἐς Abel] εἰς. — 953 ὀξυτόροιο Abel] ὀξυτέροιο. — 954 νῆσα Gesner] ἔνησα. — ἔντοσθε Schneider] ἔμπροσθε. — 955 φάρμακ᾽ Schneider] πάμπαν. — 957 οὐλοπλάσμαθ᾽ Hermann] οὐλαοπλάσμαθ᾽. — ἐπὶ πλεκταῖς Abel] ὑπὸ πέπλους. — 958 ἐν δὲ πυρῇ ἐνέβαλλον Hermann] ἂν δὲ πυρὴν ἐπέβαλλον. — 961 κνίκον codd. — ἔπι Hermann] ἐπί. — ψυλλεῖον (sic) Hermann] ψύλλιον. — 963 φιτροῖς ἐπέθηκα Hermann] φιτροῖσιν ἔθηκα. — 964 λοιβάς Hermann] χολάδας. — 969 αἰθύσσουσαι Ruhnken] αἴσσουσαι. — 970 ἐπεσμαράγει Schrader] ἐσμαράγη. — 971 περιμηκέϊ (sic, corr. Schenkl) Hermann] περιμήκετα. — καπνῷ Schneider] καπνόν.

δειναὶ θαμβήτειραι, ἀπηνέες, ἀπροσίρατοι.
ἣ μὲν γὰρ δέμας ἔσχε σιδήρεον, ἣν καλέουσι
Πανδώρην χθόνιοι· σὺν δ᾽ αἰολόμορφος ἵκανε,
τρισσοκέφαλος ἰδεῖν, ὀλοὸν τέρας, οὔτι δαϊκτόν,
Ταρταρόπαις Ἑκάτη· λαιοῦ δ᾽ ἄρ᾽ ἐπέσσυτο ὤμου
ἵππος χαιτήεις, κατὰ δεξιὰ δ᾽ ἦεν ἀθρῆσαι
λυσσῶπις σκυλάκη, μέσση δὲ συαγριόμορφος·
χερσὶν δ᾽ ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα.
ἐγκύκλιαι δ᾽ εἱλεῖντο πέριξ βόθρον ἔνθα καὶ ἔνθα
Πανδώρη Ἑκάτη τε, συνεσσείοντο δὲ Ποιναί.
ἐν δ᾽ ἄφαρ Ἀρτέμιδος φρουρὸν δέμας ἧκε χαμᾶζε
πεύκας ἐκ χειρῶν, ἐς δ᾽ οὐρανὸν ἤραρεν ὄσσε.
σαῖνον δὲ σκύλακες πρόπολοι, λύοντο δ᾽ ὀχῆες
κλείθρων ἀργαλέων, ἀνὰ δ᾽ ἔπτατο καλὰ θύρετρα
τείχεος εὐρυμενοῦς, ὑπεφαίνετο δ᾽ ἄλσος ἐραννόν.
αὐτὰρ ἐγὼν ὑπὲρ οὐδὸν ἔβην· τῆμος δέ τε κούρη
Αἰήτεω Μήδεια, καὶ Αἴσονος ἀγλαὸς υἱὸς
Τυνδαρίδαι τ᾽ ἤπειγον ὁμοῦ, σὺν δ᾽ ἕσπετο Μόψος.
ἀλλ᾽ ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ἐραννὴ
κρηπίς τε ξενίοιο Διὸς καὶ βώμιος ἕδρη,
ἔνθα δράκων ὁλκοῖσιν ὑπ᾽ ἀπλήτοισιν ἑλιχθεὶς
δινεύων ἀνάειρε κάρη βλοσυρόν τε γένειον,
ἂν δ᾽ ὀλοὸν σύριξ᾽· ἐπὶ δ᾽ ἔβραχεν ἄσπετος αἰθήρ·
δένδρεα δ᾽ ἐσμαράγησε κραδαινόμεν᾽ ἔνθα καὶ ἔνθα
πρυμνόθεν ἐκ ῥίζης· ἰάχησε δὲ σύσκιον ἄλσος.
αὐτὰρ ἐμ᾽ ἠδ᾽ ἑτάρους τρόμος ἔλλαβε, νόσφι δὲ μούνη
Μήδει᾽ ἐν στέρνοισιν ἀκαμπέα θυμὸν ἐνώμα·
δρέψατο γὰρ παλάμῃσι λυγρῶν ἀποθρίσματα ῥιζῶν.
καὶ τότ᾽ ἐγὼ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφήν,

---

977 *ἐπέσσυτο* Wiel] *ἐπέσσυθεν.* — 979 *δὲ συαγριόμορφος* Wiel] *δ᾽ ἔφυ ἀγριόμορφος.* — 981 *δ᾽ εἱλεῖντο* Wiel] *δινεῦντο.* — *πέριξ* Hermann] *περί.* — 987 *ἐραννόν* Hermann] *ἐρυμνόν.* — 988 *τῆμος δὲ τότε κούρη* codd. — 993 *ὑπ᾽ ἀπλάτοισιν* (*-ήτοισιν* Hermann) Pierson] *ὑπὸ πλατέεσσιν.* — 999 *ἐν* Hermann] *ἐνί.* — *στέρνοισιν* Sanctamandus] *στέρνοις.*

κλάγξας δ' ἐξ ὑπάτης χέλυος βαρυηχέα φωνὴν
σιγαλέοις ἄφθεγκτον ἐμοῖς ὑπὸ χείλεσι πέμπον.
κλῇξα γὰρ ὕπνον ἄνακτα θεῶν πάντων τ' ἀνθρώπων,
ὄφρα μολὼν θέλξειε μένος βριαροῖο δράκοντος.
ῥίμφα δέ μοι ὑπάκουσε, Κυταιίδα δ' ἶκτ' ἐπὶ γαῖαν·
κοιμήσας δ' ὅγε φῦλα πανημερίων ἀνθρώπων
καὶ ζαμενεῖς ἀνέμων πνοιὰς καὶ κύματα πόντου
πηγάς τ' ἀενάων ὑδάτων ποταμῶν τε ῥέεθρα
θῆράς τ' οἰωνούς τε τά τε ζώει τε καὶ ἕρπει
εὐνάζων ἤμειψεν ὑπὸ χρυσέαις πτερύγεσσιν.
ἶξε δ' ἐπὶ στυφελῶν Κόλχων εὐανθέα χῶρον·
κῶμα δ' ἄφαρ κατέμαρψε πελωρίου ὄσσε δράκοντος
ἰσοπαλὲς θανάτῳ· δολιχὴν δ' ἀμφ' αὐχένι δειρὴν
θῆκε καρηβαρέων φολίσιν. θάμβησε δ' ἰδοῦσα
αἰνόποτμος Μήδεια, καὶ Αἴσονος ἀγλαὸν υἷα
ἦκ' ἐπιθαρσύνουσα θοῶς πρέμνοιο λαβέσθαι
κῶας χρυσεόμαλλον· ὃ δ' οὐκ ἀπίθησεν ἀκούσας·
αὐτὰρ ἀειράμενος δέρας ἄπλετον ἶκτ' ἐπὶ νῆα.
Ἥρωες Μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας
ἀθανάτοις ἤειραν, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ὣς οἳ μὲν περὶ κῶας ὁμίλεον· αἶψα δ' Αἰήτης
ἀμφιπόλων ἤκουσεν ἀποιχομένην Μήδειαν.
ὦκα δ' ἄρ' Ἀψύρτῳ ἐπετέλλετο λαὸν ἀγείρειν,
μαστεύειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὄπατρον·
ἀλλά οἱ ὠκὺς ἔπειγε παρὰ προχοὰς ποταμοῖο
ἐς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
νὺξ δέ οἱ ἀστροχίτων μέσσην παράμειβε πορείην·
ἐκ δ' ἐτελεῖτο δόλος στυγερὸς καὶ κῆρες ἀιδναὶ
Μηδείης ὑπ' ἔρωτος ἀγακλυτοῦ Ἀψύρτοιο,
ὃν ῥα κατακτείναντες ἐπὶ προχοὰς μεθέηκαν
ὀρνυμένου ποταμοῖο· φέρεν δ' ὅγε κύματι κραιπνῷ.

1002 δ' ἐξ Hermann] δ' ἄρ' ἐξ. — 1006 *Κυταιίδα* Abel] *κυτηάδα*. — ἶκτ' Schneider] ἦκτ' (ἧκ'). — 1012 ἐπὶ Pierson] ὑπό. — 1022 ὁμίλεον Abel] ὀπώπεον. — 1027 ἐς Hermann] εἰς. — 1028 πορείην Hermann] πορείαν. — 1030 ἀγακλυτοῦ Abel] ἐρικλυτοῦ.

θεινόμενον δίναις δ' ἐς κῦμ' ἁλὸς ἀτρυγέτοιο
κέλσεν ὑπὲρ νήσων, Ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλά οἱ οὔτι λάθον Διὸς ἐπόψιον οὐδὲ θέμιστας.
αὐτὰρ ἐπεὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ' ἑκάτερθεν
ὄχθης πείσματ' ἔκοψαν, ὑπ' εἰρεσίαις δὲ θοῇσι
πλεῖον ἐπειγόμενοι ποταμοῦ τίμον· οὐδὲ κατ' ἰθὺ
πόντον ἐπ' ἰχθυόεντα διὰ στόμα Φάσιδος εὐρὺ
ἵεμεθ'· ἀμπλακίῃ δὲ φορεύμεθα πολλὸν ὀπίσσω
αἰὲν ἀναπλείοντες· ἐλείπετο δ' ἄστεα Κόλχων
ἀφραδέσιν Μινύαις, δνοφερὴ δέ τε ἄμφεχεν ὄρφνη.
αὐτὰρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσι
μεσσάτιοι πεδίοιο· βροτοὶ δέ μιν ἀμφινέμονται
Γυμνοὶ Βουνόμαι τε καὶ Ἄρκυες ἀγροιῶται
Κερκετικῶν τ' ἀνδρῶν φῦλον Σίνδων τ' ἀγερώχων,
οἳ νάσσαντο μεσηγὺ Χαρανδαίων αὐλώνων
Καυκάσιον παρὰ πρῶνα διὰ στεινῆς Ἐρυθείης.
ἀλλ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠώς,
ποιανθεῖ νήσῳ προσεκέλσαμεν, ἔνθα τε δισσὰ
χεύμασιν ἀπλήτοισι περισχίζουσι ῥέεθρα,
Φᾶσις τ' εὐρυμενὴς ἀκαλαρρείτης τε Σαράγγης·
τόν ῥα πλημμύρουσα διὰ χθονὸς εἰς ἅλα πέμπει
Μαιῶτις καναχηδὸν ἑλειονόμου διὰ ποίης.
καὶ τόθ' ὑπ' εἰρεσίῃ πλέομεν διὰ νύκτα καὶ ἦμαρ·
δισσαῖς δὲ τρομερῇσι Βοὸς πόρον ἐξικόμεσθα,
λίμνης ὄντα μεσηγύ, βοοκλόπος οὗ ποτε Τιτὰν
ταύρῳ ἐφεζόμενος βριαρῷ πόρον ἔσχισε λίμνης.
καί ῥα πανημερίῃσι πονεύμενοι εἰρεσίῃσι

1033 *θεινόμενον δίναις δ'* Hermann] *θεινόμενος δὲ δίναις.* — *ἐς* Abel] *εἰς.* — 1038 *οὐδὲ κατ' ἰθύ* Hermann] *οὔτι κατευθύ.* — 1042 *δνοφερή* Ruhnken] *σκοτερή.* — 1045 *βουνόμαι* codd. — 1046 *Σίνδων* Eschenbach] *σινδᾶν* (*σιντῶν*). — 1047 *νάσσαντο* Hermann] *κείσαντο* (*κήσαντο*). — *τ'* ante *αὐλ.* delevit Hermann. — 1048 *Ἐρυθείης* Abel] *ἐρυθείας.* — 1050 *ἔνθα τε δισσά* Hermann] *ἐνθάδε δισσοί.* — 1051 *ἀπλήτοισι* Hermann] *ἀπλώτοισι.* — 1056 *δὲ τρομεραῖσι* (sic) Wiel] *δ' ἐν τριμόροισι.* — 1057 *ὄντα* Gesner] *ὄντε.*

Μαιώτας πρώτους ἀφικάνομεν ἁβροχίτωνας
ἠδὲ Γελωνὸν ἔθνος Βαθυάγρων τ᾽ ἄπλετα φῦλα
Σαυρομάτας τε Γέτας τε καὶ Ὑλαίους Κέκρυφάς τε
Ἀρσωπάς τ᾽ Ἀριμασπά τ᾽ ἔθνη, πολυπάμονα λαόν,
ὧν περιναιετάει γενεὴ Μαιώτιδα λίμνην.
αὐτὰρ ἐπειγομένοισι δύην ἀμέγαρτον ἔθηκαν
ἀθάνατοι, πύματον δὲ βρυχὸς διαμείψαμεν ὕδωρ·
ὄχθαις δὲ χθαμαλῇσιν ἀποβλύει αἰπὺν ὄλεθρον
ῥοίζῳ ἐλαυνομένη. καναχῇ δέ τοι ἄσπετος ἅλμη
ἀρκτῴοις περάτεσσιν ἐπέρχεται Ὠκεανόνδε·
τῇ ῥα τόθ᾽ ἁρπαχθεῖσα διὰ στόματος κίεν Ἀργώ.
ἐννέα μὲν νύκτας τε καὶ ἤματα μοχθίζοντες
λείπομεν ἔνθα καὶ ἔνθα βροτῶν ἀγχήρεα φῦλα,
Πακταίων Ἀρκτίων τε γένος Λελίων τ᾽ ἀγερώχων,
τοξοφόρους τε Σκύθας, Ἄρεος πιστοὺς θεράποντας,
Ταύρους τ᾽ ἀνδροφάγους, οἳ ἀμειδέα θύσθλα φέρουσι
Μουνυχίῃ, βροτέῳ δ᾽ ἐπιδεύεται αἵματι κρητήρ·
ἄνδρας Ὑπερβορέους, Νομάδας καὶ Κάσπιον ἔθνος.
αὐτὰρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
Ῥιπαίους αὐλῶνας ἐκέλσαμεν, ἐκ δ᾽ ἄφαρ Ἀργὼ
ἤι᾽ ἐπιπροθέουσα διὰ στεινοῖο ῥεέθρου,
ἔμπεσε δ᾽ Ὠκεανῷ· Κρόνιον δέ ἑ κικλήσκουσι
πόντον Ὑπερβόρεοι μέροπες νεκρήν τε θάλασσαν.
οὐκέτι δὲ προφυγεῖν ἐδοκεύομεν αἰπὺν ὄλεθρον·
εἰ μὴ ἄρ᾽ ὁρμαίνουσαν ὑπὸ κρατερῆφι βίηφι
νῆα μολεῖν ἴθυν᾽ ἐπὶ δεξιὸν αἰγιαλοῖο

1061 *γελωνῶν* codd. — 1062 *Ὑλαίους* Hermann] *γυμναίους*. — 1063 *Ἀριμασπά τ᾽* Hermann] *ἀριμάσπας*. — *πολυπάμονα* Gesner] *πολυπήμονα*. — *λαόν* Hermann] *λαῶν*. — 1064 *γενεὴ* Pierson] *ἐν γῇ*. — 1065 *ἐπειγομένοισι* Wiel] *ἐπεὶ μὲν τοῖσι*. — 1066 *βρυχὸς* Wiel] *βυθοῦ*. — 1067 *ὄχθαις δὲ* Wiel] *ὄχθῃσιν*. — 1068 *καναχῇ* Schneider] *καναχεῖ*. — *ἅλμη* Hermann] *ὕλη*. — 1070 *τῇ ῥα* Hermann] *τῷ ῥα* (*δή ῥα*). — 1072 *ἀγχήρεα* Hermann] *ἀγνηνέα* (*ἀγνινέα*). — 1077 *ἄνδρας* Wiel] *ἂν δ᾽ ἄρ᾽*. — 1080 *ἤι᾽* Hermann] *ἄγεν*. — 1082 *Ὑπερβόρεοι* Schneider] *ὑπερβορέην*. — 1083 *ἐδοκεύομεν* Hermann] *ἐδοκεῦμεν*.

Ἀγκαῖος ξεστοῖσι πιθήσας πηδαλίοισιν.
ἣ δ᾿ ἔθορεν δισσῇσι βιαζομένη παλάμῃσιν.
ἀλλ᾿ ὅτε δὴ μογερῇσιν ἐδαμνάμεθ᾿ εἰρεσίῃσι,
χεῖρες δ᾿ οὐκέτ᾿ ἔμιμνον, ἀκηχέμενοι δὲ φίλον κῆρ
πήχεας ἀμπλέξαντες ἐνηρείσαντο μέτωπα
ἱδρῷ ἀποψύχοντε· κέαρ δέ τε τείρετο λιμῷ.
Ἀγκαῖος δ᾿ ἐξᾶλτο καὶ ἄλλους πάντας ὄτρυνεν
ἥρωας μαλακοῖσι παραιφάμενος ἐπέεσσιν.
οἳ δ᾿ ἐπεὶ οὖν τέναγός τε * *
βάντες ὑπὲρ τοίχων ἅλαδε σφυρὰ κοῦφα βάλοντο.
ὦκα δ᾿ ἄρ᾿ ἀρτήσαντο πολυστρέπτοισι κάλωσι
πρύμνης ἐξ ὑπάτης δολιχὴν μήρινθα βαλόντες
Ἄργος τ᾿ Ἀγκαῖός τε, καὶ ἀρχὰς δῶκαν ἑλέσθαι
ἥρωσιν. τοὶ δ᾿ αἶψα δι᾿ αἰγιαλοῖο θέοντες
σῦρον ἐπειγόμενοι· σὺν δ᾿ ἕσπετο ποντοπόρος νηῦς
τέμνουσ᾿ ὑγρὰ κέλευθα παρ᾿ ἀξέστοις κροκάλῃσιν.
οὐ γάρ οἱ λιγὺς οὖρος ὑπὸ πνοιῇσιν ὄρινε
βυκτάων ἀνέμων κεινὴν ἅλα· κωφὰ δὲ πόντος
κεῖθ᾿ ὑπένερθ᾿ Ἑλίκης καὶ Τηθύος ἔσχατον ὕδωρ.
αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς,
ἔθνος ἐς ἀφνειὸν καὶ πλούσιον ἐξικόμεσθα
Μακροβίων, οἳ δὴ πολέας ζώουσ᾿ ἐνιαυτούς;
δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων
πληθούσης ἥβης χαλεπῶν ἔκτοσθεν ἁπάντων·
αὐτὰρ ἐπὴν ἥβης τὸ πεπρωμένον ἐξανύσωσιν,
ὕπνῳ ὕπο γλυκερῷ θανάτου μάρπτουσι τελευτήν.

1087 *δισσαῖσι βιησαμένη* codd., corr. Hermann. — 1091 *δέ τε τείρετο* Hermann] *δ᾿ ἐτείρετο.* — 1094 verba *πολυστρέπτοισι κάλωσι* quae in fine versus exhibent codd., male ex v. 1096 irrepsisse vidit Sanctamandus. — 1099 *ἥρωσιν* Sanctamandus] *ἡρώων.* — 1101 *παρ᾿ ἀξέστοις* Hermann] *παρὰ ξεστοῖς* (*ξυστοῖς*). — *κροκάλῃσιν* Hermann] *κροκάλοισιν.* — 1103 *κεινὴν* Hermann] *κείνην.* — 1104 *ὑπένερθ᾿* Schneider] *οὖπέρ.* — 1109 *ἥβης* Wiel] *μήνης.* — 1110 *ἐπὴν* Schneider] *ἐπεί.* — *ἥβης* Wiel] *μηνός.* — 1111 *ὕπο* Abel] *ὑπό.*

οὐδ' ἄρα τοῖσι μέλει βίοτος καὶ ἔργ' ἀνθρώπων,
ποίαις δ' ἐν μεσάταις μελιηδέα φορβὰ νέμονται
ἕρσῃ ὑπ' ἀμβροσίῃ θεῖον ποτὸν ἐξαρύοντες,
πάντες ὁμῶς στίλβοντες ὁμηλικίην ἐρατεινήν.
μειλιχίη δέ οἱ αἰὲν ἐπ' ὀφρύσι νεῦσε γαλήνη
παίδεσιν ἠδὲ τοκεῦσιν, ἐπιφροσύνη δὲ νόοιο
αἴσιμά τε ῥέζειν πεπνυμένα τ' ἐξαγορεύειν.
καὶ τοὺς μέν ῥ' ἀθρόους παραμείβομεν αἰγιαλόνδε
ποσσὶν ἐπιστείβοντες. ἔπειτα δὲ Κιμμερίοισι
νῆα θοὴν ἐπάγοντες ἱκάνομεν, οἵ ῥά τε μοῦνοι
αἴγλης ἄμμοροί εἰσι πυριδρόμου ἠελίοιο.
ἐν μὲν γὰρ Ῥίπαιον ὄρος καὶ Κάλπιος αὐχὴν
ἀντολίας εἴργουσιν· ἐπικρέμαται δὲ πελώρη
ἄσσον ἐπισκιάουσα μεσημβρινὸν ἠέρα Φλέγρη·
δείελον αὖ κρύπτουσι φάος τανυήκεες Ἄλπεις
δειλοῖσιν μερόπεσσιν, ἀχλὺς δ' ἐπικέκλιται αἰεί.
ἔνθα δ' ἀφορμηθέντες ἐπειγομένοισι πόδεσσιν
ἵξομεν ἀγκῶνα στυφελὸν καὶ νήνεμον ἀκτήν,
ἔνθα περ ἀμβλύζων ποταμὸς δίνῃσι βαθείαις
θείει χρυσορόας Ἀχέρων κρυεροῦ διὰ χώρου
ἀργυροειδὲς ὕδωρ προρέων· λίμνη δὲ κελαινὴ
ἀνδέχεται· παταγεῖ δὲ παρ' ὄχθῃσιν ποταμοῖο
δένδρεα τηλεθόωντα, ποτισχομένοισί τε καρποῖς
βέβριθεν νύκτας τε καὶ ἤματα συνεχὲς αἰεί.
ἀμφὶ δέ οἱ χθαμαλή τε καὶ εὔβοτος Ἑρμιόνεια
τείχεσιν ἠρήρεισται ἐυκτιμέναις ἐπ' ἀγυιαῖς.
ἐν δὲ γένη ζώουσι δικαιοτάτων ἀνθρώπων,
οἷσιν ἀποφθιμένοις ἄνεσις ναύλοιο τέτυκται.

1116 δέ οἱ Hermann] δέ τοι. — 1117 ἐπιφροσύνη δὲ Abel] ἐπὶ φρεσὶν ἠδέ. — 1122 πυριδρόμου Ruhnken] πυριβρόμου. — 1124 εἴργουσιν· ἐπικρέμαται Wiel] εἴργουσ'· ἐπικέκλιται. — 1127 δειλοῖσιν Wiel] κείνοισιν. — 1130 δίνῃσι Hermann] δίναισι. — 1132 δὲ Sanctamandus] τε. — 1133 ὄχθῃσιν Hermann] ὄχθαισιν. — 1134 ποτισχομένοισί τε Wiel] ποτὶ σχεδὸν οἷσι. — 1136 Ἑρμιόνεια Hermann] ἑρμιονεία (-νία). — 1139 ἄνεσις ναύλοιο Hermann] ἅλις ναῦς ἴα.

καὶ δ᾽ αἶψα ψυχαὶ μετεκίαθον εἰς Ἀχέροντα
πορθμίδος ἐκ γλαφυρῆς· σχεδόθεν δέ οἵ εἰσι πέλησος
ἄρρηκτοί τ᾽ Ἀίδαο πύλαι καὶ δῆμος Ὀνείρων.
ἀλλ᾽ ὅτε δὴ καὶ τῶνδε πόλιν καὶ ἤθεα λαῶν
σφῇ ἄτῃ βαρὺν οἶτον ἀναπλήσαντες ἔβημεν,
δή ῥα τότ᾽ Ἀγκαῖος νῆ᾽ ἐς κίεν· αἶψα δ᾽ ἑταίρους
εἰσβαίνειν ἐκέλευσε κεκμηότας ἄμμιγα πάντας.
τοὺς ὅγε καὶ μύθοισι προσηύδα μειλιχίοισι·
Τλῆτε φίλοι τὸν μόχθον, ἐπεὶ νύ τοι οὔ τι χέρειον
ἔλπομ᾽ ἀναστήσεσθαι· ἐπιφρίσσοντα γὰρ ἤδη
ἀκραῇ Ζέφυρον καταδέρκομαι· οὐδ᾽ ἀτέκμαρτον
ὕδωρ Ὠκεανοῦ κελαρύζεται ἐν ψαμάθοισιν.
ἀλλὰ θοῶς ἱστὸν μὲν ἐνιστήσασθε μεσόδμῃ,
λύσατε δὲ προτόνοις ὀθόνας· ἐκ δ᾽ ὅπλα χέοντες,
σφίγξατ᾽ ἐπισταμένως τοίχων ἑκάτερθε βαλόντες.
Ὣς οἳ μὲν τὰ ἕκαστα πονείαθον· ἐκ δ᾽ ἄρα κοίλης
νηὸς ἐπιβρομέουσα Τομαριὰς ἔκλαγε φηγός,
ἥν ποθ᾽ ὑπ᾽ Ἀργῴῃσι τομαῖς ἡρμόσσατο Παλλάς·
ὧδε δ᾽ ἔφη, θάμβος δὲ περὶ φρένας ἵκετο πάντας·
Ὤμοι ἐγών, ὄφελόν με διαρραισθεῖσαν ὀλέσθαι
Κυανέαις πέτρῃσιν ἐν Ἀξείνῳ τε κλύδωνι·
ἢ καὶ νῦν ἀνάπυστον αἰδρείῃ βασιλήων
νώνυμνον φορέεσθαι, ἐπεὶ νῦν αἰὲν Ἐρινὺς
αἵματος ἐμφύλοιο δεδουπότος Ἀψύρτοιο
ὑστερόπους ἕπεται· σπέρχει δέ τοι ἄτη ἐπ᾽ ἄτην.
νῦν γὰρ δὴ λυγρῇ τε καὶ ἀργαλέῃ κακότητι
ἕξομαι, ἢν νήσοισιν Ἰερνίσιν ἆσσον ἵκωμαι.

1140 αἶψα Wiel] αὖ αἱ. — 1141 πέλησος Hermann] πόληες. — 1145 νῆ᾽ ἐς Gesner] νηός. — 1149 ἔλπομ᾽ ἀναστήσ. Hermann] ἔλπομαι ἀνστήσ. — 1152 ἐνιστήσασθε Schneider] ἀναστήσ. — 1153 προτόνοις Hermann] προτόνων. — 1155 πονείαθον Hermann] πονείατον. — 1157 Ἀργῴῃσι Hermann] ἀργῴαισι. — 1160 πέτρῃσιν Hermann] πέτραισιν. — 1162 φορέεσθαι Wiel] φορέεσκον. — 1164 σπέρχει Ruhnken] στέργει. — 1165 λυγρῇ τε καὶ ἀργεννῇ (ἀργαλέῃ Wiel) κακότητι ἕξομαι Sanctamandus] λυγρῆς τε καὶ ἀργεννῆς κακότητος ἵξομαι.

εἰ μὴ γάρ μ' ἱερῇσιν ἐπιγνάμψαντες ἄκρῃσι
κόλπον ἔσω γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης
ἵξεσθ', ἂμ πέλαγός κεν Ἀτλαντικὸν ἐκτὸς ἵκωμαι.
Ὣς εἰποῦσ' αὐδὴν κατερήτυεν· ἐν δ' ἄρα θυμὸς
παχνώθη Μινύῃσι διαμπερές. οὐ γὰρ ἔμελλον
σχήσειν λυγρὸν ὄλεθρον Ἰήσονος εἵνεκα φίλτρων.
πολλὰ δὲ μερμήριζον ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
ἤ μιν ἀποφθίσωσι καὶ ἰχθύσι κύρμα βάλωσιν
αἰνολεχῆ Μήδειαν, ἀποστρέψωσι δ' Ἐριννύν·
εἰ μὴ ἄρ' ὀξὺ νόησε περικλυτὸς Αἴσονος υἱὸς
καί οἱ λισσόμενος θυμὸν κατερήτυ' ἑκάστου.
αὐτὰρ ἐπεί ῥ' ἀρχοῦ ἐτυμηγόρον ἔκλυον αὐδήν,
ἥντο παρὰ σκαλμοῖσι θοῶς, λάζοντο δ' ἐρετμά.
Ἀγκαῖος δ' οἴηκας ἐπισταμένως ἐτίταινε·
πὰρ δ' ἄρα νῆσον ἄμειβον Ἰερνίδα· καί οἱ ὄπισθεν
ἷκτο καταΐγδην δνοφερὴ βρομέουσα θύελλα,
ἐν δ' ὀθόνας κόλπωσε· θέεν δ' ἄφαρ ὑγρὸν ἐπ' οἶδμα
νηῦς· οὐδ' ἄρ' τις ἔτ' αὖτις ἀναπλεύσεσθαι ὀλέθρου
ἤλπετο· δωδεκάτη γὰρ ἐπήιεν ἠριγένεια.
οὐδέ τις ἔγνω ᾗσιν ἐνὶ φρεσίν, ὁππόθ' ἄρ' ἐσμέν,
εἰ μὴ ἐπ' ἐσχατιαῖς ἀκαλαρρόου Ὠκεανοῖο
Λυγκεὺς εἰσενόησεν — ὃ γὰρ τήλιστον ὄπωπε —
νῆσον πευκήεσσαν ἰδ' εὐρέα δώματ' ἀνάσσης
Δήμητρος· πέρι δ' αὖτε μέγα νέφος ἐστεφάνωται.
ὧν πέρι μῦθον ἅπαντ' ἔκλυες, Μουσαῖε δαΐφρον,
ὥς ποτε Φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν

1167 τ' ἄρ ἱεροῖσιν codd. — 1169 κεν Hermann addidit. — 1171 Μινύῃσι Hermann] μινύαισι. — οὐ γὰρ Hermann] ἦ τ' ἄρ'. — 1175 αἰνολεχῆ Stephanus] αἰνολέχην. — 1177 οἱ Hermann] τότε. — 1178 ἐπεί ῥ' ἀρχοῦ Hermann] ἐπεί τ' ἀργοῖς. — 1181 ἄμειβον Hermann] ἄμειβεν. — 1182 δνοφερὴ et θύελλα Stephanus pro δνοφερὴν et θύελλαν. — βρομέουσα Sanctamandus] τρομέουσα. — 1184 οὐδ' ἄρ τις ἔτ' αὖτις Hermann] οὐ δή τις ἐσαῦθις. — ἀναπνεύσεσθαι (-σασθαι) codd. — 1186 ὁππόθ' Stephanus] οὗ (οὐ) ποθ'. — 1187 ἐπ' Hermann addidit. — 1188 τήλιστον Hermann] τηλωπόν. — 1190 πέρι Sanctamandus] περί.

ἐξάπαφον συνόμαιμοι ἀν᾽ εὐρύ τε καὶ μέγα ἄλσος·
αὐτὰρ ἔπειθ᾽ ὥς μιν Πλουτεὺς κυανότριχας ἵππους
ζευξάμενος κούρην ἐπεβήσατο δαίμονος αἴσῃ·
ἁρπάξας δ᾽ ἔφερεν διὰ κῦμ᾽ ἁλὸς ἀτρυγέτοιο.
δὴ τότ᾽ ἐγὼν ἀπόειπον ἐπιπλώοντα νέεσθαι
νήσου ἐπὶ ῥηγμῖνα καὶ αἰγλήεντα τέρεμνα,
ἔνθ᾽ οὔτις σὺν νηὶ περᾷ μερόπων ἀνθρώπων·
οὐδέ οἵ ἐστι λιμὴν νηῶν ὀχὸς ἀμφιελισσῶν,
ἀλλά οἱ ἠλίβατος πέτρη περὶ πάντα πέφυκεν
ὑψηλή· τὰ δὲ καλὰ φύει μενοεικέα δῶρα.
καὶ τότ᾽ ἄρ᾽ οὐκ ἀπίθησε νεὼς κυανοπρῴροιο
ἰθύντωρ Ἀγκαῖος, ἀνέτρεψεν δ᾽ ἀνακρούων
σκαιὸν ὑπεγκλίνας οἰήιον· ἐν δ᾽ ἄρ᾽ ἐπεῖχε
μή τι κατ᾽ ἰθὺ περᾶν, ἐπὶ δεξιὰ δ᾽ εἶργε θέουσαν.
ἤματι δὲ τριτάτῳ Κίρκης δόμον ἐξικόμεσθα,
Αἰαῖον ποτὶ χέρσον ἁλιστεφέας τε θεράπνας·
καί ῥα οἱ αἰγιαλοῖσιν ἐκέλσαμεν ἀχνύμενοι κῆρ,
πείσματα δ᾽ ἐν πέτρῃσιν ἐδήσαμεν. ἐκ δ᾽ ἄρ᾽ Ἰήσων
νηὸς ἀποπροέηκε μολεῖν ἐρίηρας ἑταίρους
διζομένους, εἴ τίς σφι βροτῶν ἐπ᾽ ἀπείρονα γαῖαν
ναιετάει, γνῶναί τε πόλιν καὶ ἤθεα λαῶν.
τοῖς δ᾽ ἄφαρ ὡμάρτησε καταντίον ἐρχομένοισι
κούρη ὁμογνήτη μεγαλόφρονος Αἰήταο,
Ἠελίου θυγάτηρ — Κίρκην δέ ἑ κικλήσκουσι
μήτηρ Ἀστερόπη καὶ τηλεφανὴς Ὑπερίων —
ἥ ῥα θοῶς ἐπὶ νῆα κατήλυθεν· ἐκ δ᾽ ἄρα πάντες
θάμβεον εἰσορόωντες· ἀπὸ κρατὸς γὰρ ἔθειραι
πυρσαῖς ἀκτίνεσσιν ἀλίγκιοι ἠώρηντο·

1196 κῦμ᾽ ἁλὸς Voss] κύματος. — 1199 περᾷ Heringa] παρά. — 1200 οὐδέ οἱ Hermann] οὐ γάρ οἱ. — λιμὴν Heringa] λίμνη. — 1202 τὰ δὲ Schneider] τά τε. — 1204 ἀνέτρεψεν δ᾽ Schneider] ἀνέτρεψε δ᾽ αἶψ᾽. — ἀνακρούων Wiel] ἀνορόων (ἀνορώων). — 1206 κατ᾽ ἰθὺ Hermann] κατ᾽ εὐθύ. — 1208 Αἰαῖον Hermann] λιγκαῖον. — 1212 διζομένους Gesner] διζόμενος. — σφι Hermann] σφε. — 1213 γνῶναί τε Hermann] γνῷεν δέ.

στίλβε δὲ καλὰ πρόσωπα, φλογὸς δ᾽ ἀπέλαμπεν ἀυτμή.
αὐτὰρ ἐπεὶ Μήδειαν ἐσέδρακεν ὀφθαλμοῖσι
λῖτι καλυπτομένην, ἑανῷ δ᾽ ἄμπισχε παρειὰς
αἰδομένη· χλωρὸν γὰρ ὑπὸ στέρνοις ἀκάχητο·
τὴν τότ᾽ ἐποικτείρουσα προσηύδα καὶ φάτο Κίρκη·
Ὦ δειλή, τί νύ σοι τοίην Κύπρις ὤπασε μοῖραν;
οὐ γάρ τοι λελάθεσθε, τάπερ ῥέξαντες ἵκνεῖσθε
νῆσον ἐφ᾽ ἡμετέρην — πανετώσιον — εἵνεκα πατρὸς
γηραιοῦ κάσιός τε, τὸν ἐκπάγλως ὀλέσαντες
* * *
οὐδὲ γὰρ ὔμμε πάτρησιν ὀίομαι ἄσσον ἱκέσθαι
αἰὲν ἀναγνίστοισιν ἀλιτροσύναις ἀχέοντας,
μέσφ᾽ ὅταν ἐκνίψησθε μύσος θείοισι καθαρμοῖς
Ὀρφέος ἰδμοσύνῃσι παρὰ κροκάλῃσι Μαλείης.
οὐδὲ γὰρ ἡμετέροιο δόμου θέμις ἐντὸς ἱκέσθαι
προστροπίους· τοιῷδε λύθρῳ πεπαλαγμένοι ἐστέ.
ἀλλά οἱ αὐτίκ᾽ ἐγὼ πρόφρων ξεινήια πέμψω,
σῖτον καὶ μέθυ λαρὸν ἔχειν σύν τε κρέα πολλά.
Ὣς εἰποῦσ᾽ ἄψορρος ἀπέπτατο· νηὶ δὲ μέσσῃ
δαιτός τ᾽ ἠδὲ ποτοῖο τετυγμένα τεύχε᾽ ἔκειτο.
αὐτὰρ ἐπειγομένοισι θέεν λιγὺς οὖρος ἀῆναι·
καὶ τότε λυσάμενοι κείνης ἀπὸ πείσματα νήσου,
κῦμα διαπρήσσοντες ἀνὰ στόμα Ταρτησσοῖο
ἱκόμεθα, στήλῃσι δ᾽ ἐκέλσαμεν Ἡρακλῆος.

1223 δ᾽ ἄμφισχε (sic, corr. Schenkl) Wiel] δ᾽ ἔσχε (δὲ σχέθε). — 1225 τὴν Sanctamandus] ἥν. — προσηύδα Dorville] προσηύδανε (προσκύδανε). — 1227 τάπερ Hermann] ἅπερ. — 1228 οὕνεκα codd. — 1229 lacunae signa Ruhnken posuit. — 1230 πατρίσιν codd. — 1231 αἰὲν et ἀχέοντας Hermann pro εἰ ἐν et ἀκέοντες. — 1232 μῦσος (μῖσος) codd. — 1233 Ὀρφέος Schneider] ὀρφέως. — 1233 κροκάλῃσι Hermann] κροκάλοισι. — 1234 ἐντὸς Hermann] ἐστίν. — 1235 τοιῷδε Abel] τοίῳ κε. — 1236 οἱ Hermann] μιν. — ξεινήια Sanctamandus] ξυνήια. — 1237 σύν τε Schneider] καί. — 1240 αὐτὰρ Hermann] ἂν δ᾽ ἄρ. — ἀῆναι Hermann] ἀήτης. — 1242 Ταρτησσοῖο Eschenbach] τερμησοῖο. — 1243 στήλῃσι Hermann] στήλαισι. — Ἡρακλῆος Schneider] ἡρακλέηος. —

ἄκραις δ' ἀμφ' ἱερῇσι Διωνύσοιο ἄνακτος
μίμνομεν ἑσπέριοι· δαιτὸς γὰρ ἐδεύετο θυμός.
ἦμος δ' ἀντολίῃσιν ἐγείρετο φωσφόρος αἴγλη,
ὄρθριοι εἰρεσίαις γλαυκὴν ἐχαράσσομεν ἅλμην,
Σαρδῷον δ' ἱκόμεσθα βυθὸν κόλπους τε Λατίνων
νήσους τ' Αὐσονίας, Τυρρηνάς θ' ἱκόμεθ' ἀκτάς.
αὐτὰρ ἐπεὶ Λιλύβαιον * * ἠχέτα πορθμὸν
τριγλώχινά τε νῆσον ἐπέσχομεν Ἐγκελάδοιο,
Αἰτναίη τὸν φλὸξ κατερητύει μεμαῶτα·
δὴ τόθ' ὑπὸ πρύμνης ὁλοὸν περιέζεεν ὕδωρ
νειόθεν, ἐκ μυχάτου δὲ βυθοῦ ῥοίβδησε Χάρυβδις
κύματι καχλάζοντι καὶ ἱστίον ἄκρον ἵκανε.
νῆα δ' ἄρ' αὐτόθι οἱ κατέχεν ῥόος, οὐδέ μιν εἴα
προπροθέειν, οὐδ' αὖτις ἀναρρώσασθαι ὀπίσσω,
κοίλῳ ἐπὶ λυγρῷ δὲ περιστροφάδην ἀλάλητο.
ἦ τάχα καὶ δύσεσθ' Ἀργὼ κατὰ βένθε' ἔμελλεν,
εἰ μὴ πρεσβίστη θυγάτηρ ἁλίοιο γέροντος
εὐρυβίην Πηλῆα πόσιν λελίητο ἰδέσθαι.
μειλιχίη δ' ἐκδῦτο βυθοῦ καὶ ῥύσατ' ὀλέθρου
Ἀργῴην ἄκατον καὶ ὑπ' ἰλύος ἐξεσάωσε.
δὴ τότε οἱ πλώοντες ἐπέσχομεν οὐ μάλα τηλοῦ
προβλῆτα σκόπελον· πέτρη δ' ἐφύπερθεν ἀπορρὼξ
λισσοῖς χηραμόνεσσιν ἐπιθρώσκουσα βιᾶται
πόντον ἔσω, χαροπὸν δ' ἄρ' ὑποβρέμει ἔνδοθι κῦμα.
ἔνθα δ' ἐφεζόμεναι λιγυρὴν ὄπα γηρύουσι
κοῦραι, ἀνοστήτους δὲ βροτῶν θέλγουσιν ἀκουάς.

1244 ἱερῇσι Hermann] ἱεραῖσι. — 1245 γὰρ] δ' codd. — 1246 ἦμος Sanctamandus] τῆμος. — 1247 ὄρθριον codd. — *εἰρεσίαις* Hermann] *εἰρεσίῃς*. — 1248 δ' omm. codd. — θ' Sanctamandus] δ'. — ἱξόμεθ' codd. — 1250 *ἐπέσχομεν* post *Λιλύβαιον* e versu sequenti in codd. delatum expulit Schneider. — 1252 *τὸν* Hermann addidit. — *κατερητύει* Schneider] *σφιν ἄρ' ἐρήτυε*. — *μεμαῶτα* Schneider] *μεμαῶτας*. — 1253 ὑπὸ Hermann] ὑπέρ. — 1257 *αὖθις* Sanctamandus (*αὖτις* Hermann)] *αὐτίκ'*. — *ἀναρρώσασθαι* Schneider] *ἀναρρώσεσθαι*. — 1263 *Ἀργῴην* Schneider] *Ἀργώαν*. — 1269 *ἀκουάς* Hermann] *ἀκουῇ*.

δὴ τότε οἱ Μινύῃσιν ἐφήνδανε πύστις ἀοιδῆς
Σειρήνων· οὐδέ σφι παραπλώσεσθαι ἔμελλον
φθογγὴν οὐλομένην, χειρῶν δέ οἱ ἧκαν ἐρετμά·
Ἀγκαῖος δ' ἴθυνεν ἐπὶ προβλῆτα κολωνόν,
εἰ μὴ ἐγὼ φόρμιγγα τιταινόμενος παλάμῃσι
μητρὸς ἐμῆς ἐκέρασσ' εὐτερπέα κόσμον ἀοιδῆς.
Ἤειδον δὲ λιγὺ κλάζων ὀπὶ θέσκελον ὕμνον,
ὥς ποτέ οἱ δήρισαν ἀελλοπόδων ὑπὲρ ἵππων
Ζεὺς ὑψιβρεμέτης καὶ πόντιος Ἐννοσίγαιος·
αὐτὰρ κυανοχαῖτα χολωσάμενος Διὶ πατρὶ
τύψε Λυκαονίην γαῖαν χρυσέῳ τριόδοντι
καί ῥα καταΐγδην σκέδασεν κατ' ἀπείρονα πόντον
νήσους εἰναλίας ἔμεναι, τάς οἱ ὀνόμηναν
Σαρδώ τ' Εὔβοιάν τ', ἔτι δ' αὖ Κύπρον ἠνεμόεσσαν.
Δὴ τότε φορμίζοντος ἀπὸ σκοπέλου νιφόεντος
Σειρῆνες θάμβησαν, ἑὴν δ' ἄμπαυσαν ἀοιδήν·
καί ῥ' ἣ μὲν λωτούς, ἣ δ' αὖ χέλυν ἔκβαλε χειρῶν,
δεινὰ δ' ἀνεστονάχησαν, ἐπεὶ πότμος ἤλυθε λυγρὸς
μοιριδίου θανάτου· ἀπὸ δὲ σφέας ῥωγάδος ἄκρης
ἐς βυσσὸν δίσκευσαν ἁλιρροθίοιο θαλάσσης,
πέτραις δ' ἠλλάξαντο δέμας μορφήν θ' ὑπέροπλον.
Αὐτὰρ ἐπεὶ καὶ τόνδε πότμον παράμειψε θέουσα
Ἀργώ, κῦμα δέ οἱ πόντου καὶ κόλπον ἵκανε
λαιψηροῖς πλήθουσα κατὰ προτόνων ἀνέμοισι,
Κέρκυραν ζαθέην ἐξίκετο, τήν σφιν ἔναιον
ἴδριες εἰρεσίης καὶ ἁλιπλάγκτοιο πορείης
Φαίηκες· τοῖσιν δ' ἄρ' ἐπιφροσύνῃσι θέμιστας

1270 οἱ Hermann] δή. — Μινύῃσιν Hermann] μινύαισιν. — 1271 σφιν codd. — 1276 ὀπὶ Hermann] διά. — 1280 γαῖαν χρυσέῳ τριόδοντι Ruhnken] γαίην χρυσείῃ τριαίνῃ. — 1281 ῥα καταΐγδην Schrader] ῥ' ἀΐγδην. — κέδασε codd. — 1282 οἱ Hermann] ῥ'. — 1283 ἔτι δ' αὖ Hermann] ἐπὶ δέ. — 1287 ἤλυθε Hermann] ἤιε. — 1288 θανάτου· ἀπὸ δὲ σφέας Hermann] θανάτοιο· σφέας δ' ἀπό. — 1289 βυσσόν Schneider] βυθόν. — 1292 οἱ Hermann addidit. — 1294 βαθέην codd. — 1296 ἐπιφροσύνῃσι Hermann] ἐφημοσύνῃσι.

Ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων.
πείσματα δ᾽ ἁψάμενοι πορσύναμεν ἱερὰ θύσθλα
Ζηνὶ πανομφαίῳ καὶ ἐπακτίῳ Ἀπόλλωνι.
Ἔνθ᾽ ἄρ᾽ ὑπ᾽ εἰρεσίῃσιν ἐπειγόμενοι φορέοντο
νηυσὶν ἀπειρεσίαις βριαρὸς λόχος Αἰήταο,
Κόλχων Ἀσσυρίων τε, Χαρανδαίων Σολύμων τε,
διζόμενοι Μινύας, ὄφρ᾽ ἂν Μήδειαν ἄγοιντο
ὄψιν ἐς Αἰήταο πατρός, τίσειε δ᾽ ἀμοιβὰς
σφῇσιν ἀτασθαλίῃσιν ἀδελφειοῦ κταμένοιο.
ἀλλ᾽ ὅτε δὴ κοίλου λιμένος μυχῷ ἆσσον ἵκοντο,
αἶψα δ᾽ ἄρ᾽ Ἀλκινόοιο δόμον κήρυκες ἔβαινον,
Μηδείης λύτο γοῦνα, δέος δ᾽ ὤχραινε παρειάς,
μή οἱ ἑλὼν ἀέκουσαν ἑὸν πέμψειε δόμονδε
Φαιήκων βασιλεὺς ἀνάπυστά τε ἔργα γένοιτο.
ἀλλ᾽ οὔ οἱ τάδε μοῖρα τελεσσίνοος κατένευσε,
πρὶν δή οἱ Πελίαο δόμοις ἔπι λυγρὸν ὄλεθρον
αὐτῷ τε κρείοντι φέροι κακὸν οἶτον Ἰήσων.
ἀλλ᾽ ὅτε δὴ βασιλῆος ἀπηνέος ἔκλυον αὐδὴν
Ἀρήτη ῥοδόπηχυς ἰδ᾽ Ἀλκίνοος θεοειδής,
Ἀλκίνοος μέν ῥ᾽ ὦκ᾽ ἐπετέλλετο κηρύκεσσι
κούρην ἀμφήριστον ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς,
* * *
πατρί θ᾽ ἑῷ τίσειε δίκην ἀλιτημοσυνάων.
Ἀρήτη δ᾽ ᾤκτειρεν ἀγακλειτὴ βασίλεια,
μείλιχα παρφαμένη δὲ τὸν ὃν πόσιν ὧδ᾽ ἀγόρευεν·
Οὐ μὲν δὴ φίλον ἐστὶν ἀπό σφ᾽ ὤσασθαι ὁμεύνου,

1298 θύσθλα vir doctus apud Vossium] θέσθαι. — 1300 ἔνθ᾽ ἄρ᾽ Gesner] ἐν δ᾽ ἄρ᾽. — ὑπ᾽ εἰρεσίῃσιν Sanctamandus] ὑπειρεσίῃσιν (ἐπειρεσίῃσιν). — 1302 Ἀσσυρίων Abel] ἐράνων (ἐραύων). — 1303 ὄφρ᾽ ἄν Hermann] τόφρ᾽ ἄν. — 1308 μηδείας codd. — ὤχραινε Hermann] ὤχρειε. — 1312 οἱ Hermann] τοι. — ἔπι Hermann] ἐπί. — 1313 κρείοντι Stephanus] κρέοντι. — 1314 ἔκλυον Heyne] ἔκλυεν. — 1317 ἐρυμνήν codd. — Lacunae signa Hermann posuit. — 1318 τίσειε Hermann] πείσεσθαι (πείσεσθε). — 1319 ἀγακλυτή codd. — 1321 σφ᾽ ὠσ. ὁμεύνου Hermann] ῥ᾽ ὤσ. ὅμιλον.

λέκτρων τε στερέσαι λῦσαί τ' ἐκ πυρσὸν ἔρωτος.
θυμαίνει μάλα γάρ σφι Διωναίη Ἀφροδίτη,
ἀνδράσιν ἠδὲ γυναιξίν, ὅτις τάδε μήσεται ἔργα.
ἀλλ' εἰ μὲν κούρη πέλεται καὶ ἄχραντος ἱκάνει,
οἰχέσθω πατρός τε δόμον καὶ ἤθεα Κόλχων·
εἰ δ' αὖ νυμφιδίοις ὀάροις λέκτρῳ τε κλιθεῖσα
παρθενίην ἤσχυνεν, ἑὸς πόσις αὖ μιν ἀγέσθω.
Ὣς ἔφατ'· Ἀλκινόῳ δὲ περὶ φρένας ἤλυθε μῦθος·
καί ῥ' οὕτω τάδε πάντα τελευτήσεσθαι ἔμελλεν.
ἀλλ' οὔ οἱ βουλὴ Μινύας λάθεν· αἶψα γὰρ Ἥρη
δμωὶ δέμας εἰκυῖα θοῶς φάτο καὶ κατένευσε
νηὸς ἔπι προθοροῦσα τά οἱ μήτιον ἄνακτες.
δὴ τότε Μηδείῃ θαλάμων πορσύνετο λέκτρον
πρύμνῃ ἐπ' ἀκροτάτῃ, περὶ δ' ἐστορέσαντο χαμεύνας
ἀμφ' εὐνῇ χρύσειον ἐφαπλώσαντες ἄωτον.
αὐτὰρ ἐπεὶ δοράτεσσιν ἐπαρτήσαντο βοείας
τεύχεά τε κρύπτοντε γάμων αἰδήσιμον ἔργον,
καὶ τότε παρθενίης νοσφίζετο κούριον ἄνθος
αἰνόγαμος Μήδεια δυσαινήτοις ὑμεναίοις.
αὐτὰρ ἐπεὶ βασιλῆος ἀμύμονος ὄψιν ἵκοντο
Κόλχοι καὶ Μινύαι καὶ ἐμυθήσαντο ἕκαστα,
ἐκ δ' ἔλαχ' Αἰσονίδης ἄλοχον Μήδειαν ἄγεσθαι
Ἀλκινόου, τοὶ δ' ὦκα λύοντ' ἐκ πείσματα νήσου·
δὴ τέθ' ὑπ' εἰρεσίῃσι θέεν πολυηγόρος Ἀργὼ
Ἀμπρακίου κόλποιο διαπρήσσουσα κέλευθα.
Ἔνθα τί σοι, Μουσαῖε θεηγενές, ἐξαγορεύσω,
ὅσσα πάθον Μινύησιν ὁμοῦ ποτὶ Σύρτιν ἀήταις

1322 *λέκτρων* Wesseling] *λέκτρα.* — *στερέσαι* Sanctamandus] *στορέσαι.* — 1324 *ὅτις* Gesner] *ὅστις.* — 1326 *ἐς* ante *ἤθεα* delevit Wiel. — 1327 *δ' αὖ* Hermann] *δὲ καί.* — 1328 *αὖ μιν* Schneider] *ἄμμιν.* — 1333 *ἔπι* Hermann] *ἐπί* (*ἔπι*). — 1334 *Μηδείῃ* Sanctamandus] *μηδείη.* — 1336 *εὐνῇ* Hermann] *αὐτῇ.* — 1338 *κρύπτοντε* Schneider] *κρύπτοντες.* — *αἰδέσιμον* codd. — 1342 *ἕκαστα* Stephanus] *ἕκαστοι.* — 1344 *νήσου* Pierson] *νηός.* — 1348 *Μινύῃσιν* Hermann] *μινύαισιν.*

ἠδ᾽ ὡς ἐξεσάωθεν ἁλιπλάγκτοιο πορείης·
ὅσσα τ᾽ ἄρ᾽ ἐν Κρήτῃ πάθον ἄλγεα τετληῶτες,
χάλκειον τριγίγαντα δοκεύμενον ὄφρ᾽ ἱκόμεσθα,
ὅς ῥά οἱ οὐκ εἴα λιμένων ἔντοσθεν ἱκέσθαι.
ἠδ᾽ ὡς θεινόμενοι βαρυηχέι κύματι πόντου
ῥίμφα τε κυανέῃσι βαρυνόμενοι νεφέλῃσιν
ἠλπόμεθα σκοπέλοισι Μελαντίοισιν ἔχεσθαι
νῆα θοήν. Παιὰν δ᾽ ἄρ᾽ ἑκηβόλος ἀγχόθι ναίων
Δήλου ἄπο κραναῆς ἧκεν βέλος, ἐκ δ᾽ ἀνέφηνε
μεσσάτιον Σποράδων· Ἀνάφην δέ ἑ πάντες ὀπίσσω
νῆσον ἐπικλήζουσι περικτίονες ἄνθρωποι.
ἀλλ᾽ οὔ οἱ θέμις ἔσκε διαμπερὲς ἐξ ἁλὸς ἔρξαι
Αἰσονίδην. πέρι γάρ ῥα λύθρον φέρεν· ἆλτο δ᾽ ὀπίσσω
Μοῖρ᾽ ὀλοή· κότεεν γὰρ ἐπικρατέως Ὑπερίων.
ἀλλ᾽ ὅθ᾽ ὑπ᾽ εἰρεσίαις Μαλεήτιδας ἱκόμεθ᾽ ἄκρας,
Κίρκης ἐννεσίῃσιν ἀπορρύψεσθαι ἔμελλον
ἀράς τ᾽ Αἰήτεω καὶ νηλιτόποινον Ἐρινύν·
δὴ τότ᾽ ἐγὼ Μινύαις εὐίερα λύτρα καθαρμῶν
ῥέξα καὶ ἐλλισάμην γαιήοχον Ἐννοσίγαιον
νόστον ἐπειγομένοις δόμεναι γλυκερούς τε τοκῆας.
Καί ῥ᾽ οἱ μὲν πλώοντες ἐυκτιμένην ἐπ᾽ Ἰωλκὸν
θῦνον· ἐγὼ δ᾽ ἱκόμην ἐπὶ Ταίναρον ἠνεμόεντα,
ὄφρα κεν ἔντομα ῥέξω ἀγακλειτοῖς βασιλεῦσιν,

1349 ἠδ᾽ ὡς Voss] ἢ πῶς. — 1350 ὅσσα δ᾽ ἄρ᾽ codd. — 1351 δοκεύμενον Wiel] δοκεύμενος. — 1353 θεινόμενοι Pierson] στεινόμενοι. — 1355 Μελαντίοισιν ἔχεσθαι Hermann] μελαινείοισιν ἱκέσθαι. — 1356 ἀγχόθι ναίων Sanctamandus] ἀγχόθεν αἰέν. — 1357 ἄπο Abel] ἀπό. — 1358 μεσσάτιον Sanctamandus] μεσσατίων. — Ἀνάφην Sanctamandus] κραναήν. — 1359 ἐπικλῄζουσι Hermann] ἐπικικλήσκουσι. — περικτύονες codd. — 1361 πέρι Hermann] περί. — λύθρον Hermann] λύτρον. — 1362 ἐπικρατέως Voss] ἐπιφραδέως. — 1363 εἰρεσίαις Abel] εἰρεσίης. — Μαλεήτιδας Hermann] μαλεώτιδας. — 1364 ἀπορρύψεσθαι Schneider] ἀπορρίψεσθαι (-ψασθαι). — 1365 τ᾽ Αἰήτεω Hermann] αἰήτου. — νηλιτόποινον Ruhnken] ἠλιτόποινον. — 1366 Μινύαις Hermann] μινύαισιν. — εὐίερα Wiel] ἐφ᾽ ἱερά. — 1371 ἀγακλυτοῖς codd.

οἳ καὶ νερτερίων βερέθρων κλῇδας ἔχουσιν.
ἔνθεν δ' ὁρμηθεὶς ἐσύθην χιονώδεα Θρήκην,
Λειβήθρων ἐς χῶρον, ἐμὴν ἐς πατρίδα γαῖαν·
ἄντρον δ' εἰσεπέρησα περικλυτόν, ἔνθα με μήτηρ
γείνατ' ἐνὶ λέκτροις μεγαλήτορος Οἰάγροιο.

1372 *καί* Abel] *τ' ἄρα.* — 1376 *γείνατ' ἐνί* Hermann] *γείνατο ἐν.*

ORPHEI HYMNI.[1])

1) Hos hymnos primo vel secundo post Christum natum saeculo a viro Orphicae aeque ac Stoicae doctrinae perito compositos esse probare voluit Chr. Petersen (in Philologo XXVII p. 385 sqq.), nisi quod octo hymnos alieni a reliquis coloris antiquiori aetati assignandos esse putavit, ex quorum numero hymni XXVIII et LV Alexandrinae aetatis esse, hymnus LIX ex variis hymnorum aetatis mythicae Pieriae Ionicaeque frustulis consutus esse, XVI antiquiorum Stoicorum doctrinam referre, XVIII et XXVII Homericis hymnis similiores esse, denique etiam XXIII et LVII a reliquis ita differre ei videbantur, ut Orpheo illi ementito attribui non possent. Quae, si summam tantum spectas, non sine probabilitate disputata sunt, de singulis carminibus, quae supra commemoravimus, adhuc sub iudice lis est. Ceterum confer incantationem a Hippolyto (refut. omn. haeres. IV 35) servatam:

Νερτερίη χθονίη τε καὶ οὐρανίη μόλε Βομβώ,
εἰνοδίη, τριοδῖτι, φαεσφόρε, νυκτεροφοῖτι·
ἐχθρὴ μὲν φωτός, νυκτὸς δὲ φίλη καὶ ἑταίρη,
χαίρουσα σκυλάκων ὑλακῇ τε καὶ αἵματι φοινῷ,
ἂν νέκυας στείχουσα κατ᾽ ἠρία τεθνηώτων,
αἵματος ἱμείρουσα, φόβον θνητοῖσι φέρουσα,
Γοργὼ καὶ Μορμὼ καὶ Μήνη καὶ πολύμορφε,
ἔλθοις εὐάντητος ἐφ᾽ ἡμετέρῃσι θυηλαῖς.

Υ Μ Ν Ο Ι.

ΟΡΦΕΩΣ ΥΜΝΟΙ.

Εὐτυχῶς χρῶ ἑταῖρε.

ΕΥΧΗ ΠΡΟΣ ΜΟΥΣΑΙΟΝ.

Μάνθανε δή, Μουσαῖε, θυηπολίην περισέμνην,
εὐχήν, ἣ δή τοι προφερεστέρη ἐστὶν ἁπασέων.
Ζεῦ βασιλεῦ καὶ Γαῖα καὶ οὐράνιαι φλόγες ἁγναὶ
Ἠελίου, Μήνης θ' ἱερὸν σέλας Ἄστρα τε πάντα,
καὶ σύ, Ποσείδαον γαιήοχε, κυανοχαῖτα,
Φερσεφόνη θ' ἁγνὴ Δημήτηρ τ' ἀγλαόκαρπε
Ἄρτεμί τ' ἰοχέαιρα, κόρη, καὶ ἤιε Φοῖβε,
ὃς Δελφῶν ναίεις ἱερὸν πέδον· ὅς τε μεγίστας
τιμὰς ἐν μακάρεσσιν ἔχεις, Διόνυσε χορευτά·
Ἀρές τ' ὀβριμόθυμε καὶ Ἡφαίστου μένος ἁγνὸν
ἀφρογενής τε θεά, μεγαλώνυμα δῶρα λαχοῦσα·
καὶ σύ, καταχθονίων βασιλεῦ, μέγ' ὑπείροχε δαῖμον·
Ἥβη τ' Εἰλείθυια καὶ Ἡρακλέος μένος ἠύ,
καὶ τὸ Δικαιοσύνης τε καὶ Εὐσεβίης μέγ' ὄνειαρ
κικλήσκω Νύμφας τε κλυτὰς καὶ Πᾶνα μέγιστον
Ἥρην τ', αἰγιόχοιο Διὸς θαλερὴν παράκοιτιν·
Μνημοσύνην τ' ἐρατὴν Μούσας τ' ἐπικέκλομαι ἁγνὰς
ἐννέα καὶ Χάριτάς τε καὶ Ὥρας ἠδ' Ἐνιαυτὸν
Λητώ τ' εὐπλόκαμον, Θείην, σεμνήν τε Διώνην
Κουρῆτάς τ' ἐνόπλους Κορύβαντάς τ' ἠδὲ Καβείρους
καὶ μεγάλους Σωτῆρας ὁμοῦ, Διὸς ἄφθιτα τέκνα,
Ἰδαίους τε θεοὺς ἠδ' ἄγγελον οὐρανιώνων,

---

7 τ' Sanctamandus addidit. — 10 ὀμβρ. codd.

Ἑρμείαν κήρυκα Θέμιν θ', ἱεροσκόπον ἀνδρῶν,
Νύκτα τε πρεσβίστην καλέω καὶ φωσφόρον Ἦμαρ,
Πίστιν τ' ἠδὲ Δίκην καὶ ἀμύμονα Θεσμοδότειραν,
Ῥεῖαν τ' ἠδὲ Κρόνον καὶ Τηθύα κυανόπεπλον
Ὠκεανόν τε μέγαν, σύν τ' Ὠκεανοῖο θύγατρας
Ἄτλαντός τε καὶ Αἰῶνος μέγ' ὑπείροχον ἰσχὺν
καὶ Χρόνον ἀέναον καὶ τὸ Στυγὸς ἀγλαὸν ὕδωρ
μειλιχίους τε θεούς, ἀγαθὴν τ' ἐπὶ τοῖσι Πρόνοιαν
Δαίμονά τ' ἠγάθεον καὶ Δαίμονα πήμονα θνητῶν,
Δαίμονας οὐρανίους τε καὶ ἠερίους καὶ ἐνύδρους
καὶ χθονίους καὶ ὑποχθονίους ἠδ' ἐμπυριφοίτους,
καὶ Σεμέλην Βάκχου τε συνευαστῆρας ἅπαντας,
Ἰνὼ Λευκοθέην τε Παλαίμονά τ' ὀλβιοδώτην
Νίκην θ' ἡδυέπειαν ἰδ' Ἀδρήστειαν ἄνασσαν
καὶ βασιλῆα μέγαν Ἀσκληπιὸν ἠπιοδώτην
Παλλάδα τ' ἐγρεμάχην, κούρην, Ἀνέμους τε πρόπαντας
καὶ Βροντὰς Κόσμου τε μέρη τετρακίονος αὐδῶ·
Μητέρα τ' ἀθανάτων, Ἄττιν καὶ Μῆνα κικλήσκω
Οὐρανίην τε θεάν, σύν τ' ἄμβροτον ἁγνὸν Ἄδωνιν
Ἀρχήν τ' ἠδὲ Πέρας — τὸ γὰρ ἔπλετο πᾶσι μέγιστον —
εὐμενέας ἐλθεῖν κεχαρημένον ἦτορ ἔχοντας
τήνδε θυηπολίην ἱερὴν σπονδήν τ' ἐπὶ σεμνήν.

I. *ΕΙΣ ΕΚΑΤΗΝ.*

Εἰνοδίην Ἑκάτην κλήζω, τριοδῖτιν, ἐρεμνήν,
οὐρανίην χθονίην τε καὶ εἰναλίην, κροκόπεπλον,
τυμβιδίην, ψυχαῖς νεκύων μεταβακχεύουσαν,
Πέρσειαν, φιλέρημον, ἀγαλλομένην ἐλάφοισι,
νυκτερίην, σκυλακῖτιν, ἀμαιμάκετον βασίλειαν,
θηρόβρομον, ἄζωστον, ἀπρόσμαχον εἶδος ἔχουσαν,

26 *Τηθύα* Wiel] *τηθύν.* — 30 *τ'* Abel] *δ'.* — 32 *τε* Hermann addidit. — *ἠδ' ἐμπυριφοίτους* Wiel] *ἠδὲ (ἰδὲ) πυριφοίτους.* — 39 *αὐδῶ* Portus] *αὐλῶν.* — 41 *Οὐρανίην* Hermann] *οὐρανίαν.* — *τ'* Abel] *δ'.*

I. Hunc hymnum ab Euche Sanctamandus et Canterus primi seiunxerunt. — 1 *εἰνοδίην* Hermann] *εἰνοδίαν.* — *ἐρεμνήν* Wiel] *ἐραννήν.* — 2 *οὐρανίαν χθονίαν τε καὶ εἰναλίαν* codd., corr. Hermann. — 3 *τυμβιδίην* Hermann] *τυμβιδίαν.* — 4 *Πέρσειαν* Hermann] *περσίαν.*

ταυροπόλον, παντὸς κόσμου κληδοῦχον ἄνασσαν,
ἡγεμόνην, νύμφην, κουροτρόφον, οὐρεσιφοῖτιν,
λισσομένοις κούρην τελεταῖς ὁσίῃσι παρεῖναι
βουκόλῳ εὐμενέουσαν ἀεὶ κεχαρηότι θυμῷ.

II. ΠΡΟΘΥΡΑΙΑΣ, θυμίαμα στύρακα.

Κλῦθί μοι, ὦ πολύσεμνε θεά, πολυώνυμε δαῖμον,
ὠδίνων ἐπαρωγέ, λεχῶν ἡδεῖα πρόσοψι,
θηλειῶν σώτειρα, μόνη φιλόπαις, ἀγανόφρον,
ὠκυλόχεια, παροῦσ' ἀνίαις θνητῶν, Προθυραία,
κληδοῦχ', εὐάντητε, φιλοτρόφε, πᾶσι προσηνές,
ἣ κατέχεις οἴκους πάντων θαλίαις τε γέγηθας,
λυσίζων', ἀφανής, ἔργοισι δὲ φαίνῃ ἅπασι,
συμπάσχεις ὠδῖσι καὶ εὐτοκίῃσι γέγηθας,
Εἰλείθυια, λύουσα πόνους δειναῖς ἐν ἀνάγκαις·
μούνην γάρ σε καλοῦσι λεχοί, ψυχῆς ἀνάπαυμα·
ἐν γάρ σοι τοκετῶν λαθικηδέες εἰσὶν ἀνῖαι.
Ἄρτεμις Εἰλείθυια, καὶ ἡ σεμνὴ Προθυραία,
κλῦθι μάκαιρα, δίδου δὲ γονὰς ἐπαρωγὸς ἐοῦσα
καὶ σῴζ', ὥσπερ ἔφυς αἰεὶ σώτειρα προπάντων.

III. ΝΥΚΤΟΣ, θυμίαμα δαλούς.

Νύκτα θεῶν γενέτειραν ἀείσομαι ἠδὲ καὶ ἀνδρῶν.
Νὺξ γένεσις πάντων, ἣν καὶ Κύπριν καλέσωμεν.
κλῦθι μάκαιρα θεά, κυαναυγής, ἀστεροφεγγές,
ἡσυχίῃ χαίρουσα καὶ ἠρεμίῃ πολυύπνῳ,
εὐφροσύνη, τερπνή, φιλοπάννυχε, μῆτερ ὀνείρων,
λυσιμέριμν', ἀγαθήν τε πόνων ἀνάπαυσιν ἔχουσα,
ὑπνοδότειρα, φίλη πάντων, ἐλάσιππε, νυχαυγές,
ἡμιτελές, χθονίη ἠδ' οὐρανίη πάλιν αὐτή,

9 ὁσίῃσι Hermann] ὁσίαισι.

II. 4 παροῦσ' ἀνίαις Ruhnken] παροῦσα νέαις. — 5 φιλοτρόφε Abel] φιλότροφε. — προσηνές Abel] προσηνής. — 11 λαθικηδέες εἰσὶν ἀνῖαι Abel] λυσιπήμονές εἰσιν ἀνίαι.

III. 3 κυαναυγές codd. — ἀστεροφεγγές Abel] ἀστεροφεγγής. — 6 λυσιμέριμν' Abel] ληθομέριμν'. — ἀγαθήν Pierson] ἀγαθή. — 7 νυχαυγές Abel] νυχαυγής. — 8 ἡμιτελές Abel] ἡμιτελής. — χθονία ἠδ' οὐρανία codd., corr. Hermann.

ἐγκυκλίη, παίκτειρα διώγμασιν ἠεροφοίτοις,
ἣ φάος ἐκπέμπεις ὑπὸ νέρτερα καὶ πάλι φεύγεις
εἰς Ἀίδην· δεινὴ γὰρ ἀνάγκη πάντα κρατύνει.
νῦν δέ, μάκαιρ' ὦ Νύξ, πολυόλβιε, πᾶσι ποθεινή,
εὐάντητε, κλύουσα λόγων ἱκετηρίδα φωνὴν
ἔλθοις εὐμενέουσα, φόβους δ' ἀπόπεμπε νυχαυγεῖς.

IV. ΟΥΡΑΝΟΥ, θυμίαμα λίβανον.

Οὐρανὲ παγγενέτορ, κόσμου μέρος αἰὲν ἀτειρές,
πρεσβυγένεθλ', ἀρχὴ πάντων πάντων τε τελευτή,
κοσμοκράτορ, σφαιρηδὸν ἑλισσόμενος περὶ γαῖαν,
οἶκε θεῶν μακάρων, ῥόμβου δίνῃσιν ὁδεύων,
αἰθέριος χθόνιός τε φύλαξ πάντων περιβληθείς,
ἐν στέρνοισιν ἔχων φύσεως ἄπλητον ἀνάγκην,
κυανόχρως, ἀδάμαστε, παναίολος, αἰολόμορφε,
πανδερκές, Κρονότεκνε, μάκαρ, πανυπέρτατε δαῖμον,
κλῦθ' ἐπάγων ζωὴν ὁσίην μύστῃ νεοφάντῃ.

V. ΑΙΘΕΡΟΣ, θυμίαμα κρόκον.

Ὦ Διὸς ὑψιμέλαθρον ἔχων κράτος αἰὲν ἀτειρές,
ἄστρων ἠελίου τε σεληναίης θ' ὑπέρεισμα,
πανδαμάτορ, πυρίπνους, πᾶσι ζωοῖσιν ἔναυσμα,
ὑψιφανὴς Αἰθέρ, κόσμου στοιχεῖον ἄριστον,
ἀγλαὸν ὦ βλάστημα, σελασφόρον, ἀστεροφεγγές,
κικλήσκων λίτομαί σε κεκραμένον εὔδιον εἶναι.

VI. ΠΡΩΤΟΓΟΝΟΥ, θυμίαμα σμύρναν.

Πρωτογόνον καλέω διφυῆ, μέγαν, αἰθερόπλαγκτον,
ᾠογενῆ, χρυσέῃσιν ἀγαλλόμενον πτερύγεσσι,

---

9 ἐγκυκλία codd., corr. Hermann. — 12 δέ Sanctamandus] σε. — μάκαιρα ὦ (om. νύξ) codd.

IV. 1 παγγενέτορ Abel] παγγενέτωρ. — 3 κοσμοκράτωρ (sic) Hermann] κόσμε πατήρ. — 4 δίνῃσιν Hermann] δίναισιν. — 5 αἰθέριος Schenkl] οὐράνιος. — περικληθείς codd. — 6 ἄπλητον Hermann] ἄτλητον. — 7 παναίολος Hermann] παναίολε. — 9 ὁσίην Hermann] ὁσίαν.

V. 2 θ' ὑπέρεισμα Wiel] τε μέρισμα. — 3 πανδαμάτορ Abel] πανδαμάτωρ. — πυρίπνους Dinner, πυρίπνου. — 4 Αἰθέρ Abel] αἰθήρ.

VI. 2 χρυσέῃσιν Hermann] χρυσέαισιν.

ταυροβόαν, γένεσιν μακάρων θνητῶν τ᾽ ἀνθρώπων,
σπέρμα πολύμνηστον, πολυόργιον, Ἠρικεπαῖον,
ἄρρητον, κρύφιον, ῥοιζήτορα, παμφαὲς ἔρνος,
ὄσσων ὃς σκοτόεσσαν ἀπημαύρωσας ὁμίχλην
πάντῃ δινηθεὶς πτερύγων ῥιπαῖς κατὰ κόσμον
λαμπρὸν ἄγων φάος ἁγνόν, ἀφ᾽ οὗ σε Φάνητα κικλήσκω
ἠδὲ Πρίηπον ἄνακτα καὶ Ἀνταύγην ἑλίκωπον.
ἀλλά, μάκαρ, πολύμητι, πολύσπορε, βαῖνε γεγηθὼς
ἐς τελετὴν ἁγίην πολυποίκιλον ὀργιοφάνταις.

VII. ΑΣΤΡΩΝ, θυμίαμα ἀρώματα.

Ἄστρων οὐρανίων ἱερὸν σέλας ἐκπροκαλοῦμαι,
εὐιέροις φωνῇσι κικλήσκων δαίμονας ἁγνούς.
Ἀστέρες οὐράνιοι, Νυκτὸς φίλα τέκνα μελαίνης,
ἐγκυκλίοις δίνῃσι πυριρρόθιοι κυκλέοντες,
ἀνταυγεῖς, πυρόεντες ἀεί, γενετῆρες ἁπάντων,
μοιρίδιοι, πάσης μοίρης σημάντορες ὄντες,
θνητῶν ἀνθρώπων θείην διέποντες ἀταρπόν,
ἑπταφαεῖς ζώνας ἐφορώμενοι, ἠερόπλαγκτοι,
οὐράνιοι χθόνιοί τε, πυρίδρομοι, αἰὲν ἀτειρεῖς,
αὐγάζοντες ἀεὶ νυκτὸς ζοφοειδέα πέπλον,
μαρμαρυγαῖς στίλβοντες, εὔφρονες ἐννύχιοί τε·
ἔλθετ᾽ ἐπ᾽ εὐιέρου τελετῆς πολυΐστορας ἄθλους
ἐσθλὸν ἐπ᾽ εὐδόξοις ἔργοις δρόμον ἐκτελέοντες.

VIII. ΗΛΙΟΥ, θυμίαμα λιβανομάνναν.

Κλῦθι μάκαρ, πανδερκὲς ἔχων αἰώνιον ὄμμα,
Τιτὰν χρυσαυγής, ὑπερίων, οὐράνιον φῶς,
αὐτοφυής, ἀκάμας, ζῴων ἡδεῖα πρόσοψι,

---

4 σπέρμα Hermann] ὅστε. — Ἠρικεπαῖον Leopardus] εὕρηκε παιάν. — 7 δινηθείς Hermann] δινήεις. — 9 Ἀνταύγην Hermann] ἀνταυγῆ. — 11 ἁγίην Hermann] ἁγίαν.

VII. 2 εὐιέραις (sic) Lennep] εὖ ἱεραῖς. — φωνῇσι Hermann] φωναῖσι. — 2 ἀγανοῦς (ἀγανούς, ἀγ) codd. — 4 δίνῃσι Hermann] δίναισι. — πυριρρόθιοι Wiel] περιθρόνια. — 6 ἐόντες codd. — 7 θείην Hermann] θεῖαν. — 8 ὑφορώμενοι codd. — 13 ἐσθλόν Lobeck] ἐσθλοί.

VIII. 3 ἀκάμας Hermann] ἀκάμα.

δεξιὲ μὲν γενέτωρ ἠοῦς, εὐώνυμε νυκτός,
κρᾶσιν ἔχων ὡρῶν, τετραβάμοσι ποσσὶ χορεύων,
εὔδρομε, ῥοιζῆτορ, πυρόεις, φαιδρωπέ, διφρευτά,
ῥόμβου ἀπειρεσίου δινεύμασιν οἶμον ἐλαύνων,
εὐσεβέσιν καθοδηγὲ καλῶν, ζαμενὴς ἀσεβοῦσι,
χρυσολύρη, κόσμου τὸν ἐναρμόνιον δρόμον ἕλκων,
ἔργων σημάντωρ ἀγαθῶν, ὡροτρόφε κοῦρε.
κοσμοκράτορ, συρικτά, πυρίδρομε, κυκλοέλικτε,
φωσφόρος, αἰολόμικτε, φερέσβιε, κάρπιμε, Παιάν,
ἀιθαλής, ἀμίαντε, χρόνου πάτερ, ἀθάνατε Ζεῦ,
εὔδιε, πασιφαές, κόσμου τὸ περίδρομον ὄμμα,
σβεννύμενος λάμπων τε καλαῖς ἀκτῖσι φαειναῖς,
δεῖκτα δικαιοσύνης, φιλονάματε, δέσποτα κόσμου,
πιστοφύλαξ, αἰεὶ πανυπέρτατε, πᾶσιν ἀρωγέ,
ὄμμα δικαιοσύνης, ζωῆς φῶς· ὦ ἐλάσιππε,
μάστιγι λιγυρῇ τετράορον ἅρμα διώκων·
κλῦθι λόγων, ἡδὺν δὲ βίον μύστῃσι πρόφαινε.

IX. ΣΕΛΗΝΗΣ, *θυμίαμα ἀρώματα.*

Κλῦθι, θεὰ βασίλεια, φαεσφόρε, δῖα Σελήνη,
ταυρόκερως Μήνη, νυκτιδρόμος, ἠεροφοῖτι,
ἐννυχίη, δᾳδοῦχε, κόρη εὐάστερε, Μήνη,
αὐξομένη καὶ λειπομένη, θῆλύς τε καὶ ἄρσην,
αὐγάστειρα, φίλιππε, χρόνου μῆτερ, φερέκαρπε,
ἠλεκτρίς, βαρύθυμε, καταυγάστειρα, νυχαυγές,
πανδερκές, φιλάγρυπνε, καλοῖς ἄστροισι βρύουσα,
ἡσυχίῃ χαίρουσα καὶ εὐφρόνῃ ὀλβιομοίρῳ,
λαμπετίη, χαριτῶπι, κερασφόρε, νυκτὸς ἄγαλμα,

---

6 ῥοιζῆτορ Abel] ῥιζωτήρ. — 8 ζαμενής Dinner] δυσμενής. — 11 κοσμοκράτωρ codd., corr. Abel. — 12 φωσφόρος Hermann] φωσφόρε. — αἰολόμικτε Wiel] αἰολόδικτε. — 14 πασιφαές Pierson] παμφαῆ. — 15 σβεννύμενε codd. — 16 δίκτα codd.

IX. 2 νυκτιδρόμος Hermann] νυκτιδρόμε. — 3 ἐννυχίη Hermann] ἐννυχία. — 5 αὐγάστειρα Abel] αὐγήστειρα (αὐγήτειρα). — 6 νυχαυγές Abel] νυχία. — 7 πανδερκές Abel] πανδερκής. — 8 εὐφρόνῃ Gesner] εὐφροσύνη (εὐφρόσυν'). — 9 χαριτῶπι Wiel] χαροδῶτι. — κερασφόρε Abel] τελεσφόρε; an σελασφόρε scribendum?

ἀστράρχη, τανύπεπλ᾽, ἑλικοδρόμε, πάνσοφε κούρη,
ἐλθέ, μάκαιρ᾽, εὔφρων, εὐάστερε, φέγγεϊ τῷ σῷ
λαμπομένη, σώζουσα νέους ἱκέτας σέο, κούρη.

X. ΦΥΣΕΩΣ, θυμίαμα ἀρώματα.

Ὦ Φύσι, παμμήτειρα θεά, πολυμήχανε μῆτερ,
οὐρανίη, πρέσβειρα, πολύκτιτε δαῖμον, ἄνασσα,
πανδαμάτωρ, ἀδάμαστε, κυβερνήτειρα, παναυγές,
παντοκράτειρα, τετιμέν᾽ ἀεί, πανυπέρτατε δαῖμον,
ἄφθιτε, πρωτογένεια, παλαίφατε, κυδιάνειρα,
ἐννυχίη, πολύπειρε, σελασφόρε, δεινοκάθεκτε,
ἄψοφον ἀστραγάλοισι ποδῶν ἴχνος εἱλίσσουσα,
ἁγνή, κοσμήτειρα θεῶν ἀτελής τε τελευτή,
κοινὴ μὲν πάντεσσιν, ἀκοινώνητε δὲ μούνη,
αὐτοπάτωρ, ἀπάτωρ, ἀργής, πολύγηθε, μεγίστη,
εὐαντές, πλοκίη, φιλίη, πολύμικτε, δαῆμον,
ἡγεμόνη, κράντειρα, φερέσβιε, πάντροφε κούρη,
αὐτάρκεια, Δίκη, Χαρίτων πολυώνυμε πειθώ,
αἰθερίη χθονίη τε καὶ εἰναλίη μεδέουσα,
πικρὴ μὲν φαύλοισι, γλυκεῖα δὲ πειθομένοισι,
πάνσοφε, πανδώτειρα, κομίστρια, παμβασίλεια,
αὐξιτρόφος, πίειρα πεπαινομένων τε λύτειρα,
πάντων μὲν σὺ πατήρ, μήτηρ, τροφὸς ἠδὲ τιθήνη,
ὠκυλόχεια, μάκαιρα, πολύσπορος, ὡριὰς ὁρμή,
παντοτεχνές, πλάστειρα, πολύκτιτε, πότνια δαῖμον,
ἀιδίη, κινησιφόρος, πολύπειρε, περίφρον,
ἀενάῳ στροφάλιγγι θοὸν ῥύμα δινεύουσα,

12 νέους Hermann] τεούς. — σέο κούρη Ruhnken] ἐσλοκούρη.

X. 2 οὐρανίη Hermann] οὐρανία. — 3 παναυγές Abel] παναυγής. — 4 τετιμέν᾽ ἀεί Koene] τετιμενέα. — δαῖμον Hermann] πᾶσιν. — 6 ἐννυχίη Hermann] ἐννυχία. — πολύπειρε Stephanus] πολύτειρε. — 10 ἀργής Abel] ἀρετῇ. — 11 εὐαντές Abel] εὐάνθεια. — πλοκίη Hermann] πλόκη. — φιλίη Hermann] φιλία. — 14 αἰθερία χθονία τε καὶ εἰναλία codd., corr. Hermann. — 15 πικρὴ Hermann] πικρά. — 17 αὐξιτρόφων π. πεπ. δὲ λ. codd., corr. Hermann. — 18 τιθήνη Abel] τιθηνός. — 20 πότνια] παντοῖα codd. — 21 ἀιδία κινησιφόρε codd., corr. Hermann. — περίφρον Abel] περίφρων.

πάνρυτε, κυκλοτερής, ἀλλοτριομορφοδίαιτε,
εὔθρονε, τιμήεσσα, μόνη τὸ κριθὲν τελέουσα,
σκηπτούχων ἐφύπερθε βαρυβρεμέτειρα κρατίστη,
ἄτρομε, πανδαμάτειρα, πεπρωμένη αἶσα, πυρίπνους,
ἀίδιος ζωὴ ἠδ' ἀθανάτη τε πρόνοια·
πάντα σὺ ἔσσι· τὰ πάντα σὺ γὰρ μούνη τάδε τεύχεις.
ἀλλά, θεά, λίτομαί σε σὺν εὐόλβοισιν ἐν ὥραις
εἰρήνην, ὑγίειαν ἄγειν, αὔξησιν ἁπάντων.

XI. ΠΑΝΟΣ, θυμίαμα ποικίλα.

Πᾶνα καλῶ κρατερόν, νόμιον, κόσμοιο τὸ σύμπαν,
οὐρανὸν ἠδὲ θάλασσαν ἰδὲ χθόνα παμβασίλειαν
καὶ πῦρ ἀθάνατον· τάδε γὰρ μέλε' ἐστὶ τὰ Πανός.
ἐλθέ, μάκαρ, σκιρτητά, περίδρομε, σύνθρονος Ὥραις,
αἰγομελές, βακχευτά, φιλένθεος, ἀντροδίαιτε,
ἁρμονίην κόσμοιο κρέκων φιλοπαίγμονι μολπῇ,
φαντασιῶν ἐπαρωγέ φόβων τ' ἔκπαγλε βροτείων,
αἰγονόμοις χαίρων ἀνὰ πίδακας ἠδέ τε βούταις,
εὔσκοπε, θηρητήρ, Ἠχοῦς φίλε, σύγχορε νυμφῶν,
παντοφυές, γενέτορ πάντων, πολυώνυμε δαῖμον,
κοσμοκράτωρ, αὐξητά, φαεσφόρε, κάρπιμε Παιάν,
ἀντροχαρές, βαρύμηνις, ἀληθὴς Ζεὺς ὁ κεράστης.
σοὶ γὰρ ἀπειρέσιον γαίης πέδον ἐστήρικται,
εἴκει δ' ἀκαμάτου πόντου τὸ βαθύρροον ὕδωρ
Ὠκεανός τε πέριξ ἐνὶ ὕδασι γαῖαν ἑλίσσων,
ἠέριόν τε μέρισμα τροφῆς, ζωοῖσιν ἔναυσμα,
καὶ κορυφῆς ἐφύπερθεν ἐλαφροτάτου πυρὸς ὄμμα.
βαίνει γὰρ τάδε ῥεῖα πολύκριτα σῇσιν ἐφετμαῖς·
ἀλλάσσεις δὲ φύσεις πάντων ταῖς σῇσι προνοίαις

---

24 εὔθρονε Hermann] ἔνθρονε. — 28 σὺ ἔσσι Hermann] σοὶ εἰσί.
XI. 3 μέλε' Abel] μέλη. — 4 σύνθρονος Hermann] σύνθρονε. — 5 φιλένθεε, ἀστροδίαιτε codd., corr. Hermann. — 6 ἁρμονίαν codd. — 7 τ' Abel addidit. — 10 παντυφυές, γενέτορ Abel] παντοφυής, γενέτωρ. — 14 βαθύρροον Lennep] βαθύσπορον. — 15 ἐνὶ Hermann] ἐν. — 16 ἠέριον Abel] ἀέριον. — 18 ῥεῖα Wiel] θεῖα. — σῇσιν Hermann] σαῖσιν. — 19 σῇσι Hermann] σαῖσι.

βόσκων ἀνθρώπων γενεὴν κατ' ἀπείρονα κόσμον.
ἀλλά, μάκαρ, βακχευτά, φιλένθεε, βαῖν' ἐπὶ λοιβαῖς
εὐιέροις, ἀγαθὴν δ' ὄπασον βιότοιο τελευτὴν
Πανικὸν ἐκπέμπων οἶστρον ἐπὶ τέρματα γαίης.

XII. *ΗΡΑΚΛΕΟΥΣ*, θυμίαμα λίβανον.

Ἡρακλες ὀβριμόθυμε, μεγασθενές, ἄλκιμε Τιτάν,
καρτερόχειρ, ἀδάμαστε, βρύων ἄθλοισι κραταιοῖς,
αἰολόμορφε, χρόνου πάτερ, ἀίδιός τε καὶ εὖφρον,
ἄρρητ', ἀγριόθυμε, πολύλλιτε, παντοδυνάστα,
παγκρατὲς ἦτορ ἔχων, κάρτος μέγα, τοξότα, μάντι,
παμφάγε, παγγενέτορ, πανυπέρτατε, πᾶσιν ἀρωγέ,
ὃς θνητοῖς κατέπαυσας ἀνήμερα φῦλα διώξας,
εἰρήνην ποθέων κουροτρόφον, ἀγλαότιμον,
αὐτοφυής, ἀκάμας, γαίης βλάστημα φέριστον,
πρωτογόνοις στράψας βολίσιν, μεγαλώνυμε δαῖμον,
ὃς περὶ κρατὶ φορεῖς ἠῶ καὶ νύκτα μέλαιναν,
δώδεκ' ἀπ' ἀντολιῶν ἄχρι δυσμῶν ἆθλα διέρπων,
ἀθάνατος, πολύπειρος, ἀπείριτος, ἀστυφέλικτος·
ἐλθέ, μάκαρ, νούσων θελκτήρια πάντα κομίζων,
ἐξέλασον δὲ κακὰς ἄτας κλάδον ἐν χερὶ πάλλων,
πτηνοῖς τ' ἰοβόλοις κῆρας χαλεπὰς ἀπόπεμπε.

XIII. *ΚΡΟΝΟΥ*, θυμίαμα στύρακα.

Αἰθαλές, μακάρων τε θεῶν πάτερ ἠδὲ καὶ ἀνδρῶν,
ποικιλόβουλ', ἀμίαντε, μεγασθενές, ἄλκιμε Τιτάν,
ὃς δαπανᾷς μὲν ἅπαντα καὶ αὔξεις ἔμπαλιν αὐτός,
δεσμοὺς ἀρρήκτους ὃς ἔχεις κατ' ἀπείρονα κόσμον,
αἰῶνος Κρόνε παγγενέτορ, Κρόνε ποικιλόμυθε,

22 *εὐιεροῖς* codd.

XII. 1 *ὀμβριμόθυμε* codd. — 3 *ἀίδιός τε καὶ* Hermann] *ἀίδιέ τε.* — *εὖφρον* Abel] *εὔφρων.* — 5 *κάρτος μετὰ τόξα καὶ μάντι* codd., corr. Sanctamandus. — 6 *παγγενέτορ* Abel] *παγγενέτωρ.* — 10 *βολίσιν* Lennep] *φολίσιν.* — *δαῖμον* Pierson] *ναίων.* — 12 *ἀντολίων* et *ἄεθλα* codd. — 13 *ἀθάνατος* Sanctamandus] *ἀθανάτοις.* — 16 *ἐπίπεμπε* codd.

XIII. 1 *αἰθαλές* Abel] *αἰθαλής.* — 4 *ἀρρήκτους* Lennep] *ἀρρίτους.* — 5 *παγγενέτορ* Abel] *παγγενέτωρ.*

γαίης τε βλάστημα καὶ οὐρανοῦ ἀστερόεντος,
γέννα, φυῆς μείωσι, Ῥέας πόσι, σεμνὲ προμηθεῦ,
ὃς ναίεις κατὰ πάντα μέρη κόσμοιο, γενάρχα,
ἀγκυλομῆτα, φέριστε· κλύων ἱκετηρίδα φωνὴν
πέμποις εὐόλβου βιότου τέλος αἰὲν ἄμεμπτον.

XIV. ΡΕΑΣ, Θυμίαμα ἀρώματα.

Πότνα Ῥέα, θύγατερ πολυμόρφου Πρωτογόνοιο,
ἣ λῖς ταυροφόνος ἱερότροχον ἅρμα τιταίνει,
τυμπανόδουπε, φιλοιστρομανές, χαλκόκροτε κούρη,
μῆτερ Ζηνὸς ἄνακτος Ὀλυμπίου, αἰγιόχοιο,
πάντιμ', ἀγλαόμορφε, Κρόνου σύλλεκτρε μάκαιρα,
οὔρεσιν ἣ χαίρεις θνητῶν τ' ὀλολύγμασι φρικτοῖς,
παμβασίλεια Ῥέα, πολεμόκλονος, ὀβριμόθυμε,
ψευδομένη, σώτειρα, λυτηριάς, ἀρχιγένεθλε,
μῆτερ μέν τε θεῶν ἠδὲ θνητῶν ἀνθρώπων·
ἐκ σοῦ γὰρ καὶ γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
καὶ πόντος πνοιαί τε· φιλόδρομος, ἠερόμορφε·
ἐλθέ, μάκαιρα θεά, σωτήριος εὔφρονι βουλῇ
εἰρήνην κατάγουσα σὺν εὐόλβοις κτεάτεσσι,
λύματα καὶ κῆρας πέμπουσ' ἐπὶ τέρματα γαίης.

XV. ΔΙΟΣ, Θυμίαμα στύρακα.

Ζεῦ πολυτίμητε, Ζεῦ ἄφθιτε, τήνδε τοι ἡμεῖς
μαρτυρίην τιθέμεσθα λυτήριον ἠδὲ πρόσευξιν.
ὦ βασιλεῦ, διὰ σὴν κεφαλὴν ἐφάνη τάδε ῥεῖα,
γαῖα θεὰ μήτηρ ὀρέων θ' ὑψηχέες ὄχθοι
καὶ πόντος καὶ πάνθ', ὁπόσ' οὐρανὸς ἐντὸς ἐέργει·
Ζεῦ Κρόνιε, σκηπτοῦχε, καταιβάτα, ὀβριμόθυμε,
παντογένεθλ', ἀρχὴ πάντων πάντων τε τελευτή,

---

7 φυῆς Lennep] φυή. — 10 εὐόλβου Hermann] εὔολβον.

XIV. 2 ἥτ' ἐπὶ ταυροφόρον ἱερότροχον ἅρμα τιταίνεις codd., corr Hermann. — 7 πολεμόκλονος Hermann] πολεμόκλονε. — ὀμβριμόθυμε codd. — 9 μῆτερ Abel] μήτηρ. — 11 φιλόδρομος Hermann] φιλόδρομε. — ἠερόμορφε Abel] ἀερόμορφε.

XV. 1 πολύτιμε codd. — 2 μαρτυρίην Hermann] μαρτυρίαν. — 5 ἐέργει Abel] ἔταξε.

σεισίχθων, αὐξητά, καθάρσιε, παντοτινάκτα,
ἀστράπιε, βρονταῖε, κεραύνιε, φυτάλιε Ζεῦ·
κλῦθί μευ, αἰολόμορφε, δίδου δ' ὑγίειαν ἀμεμφῆ
εἰρήνην τε θεὰν καὶ πλούτου δόξαν ἄμεμπτον.
[Pro v. 7—11 hos habet cod. Thryllitianus:
αὐτοπάτορ, μακάρων τε θεῶν πάτερ ἠδὲ ἀνδρῶν·
ἀλλὰ χάριν λοιβῆς σὺ δίδου, φρεσὶν αἴσιμα πάντα,
ζωήν τ' ὀλβιόθυμον, ὁμοῦ θ' ὑγίειαν ἄνασσαν
εἰρήνην τε θεάν, κουροτρόφον, ἀγλαότιμον,
καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς.]

XVI. ΗΡΑΣ, θυμίαμα ἀρώματα.

Κυανέοις κόλποισιν ἐνημένη, ἠερόμορφε,
Ἥρη παμβασίλεια, Διὸς σύλλεκτρε μάκαιρα,
ψυχοτρόφους αὔρας θνητοῖς παρέχουσα προσηνεῖς,
ὄμβρων μὲν μήτηρ, ἀνέμων τροφέ, παντογένεθλε·
χωρὶς γὰρ σέθεν οὐδὲν ὅλως ζωῆς φύσιν ἔγνω·
κοινωνεῖς γὰρ ἅπασι κεκραμένη ἠέρι σεμνῷ·
πάντων γὰρ κρατέεις μούνη πάντεσσί τ' ἀνάσσεις
ἠερίοις ῥοίζοισι τινασσομένη κατὰ χεῦμα.
ἀλλά, μάκαιρα θεά, πολυώνυμε, παμβασίλεια,
ἔλθοις εὐμενέουσα καλῷ γήθουσα προσώπῳ.

XVII. ΠΟΣΕΙΔΩΝΟΣ, θυμίαμα σμύρναν.

Κλῦθι, Ποσείδαον γαιήοχε, κυανοχαῖτα,
ἵππιε, χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν,
ὃς ναίεις πόντοιο βαθυστέρνοιο θέμεθλα,
ποντομέδων, ἁλίδουπε, βαρύκτυπος, ἐννοσίγαιε,
κυμοθαλές, χαριτῶπα, τετράορον ἅρμα διώκων,
εἰναλίοις ῥοίζοισι τινάσσων ἁλμυρὸν ὕδωρ,

9 ἀστράπιε Hermann] ἀστραπαῖε. — 10 μευ Hermann] μου. — δ' ὑγίειαν Hermann] δὲ (καὶ) ὑγείαν.

XV (2). 7 αὐτοπάτορ Abel] αὐτοπάτωρ. — 8 λοιβῆς σύ Abel] λοιβῆσι. — 9 τ' pro δ' et θ' pro δ' Abel. — 10 θεάν Abel] θεόν.

XVI. 1 ἠερόμορφε Hermann] ἀερόμορφε. — 2 Ἥρη Hermann] Ἥρα. — 4 μῆτερ codd. — 6 ἠέρι Dorville] περί. — 10 γήθουσα Lobeck] γήθοντι.

XVII. 1 Ποσείδαον Abel] Ποσειδάον. — 4 βαρύκτυπος Hermann] βαρύκτυπε. — 5 κυμοθαλές Abel] κυμοθαλής. — χαριδῶπα codd.

ὃς τριτάτης μοίρης ἔλαχες βαθὺ χεῦμα θαλάσσης,
κύμασι τερπόμενος θηρσίν θ' ἅμα, πόντιε δαῖμον·
ἕδρανα γῆς σώζοις καὶ νηῶν εὔδρομον ὁρμήν,
εἰρήνην, ὑγίειαν ἄγων ἠδ' ὄλβον ἀμεμφῆ.

[Εἰς Ποσειδῶ hunc hymnum habet cod. Thryllitianus:
Κλῦθι Ποσείδαον, Ζηνὸς παῖ πρεσβυγένεθλε,
οὐρανίων μακάρων τε θεῶν πάτερ ἠδὲ καὶ ἀνδρῶν,
ὃς ναίεις κορυφαῖος ἐπ' Οὐλύμποιο καρήνων
δεύτερος ἐκ Διὸς εἰληχὼς πάντεσσιν ἀνάσσειν·
ἵππιε, χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν,
εὐρύμεδον, χαριτῶπα, τετράορον ἅρμα διώκων·
ὦναξ ποντοκράτωρ, ἱερώτατος, ἀγλαότιμε,
σεμνοῖς μυστιπόλοις χαίρων ὁσίοις τε σεβασμοῖς
ἵλαος εἴης εὐτυχίην μύστῃσι προφαίνων.]

XVIII. ΕΙΣ ΠΛΟΥΤΩΝΑ.

Ὦ τὸν ὑποχθόνιον ναίων δόμον, ὀβριμόθυμε,
Ταρτάριον λειμῶνα βαθύσκιον ἠδὲ λιπαυγῆ,
Ζεῦ χθόνιε, σκηπτοῦχε, τάδ' ἱερὰ δέξο προθύμως,
Πλούτων, ὃς κατέχεις γαίης κλῇδας ἁπάσης,
πλουτοδοτῶν γενεὴν βροτέην καρποῖς ἐνιαυτῶν·
ὃς τριτάτης μοίρης ἔλαχες χθόνα παμβασίλειαν,
ἕδρανον ἀθανάτων, θνητῶν στήριγμα κραταιόν·
ὃς θρόνον ἐστήριξας ὑπὸ ζοφοειδέα χῶρον
τηλεπόρον τ', ἀκάμαντα, λιπόπνοον, ἄκριτον ᾅδην
κυάνεόν τ' Ἀχέρονθ', ὃς ἔχει ῥιζώματα γαίης·
ὃς κρατέεις θνητῶν θανάτου χάριν, ὦ πολυδέγμον·
Εὔβουλ', ἁγνοπόλου Δημήτερος ὅς ποτε παῖδα

---

7 ἔλαβες codd. — μοίρης ἔλαχες Abel] ἔλαχες μοίρης.

XVII (2). 1 Ποσείδαον Abel] Ποσειδάων. — 4 πάντεσσιν Gesner] πάντων. — 7 ἄναξ παντοκράτορ ἱερώτατε codd., corr. Hermann. — 8 μυστοπόλοις (sic, errore?) Hermann] μουσοπόλοις (μουσιπόλοις). — 9 μύστῃσι Hermann] μύσταισι.

XVIII. Inscr. εἰς τυφῶνα est in codd. — 1 ομβριμόθυμε codd. — 11 πολυδέγμον Ruhnken] πολυδαῖμον.

νυμφεύσας λειμῶνος ἀποσπαδίην διὰ πόντου
τετρώροις ἵπποισιν ὑπ᾽ Ἀτθίδος ἤγαγες ἄντρον
δήμου Ἐλευσῖνος, τόθι περ πύλαι εἰσ᾽ Ἀίδαο.
μοῦνος ἔφυς ἀφανῶν ἔργων φανερῶν τε βραβευτής,
ἔνθεε, παντοκράτωρ, ἱερώτατος, ἀγλαότιμε,
σεμνοῖς μυστιπόλοις χαίρων ὁσίοις τε σεβασμοῖς·
ἵλαον ἀγκαλέω σε μολεῖν κεχαρηότα μύσταις.

XIX. ΚΕΡΑΥΝΙΟΥ ΔΙΟΣ, *θυμίαμα στύρακα.*

Ζεῦ πάτερ, ὑψίβρομον πυριαυγέα κόσμον ἐλαύνων,
στράπτων αἰθερίου στεροπῆς πανυπέρτατον αἴγλην,
παμμακάρων ἕδρανον θείαις βροντῆσι τινάσσων,
νάμασι παννεφέλοις στεροπὴν φλεγέθουσαν ἀναίθων,
λαίλαπας, ὄμβρους, πρηστῆρας κρατερούς τε κεραυνούς,
παμφλέκτους, κραιπνούς, φρικώδεας, ὀβριμοθύμους,
βάλλων εὐροθίους, φλογερούς, νεφέεσσι καλύπτων
πτηνὸν ὅπλον δεινόν, κλονοκάρδιον, ὀρθοέθειρον,
αἰφνίδιον, βρονταῖον, ἀνίκητον βέλος ἁγνὸν
ῥοίζου ἀπειρεσίου δινεύμασι, παμφάγον ὁρμῇ,
ἄρρηκτον, βαρύθυμον, ἀμαιμάκετον, πρηστῆρος
οὐράνιον βέλος ὀξὺ καταιβάτου αἰθαλόεντος,
ὃν καὶ γαῖα πέφρικε θάλασσά τε παμφανόωντα,
καὶ θῆρες πτήσσουσιν, ὅτ᾽ ἂν κτύπος οὖας ἐσέλθῃ·
μαρμαίρει δὲ πρόσωπ᾽ αὐγαῖς, σμαραγεῖ δὲ κεραυνὸς
αἰθέρος ἐν γυάλοισι· διαρρήξας δὲ χιτῶνα
οὐράνιον προκάλυμμ᾽ ἀφίεις ἀργῆτα κεραυνόν.

---

13 *ἀποσπαδίην* Sanctamandus] *ἀποσπαδάην.* — 15 *εἰς* codd. — 17 *ἱερώτατος* Hermann] *ἱερώτατε.* — 18 *μυστοπόλοις* (sic, errore?) Hermann] *μουσιπόλοις.*

XIX. *Κεραυνοῦ* in inscriptione codd. — 1 *ὑψίβρομον* Hermann] *ὑψίδρομον.* — *πυριαυγέα* Abel] *πυρσαυγέα.* — 3 *βροντῆσι* Hermann] *βρονταῖσι.* — v. 6 ante Hermannum post v. 7 legebatur. — 6 *κραιπνούς* Hermann] *κρατερούς.* — 7 *εὐροθίους* Hermann] *ἐς ῥοθίους.* — *νεφέεσσι* Hermann] *βελέεσσι.* — 8 *κλονοκάρδιον* Stephanus] *χρονοκάρδιον.* — 17 *προκάλυμμ᾽ ἀφίεις* Slothouwer] προκάλυμμα βάλλεις.

ἀλλά, μάκαρ, θυμὸν βαρὺν ἔμβαλε κύμασι πόντου
ἠδ' ὀρέων κορυφῇσι· τὸ σὸν κράτος ἴσμεν ἅπαντες.
ἀλλὰ χάριν λοιβῆς σὺ δίδου, φρεσὶν αἴσιμα πάντα,
ζωήν τ' ὀλβιόθυμον, ὁμοῦ θ' ὑγίειαν ἄνασσαν
εἰρήνην τε θεάν, κουροτρόφον, ἀγλαότιμον,
καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς.

XX. ΔΙΟΣ ΑΣΤΡΑΠΙΟΥ, θυμίαμα λιβανομάνναν.

Κικλήσκω μέγαν, ἁγνόν, ἐρισμάραγον, περίφαντον,
ἠέριον, φλογόεντα, πυρίβρομον, ἠεροφεγγῆ,
ἀστράπτοντα σέλας νεφέων παταγοδρόμῳ αὐδῇ,
φρικώδη, βαρύμηνιν, ἀνίκητον θεὸν ἁγνόν,
ἀστράπιον Δία, παγγενέτην, βασιλῆα μέγιστον,
εὐμενέοντα φέρειν γλυκερὴν βιότοιο τελευτήν.

XXI. ΝΕΦΩΝ, θυμίαμα σμύρναν.

Ἠέριαι νεφέλαι, καρποτρόφοι, οὐρανόπλαγκτοι,
ὀμβροτόκοι, πνοιῇσιν ἐλαυνόμεναι κατὰ κόσμον,
βρονταῖαι, πυρόεσσαι, ἐρίβρομοι, ὑγροκέλευθοι,
ἠέρος ἐν κόλπῳ πάταγον φρικώδε' ἔχουσαι,
πνεύμασιν ἀντίσπαστοι ἐπιδρομάδην παταγεῦσαι,
ὑμᾶς νῦν λίτομαι, δροσοείμονες, εὔπνοοι αὔραις,
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

XXII. ΘΑΛΑΣΣΗΣ, θυμίαμα λιβανομάνναν.

Ὠκεανοῦ καλέω νύμφην, γλαυκώπιδα Τηθύν,
κυανόπεπλον ἄνασσαν, εὔτροχα κυμαίνουσαν,
αὔραις ἡδυπνόοισι πατασσομένην περὶ γαῖαν.
θραύουσ' αἰγιαλοῖσι πέτρῃσί τε κύματα μακρά,
εὐδίοις ἁπαλοῖσι γαληνιόωσα δρόμοισι,

18 βαρὺν add. Slothouwer. — 19 κορυφῇσι Hermann] κορυφαῖσι. — 22 θεάν Abel] θεόν.

XX. In inscriptione ἀστραπίου Abel pro ἀστραπέως. — 2 ἠέριον Hermann] ἀέριον. — πυρίβρομον Pierson] πυρίδρομον. — ἠεροφεγγῆ Hermann] ἀεροφεγγῆ. — 5 ἀστράπιον Abel] ἀστραπαῖον.

XXI. 1 ἠέριαι Abel] ἠέριοι. — 2 πνοιῇσιν Hermann] πνοιαῖσιν. — 3 ὑγροκέλευθοι Hermann] ὑδροκέλευθοι. — 4 ἠέρος Hermann] ἀέρος. — φρικώδε' Hermann] φρικώδη.

XXII. 5 εὐδίοις Abel] εὐδεινοῖς.

νησὶν ἀγαλλομένη, θηροτρόφος, ὑγροκέλευθε,
μῆτερ μὲν Κύπριδος, μῆτερ νεφέων ἐρεβεννῶν
καὶ πάσης πηγῆς νυμφῶν νασμοῖσι βρυούσης·
κλῦθί μευ, ὦ πολύσεμνε, καὶ εὐμενέουσ' ἐπαρήγοις,
εὐθυδρόμοις οὖρον νησὶν πέμπουσα, μάκαιρα.

XXIII. ΝΗΡΕΩΣ, θυμίαμα σμύρναν.

Ὦ κατέχων πόντου ῥίζας, κυαναυγέτιν ἕδρην,
πεντήκοντα κόρῃσιν ἀγαλλόμενος κατὰ κῦμα
καλλιτέκνοισι χοροῖς, Νηρεῦ, μεγαλώνυμε δαῖμον,
πυθμὴν μὲν πόντου, γαίης πέρας, ἀρχὴ ἁπάντων,
ὃς κλονέεις Δηοῦς ἱερὸν βάθρον, ἡνίκα πνοιὰς
ἐν μυχίοις κευθμῶσιν ἐλαυνομένας ἀποκλείεις·
ἀλλά, μάκαρ, σεισμοὺς μὲν ἀπότρεπε, πέμπε δὲ μύσταις
ὄλβον τ' εἰρήνην τε καὶ ἠπιόχειρ' ὑγίειαν.

XXIV. ΝΗΡΗΙΔΩΝ, θυμίαμα ἀρώματα.

Νηρέος εἰναλίου νύμφαι καλυκώπιδες, ἁγναί,
φρικαλέαι, βύθιαι, χοροπαίγμονες, ὑγροκέλευθοι,
πεντήκοντα κόραι περὶ κύμασι βακχεύουσαι,
Τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περὶ νῶτα
θηροτύποις μορφαῖς, ὧν βόσκει σώματα πόντος·
ἄλλοι θ' οἳ ναίουσι βυθόν, Τριτώνιον οἶδμα,
ὑδροδρόμοι, σκιρτηταί, ἑλισσόμενοι περὶ κῦμα,
ποντοπλάνοι δελφῖνες, ἁλιρρόθιοι, κυαναυγεῖς·
ὑμᾶς κικλήσκω πέμπειν μύσταις πολὺν ὄλβον·
ὑμεῖς γὰρ πρῶται τελετὴν ἀνεδείξατε σεμνὴν
εὐιέρου Βάκχοιο καὶ ἁγνῆς Φερσεφονείης,
Καλλιόπῃ σὺν μητρὶ καὶ Ἀπόλλωνι ἄνακτι.

---

6 νησίν et θηροτρόφος Hermann pro νανσίν et θηροτρόφε. — 7 μῆτερ Abel bis pro μήτηρ. — 9 μευ Hermann] μου. — 10 νησίν Hermann] ναυσίν.

XXIII. 2 κόρῃσιν Hermann] κόραισιν. — 6 ἐννυχίοις et ἀποκλείοις codd., corr. Hermann. — 8 τ' Hermann] ἐπ'. — ἠπιόχειρ' (ἠπιόχειρον ὑγείην Ruhnken) ὑγίειαν Hermann] ὀλβιόχειρον ὑγείην.

XXIV. 2 φρικαλέαι Abel] σφράγιαι.

XXV. ΠΡΩΤΕΩΣ, *θυμίαμα στύρακα.*

Πρωτέα κικλήσκω, πόντου κληῖδας ἔχοντα,
πρωτογενῆ, πάσης φύσεως ἀρχὰς ὃς ἔφηνεν
ὕλην ἀλλάσσων ἱερὴν ἰδέαις πολυμόρφοις,
πάντιμος, πολύβουλος, ἐπιστάμενος τά τ' ἐόντα
ὅσσα τε πρόσθεν ἔην ὅσα τ' ἔσσεται ὕστερον αὖτις·
πάντα γὰρ αὐτὸς ἔχων μεταβάλλεται, οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ ἔχουσιν ἕδος νιφόεντος Ὀλύμπου
καὶ πόντον καὶ γαῖαν ἐνηέριοί τε ποτῶνται·
πάντα γὰρ ἐν Πρωτεῖ πρώτη φύσις ἐγκατέθηκε.
ἀλλά, πάτερ, μόλε μυστιπόλοις ὁσίῃσι προνοίαις
πέμπων εὐόλβου βιότου τέλος ἐσθλὸν ἐπ' ἔργοις.

XXVI. ΓΗΣ, *θυμίαμα πᾶν σπέρμα πλὴν κυάμων καὶ ἀρωμάτων.*

Γαῖα θεά, μῆτερ μακάρων θνητῶν τ' ἀνθρώπων,
πάντροφε, πανδώτειρα, τελεσφόρε, παντολέτειρα,
αὐξιθαλές, φερέκαρπε, καλαῖς ὥρῃσι βρύουσα,
ἕδρανον ἀθανάτου κόσμου, πολυποίκιλε κούρη,
ἣ λοχίαις ὠδῖσι κύεις καρπὸν πολυειδῆ,
ἀιδίη, πολύσεμνε, βαθύστερν', ὀλβιόμοιρε,
ἡδυπνόοις χαίρουσα χλόαις, πολυάνθεμε δαῖμον,
ὀμβροχαρές, περὶ τὴν κόσμος πολυδαίδαλος ἄστρων
εἱλεῖται φύσει ἀενάῳ καὶ ῥεύμασι δεινοῖς.
ἀλλά, μάκαιρα θεά, καρποὺς αὔξοις πολυγηθεῖς
εὐμενὲς ἦτορ ἔχουσα, σὺν εὐόλβοισιν ἐν ὥραις.

XXVII. ΜΗΤΡΟΣ ΘΕΩΝ, *θυμίαμα ποικίλα.*

Ἀθανάτων θεότιμε θεῶν μῆτερ, τροφὲ πάντων,
τῇδε μόλοις, κράντειρα θεά, σέο, πότνι', ἐπ' εὐχαῖς,

XXV. 4 *τά τ' ἐόντα* Hermann] *τά τε ὄντα.* — 9 *ἐν* omm. codd. — 10 *ὁσίῃσι* Hermann] *ὁσίαισι.*

XXVI. 3 *αὐξιθαλές* Abel] *αὐξιθαλής.* — *ὥρῃσι* Hermann] *ὥραισι.* — 6 *ἀιδίη* Hermann] *ἀιδία.* — *πολύσεμνε* Abel] *πολύσεπτε.* — 7 *πολυάνθεμε* Pierson] *πολυανθέσι.* — 8 *ὀμβροχαρές* Abel] *ὀμβριμοχαρής.* — *τήν* Hermann] *ἥν.* — 11 *εὐόλβοισιν* Lennep] *ὀλβίοισιν.*

ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων,
σκηπτοῦχε κλεινοῖο πόλου, πολυώνυμε, σεμνή,
ἣ κατέχεις κόσμοιο μέσον θρόνον, οὕνεκεν αὐτὴ
γαῖαν ἔχεις θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς.
ἐκ σέο δ᾽ ἀθανάτων τε γένος θνητῶν τ᾽ ἐλοχεύθη,
σοὶ ποταμοὶ κρατέονται ἀεὶ καὶ πᾶσα θάλασσα,
Ἱστίη αὐδαχθεῖσα· σὲ δ᾽ ὀλβοδότιν καλέουσι,
παντοίων ἀγαθῶν θνητοῖς ὅτι δῶρα χαρίζῃ.
ἔρχεο πρὸς τελετήν, ὦ πότνια, τυμπανοτερπές,
πανδαμάτορ, Φρυγίης σώτειρα, Κρόνου συνόμευνε,
Οὐρανόπαι, πρέσβειρα, βιοθρέπτειρα, φίλοιστρε·
ἔρχεο γηθόσυνος, κεχαρισμένη εὐσεβίῃσιν.

XXVIII. ΕΡΜΟΥ, *θυμίαμα λίβανον.*

Κλῦθί μευ, Ἑρμεία, Διὸς ἄγγελε, Μαιάδος υἱέ,
παγκρατὲς ἦτορ ἔχων, ἐναγώνιε, κοίρανε θνητῶν,
εὔφρον, ποικιλόβουλε, διάκτορος Ἀργειφόντα,
πτηνοπέδιλε, φίλανδρε, λόγου θνητοῖσι προφῆτα,
γυμνάσιν ὃς χαίρεις δολίαις τ᾽ ἀπάταις, στροφιοῦχε,
ἑρμηνεῦ πάντων, κερδέμπορε, λυσιμέριμνε,
ὃς χείρεσσιν ἔχεις εἰρήνης ὅπλον ἀμεμφές,
Κωρυκιῶτα, μάκαρ, ἐριούνιε, ποικιλόμυθε,
ἐργασίαις ἐπαρωγέ, φίλε θνητοῖς ἐν ἀνάγκαις,
γλώσσης δεινὸν ὅπλον, τὸ σεβάσμιον ἀνθρώποισι·
κλῦθί μευ εὐχομένου, βιότου τέλος ἐσθλὸν ὀπάζων
ἐργασίῃσι, λόγου χάρισιν καὶ μνημοσύνῃσιν.

XXIX. ΥΜΝΟΣ ΦΕΡΣΕΦΟΝΗΣ.

Φερσεφόνη, θύγατερ μεγάλου Διός, ἐλθέ, μάκαιρα,
μουνογένεια θεά, κεχαρισμένα δ᾽ ἱερά δέξαι,

XXVII. 9 *Ἱστίη* Hermann] *ἑστία.* — *αὐδαχθεῖσα· σὲ δ᾽* Hermann] *αὐδάχθης σὲ δέ.* — 11 *τυμπανοτερπές* Abel] *τυμπανοτέρπη.* — 12 *πανδαμάτορ* Abel] *πανδαμάτωρ.*

XXVIII. 1 *μευ* Hermann] *μοι.* — 3 *εὔφρον* Abel] *εὔφρων.* — *διάκτορος* Hermann] *διάκτορε.* — 5 *στροφιοῦχε* Wiel] *τροφιοῦχε.* — 12 *ἐργασίῃσι* Hermann] *ἐργασίαισι.*

Πλούτωνος πολύτιμε δάμαρ, κεδνή, βιοδῶτι,
ἣ κατέχεις Ἀίδαο πύλας ὑπὸ κεύθεα γαίης,
Πραξιδίκη, ἐρασιπλόκαμος, Δηοῦς θάλος ἁγνόν,
Εὐμενίδων γενέτειρα, καταχθονίων βασίλεια,
ἣν Ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην,
μῆτερ ἐριβρεμέτου πολυμόρφου Εὐβουλῆος,
Ὡρῶν συμπαίκτειρα, φαεσφόρος, ἀγλαόμορφε,
σεμνή, παντοκράτειρα, κόρη καρποῖσι βρύουσα,
εὐφεγγές, κερόεσσα, μόνη θνητοῖσι ποθεινή,
εἰαρινή, λειμωνιάσιν χαίρουσα πνοῇσιν,
ἱερὸν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις,
ἁρπαγιμαῖα λέχη μετοπωρινὰ νυμφευθεῖσα,
ζωὴ καὶ θάνατος μούνη θνητοῖς πολυμόχθοις,
Φερσεφόνη· φέρβεις γὰρ ἀεὶ καὶ πάντα φονεύεις.
κλῦθι, μάκαιρα θεά, καρποὺς δ᾽ ἀνάπεμπ᾽ ἀπὸ γαίης
εἰρήνη θάλλουσα καὶ ἠπιόχειρ᾽ ὑγιείῃ
καὶ βίῳ εὐόλβῳ, λιπαρὸν γῆρας κατάγοντι
πρὸς σὸν χῶρον, ἄνασσα, καὶ εὐδύνατον Πλούτωνα.

XXX. ΔΙΟΝΥΣΟΥ, *θυμίαμα στύρακα.*

Κικλήσκω Διόνυσον ἐρίβρομον, εὐαστῆρα,
πρωτόγονον, διφυῆ, τρίγονον, Βακχεῖον ἄνακτα,
ἄγριον, ἄρρητον, κρύφιον, δικέρωτα, δίμορφον,
κισσόβρυον, ταυρωπόν, ἀρήιον, εὔιον, ἁγνόν,
ὠμάδιον, τριετῆ, βοτρυηφόρον, ἐρνεσίπεπλον.
Εὐβουλεῦ, πολύβουλε, Διὸς καὶ Φερσεφονείης
ἀρρήτοις λέκτροισι τεκνωθείς, ἄμβροτε δαῖμον·
κλῦθι, μάκαρ, φωνῆς, ἡδὺς δ᾽ ἐπίπνευσον ἀμεμφής,
εὐμενὲς ἦτορ ἔχων, σὺν ἐυζώνοισι τιθήναις.

XXIX. 5 *ἐρασιπλόκαμος* Abel] *ἐρατοπλόκαμος*. — *Δηοῦς* Lennep] *διός*. — 9 *συμπαίκτειρα* Heringa] *συμπλέκτειρα*. — *φαεσφόρος* Hermann] *φαεσφόρε*. — 11 *εὐφεγγές* Abel] *εὐφεγγής*. — 13 *χροοκάρποις* codd. — 18 *ἠπιόχειρ* codd. — *ὑγιείῃ* Hermann] *ὑγίεια*.

XXX. 5 *βοτρυηφόρον* Abel] *βοτρυοφόρον*. — 6 *Εὐβουλεῦ πολύβουλε* Pierson] *εὔβουλ᾽ εὐπολύβουλε*. — *Φερσεφονείης* Abel] *περσεφονείης*. — 8 *ἀμεμφής* Lobeck] *ἀμεν* . . . .

XXXI. ΥΜΝΟΣ ΚΟΥΡΗΤΩΝ.

Σκιρτηταὶ Κουρῆτες, ἐνόπλια βήματα θέντες,
ποσσίκροτοι, ῥομβηταί, ὀρέστεροι, εὐαστῆρες,
κρουσιλύραι, παράρυθμοι, ἐπεμβάται ἴχνεσι κούφοις,
ὁπλοφόροι, φύλακες, κοσμήτορες, ἀγλαόφημοι,
μητρὸς ὀρειμανέος συνοπάονες, ὀργιοφάνται·
ἔλθοιτ' εὐμενέοντες ἐπ' εὐφήμοισι λόγοισι,
βουκόλῳ εὐάντητοι ἀεὶ κεχαρηότι θυμῷ.

XXXII. ΑΘΗΝΑΣ, θυμίαμα ἀρώματα.

Παλλὰς μουνογενές, μεγάλου Διὸς ἔκγονε σεμνή,
δῖα, μάκαιρα θεά, πολεμόκλονος, ὀβριμόθυμε,
ἀρρήτη, ῥητή, μεγαλώνυμος, ἀντροδίαιτε,
ἣ κατέχεις ὄχθων ὑψηχέας ἀκρωρείας
ἠδ' ὄρεα σκιόεντα, νάπῃσί τε σὴν φρένα τέρπεις,
ὁπλοχαρής, οἰστροῖσα βροτῶν ψυχὰς μανίῃσι,
γυμνάζουσα κόρη, φρικώδεα θυμὸν ἔχουσα,
Γοργοφόνος, φυγόλεκτρε, τεχνῶν μῆτερ πολύολβε,
ὁρμήτειρα, φίλοιστρε κακοῖς, ἀγαθοῖς δὲ φρόνησις·
ἄρσην μὲν καὶ θῆλυς ἔφυς, πολεμητόκε, μῆτι,
αἰολόμορφε, δράκαινα, φιλένθεος, ἀγλαότιμε,
Φλεγραίων ὀλέτειρα Γιγάντων, ἱππελάτειρα,
Τριτογένεια, λύτειρα κακῶν, νικηφόρε δαῖμον,
γλαυκῶφ', εὑρεσίτεχνε, πολυλλίστη βασίλεια,
ἤματα καὶ νύκτας αἰεὶ νεάτῃσιν ἐν ὥραις,

XXXI. 3 *κρουσιλύραι* Hermann] *κρουσολύραι*. — *πολύρυθμοι*? — *κούφοις* Valckenaer] *κωφοί*. — 5 *ὀρειμανέος* Hermann] *ὀρειομανοῦς*.

XXXII. 1 *ἔγγονε* codd. — 2 *πολεμοκλόνος* (sic) Hermann] *πολεμόκλονε* (*-οκλόνε*). — *ὀμβριμόθυμε* codd. — 3 *ἀρρήτη ῥητή* Abel] *ἀρρητερρητή*. — *μεγαλώνυμος* Hermann] *μεγαλώνυμε*. — 4 *κατέχεις* Wiel] *διοίγεις*. — *ὄχθων* Abel] *ὄχθους*. — *ὑψηχέας* Abel] *ὑψαύχενας*. — *ἀκρωρείους* codd. — 5 *νάπῃσι* Hermann] *νάπαισι*. — 6 *μανίῃσιν* (sic) Hermann] *μανίαισι*. — 7 *κόρη* Gesner] *κάρη*. — *φρικώδεα* Hermann] *φρικώδη*. — 8 *Γοργοφόνος* Hermann] *γοργόφονε*. — 9 *ὁρμήτειρα* Abel] *ὁρμάστειρα*. — 10 *πολεματόκε* (*πολεμοτόκε*) codd., *πολεμήτοκε* Hermann. — 11 *φιλένθεος* Hermann] *φιλένθεε*. — v. 14 ante Hermannum post v. 17 legebatur.

κλῦθί μευ εὐχομένου, δὸς δ᾽ εἰρήνην πολύολβον
καὶ κόρον ἠδ᾽ ὑγίειαν ἐπ᾽ εὐόλβοισιν ἐν ὥραις.

XXXIII. *ΝΙΚΗΣ*, *θυμίαμα μάνναν.*

Εὐδύνατον καλέω Νίκην, θνητοῖσι ποθεινήν,
ἣ μούνη λύει θνητῶν ἐναγώνιον ὁρμὴν
καὶ στάσιν ἀλγινόεσσαν ἐπ᾽ ἀντιπάλοισι μάχῃσιν,
ἐν πολέμοις κρίνουσα τροπαιούχοισιν ἐπ᾽ ἔργοις,
οἷς ἂν ἐφορμαίνουσα φέρῃς γλυκερώτατον εὖχος·
πάντων γὰρ κρατέεις, πάσης δ᾽ ἔριδος κλέος ἐσθλὸν
Νίκῃ ἐπ᾽ εὐδόξῳ κεῖται θαλίῃσι βρυάζον.
ἀλλά, μάκαιρ᾽, ἔλθοις πεποθημένη ὄμματι φαιδρῷ
αἰεὶ ἐπ᾽ εὐδόξοις ἔργοις τέλος ἐσθλὸν ἄγουσα.

XXXIV. *ΑΠΟΛΛΩΝΟΣ*, *θυμίαμα μάνναν.*

Ἐλθέ, μάκαρ, Παιάν, Τιτυοκτόνε, Φοῖβε, Λυκωρεῦ,
Μεμφῖτ᾽, ἀγλαότιμος, ἰήιος, ὀλβιοδῶτα,
χρυσολύρη, σπερμεῖος, ἀρότριε, Πύθιε, Τιτάν,
Γρυνεῖε, Σμινθεῦ, Πυθοκτόνε, Δελφικέ, μάντι,
ἄγριε, φωσφόρε δαῖμον, ἐράσμιε, κύδιμε κοῦρε,
κρουσιλύρη, χοροποιός, ἑκηβόλε, τοξοβέλεμνε,
Βράγχιε καὶ Διδυμεῦ, Παταρήιε, Λοξία, ἁγνέ,
Δήλι᾽ ἄναξ, πανδερκὲς ἔχων φαεσίμβροτον ὄμμα,
χρυσοκόμη, καθαρὰς φήμας χρησμούς τ᾽ ἀναφαίνων·
κλῦθί μευ εὐχομένου λαῶν ὕπερ εὔφρονι θυμῷ·
τόνδε σὺ γὰρ λεύσσεις τὸν ἀπείριτον αἰθέρα πάντα
γαῖάν τ᾽ ὀλβιόμοιρον ὑπ᾽ αἰθέρι καὶ δι᾽ ἀμολγοῦ,

---

16 *μευ* Hermann] *μου.*

XXXIII. 3 *μάχῃσιν* Hermann] *μάχαισιν.* — 5 *φέρῃς* Hermann] *φέροις.* — 7 *θαλίῃσι* Hermann] *θαλίαισι.* — 8 *πεποθημένη* Slothouwer] *πεποθημένῳ.* — 9 *τέλος* Lobeck] *κλέος.*

XXXIV. 2 *ἀγλαότιμε, ἰήιε* codd., corr. Hermann. — 3 *σπερμεῖος* Hermann] *σπέρμιε.* — 4 *Γρύνειε* (sic) Hermann] *γρύνιε καί.* — 6 *κρουσιλύρη* Abel] *μουσαγέτα.* — *χοροποιός* Hermann] *χοροποιέ.* — 7 *βάκχιε* codd. — *Παταρήιε* Wiel] *ἑκάεργε.* — 9 *χρυσοκόμη* Hermann] *χρυσοκόμα.* — 10 *μευ* Hermann] *μου.* — 12 *ὑπ᾽ αἰθέρι* Wiel] *ὕπερθέ τε.*

νυκτὸς ἐν ἡσυχίῃσιν ὑπ᾽ ἀστεροομμάτου ὄρφνης
ῥίζας νέρθε δέδορκας, ἔχεις δέ τε πείρατα κόσμου
παντός· σοὶ δ᾽ ἀρχή τε τελευτή τ᾽ ἐστὶ μέλουσα.
παντοθαλές, σὺ δὲ πάντα πόλον κιθάρῃ πολυκρέκτῳ
ἁρμόζεις, ὁτὲ μὲν νεάτης ἐπὶ τέρματα βαίνων,
ἄλλοτε δ᾽ αὖθ᾽ ὑπάτην, ποτὲ Δώριον ἐς διάκοσμον
πάντα πόλον κιρνάς, κρίνεις βιοθρέμμονα φῦλα,
ἁρμονίῃ κεράσας παγκόσμιον ἀνδράσι μοῖραν,
μίξας χειμῶνος θέρεός τ᾽ ἴσον ἀμφοτέροισιν,
εἰς ὑπάτας χειμῶνα, θέρος νεάταις διακρίνας,
Δώριον εἰς ἔαρος πολυηράτου ὥριον ἄνθος.
ἔνθεν ἐπωνυμίην σε βροτοὶ κλῄζουσιν ἄνακτα,
Πᾶνα, θεὸν δικέρωτ᾽, ἀνέμων συρίγμαθ᾽ ἱέντα·
οὕνεκα παντὸς ἔχεις κόσμου σφρηγῖδα τυπῶτιν.
κλῦθι, μάκαρ, σώζων μύστας ἱκετηρίδι φωνῇ.

XXXV. ΛΗΤΟΥΣ, θυμίαμα σμύρναν.

Λητοῖ κυανόπεπλε, θεὰ διδυματόκε, σεμνή,
Κοιαντίς, μεγάθυμε, πολυλλίστη βασίλεια,
εὔτεκνον Ζηνὸς γονίμην ὠδῖνα λαχοῦσα,
γειναμένη Φοῖβόν τε καὶ Ἄρτεμιν ἰοχέαιραν,
τὴν μὲν ἐν Ὀρτυγίῃ, τὸν δὲ κραναῇ ἐνὶ Δήλῳ·
κλῦθι, θεὰ δέσποινα, καὶ ἵλαον ἦτορ ἔχουσα
βαῖν᾽ ἐπὶ πάνθειον τελετὴν τέλος ἡδὺ φέρουσα.

XXXVI. ΑΡΤΕΜΙΔΟΣ, θυμίαμα μάνναν.

Κλῦθί μευ, ὦ βασίλεια, Διὸς πολυώνυμε κούρη,
Τιτηνίς, βρομίη, μεγαλώνυμε, τοξότι, σεμνή,
πασιφαές, δᾳδοῦχε, θεὰ Δίκτυννα, λοχείη,

---

13 ἡσυχίαισιν ὑπ᾽ ἀστεροόμματον ὄρφνην codd., corr. Schneider. — 14 δέδορκας Lennep] δέδωκας. — 16 παντοθαλές Abel] παντοθαλής. — 18 ἐς Abel] εἰς. — 19 κρίνας codd. — 20 κεράσας τὴν παγκόσμιον codd. — 24 ἐπωνυμίην Hermann] ἐπωνυμίαις. — 26 σφραγῖδα τυπωτήν codd., corr. Hermann.

XXXV. 1 Λητοῖ Hermann] λητώ. — 3 λαβοῦσα codd.

XXXVI. 2 τιτανίς, βρομία codd., corr. Hermann. — 3 πασιφαές Abel] πασιφαής. — λοχείη Hermann] λοχεία.

ὠδίνων ἐπαρωγὲ καὶ ὠδίνων ἀμύητε,
λυσίζωνε, φίλοιστρε, κυνηγέτι, λυσιμέριμνε,
εὔδρομος, ἰοχέαιρα, φιλαγρότι, νυκτερόφοιτε,
κλῃσίη, εὐάντητε, λυτηριάς, ἀρσενόμορφε,
ὀρθίη, ὠκυλόχεια, βροτῶν κουροτρόφε δαῖμον,
ἀμβροσίη, χθονίη, θηροκτόνος, ὀλβιόμοιρε,
ἣ κατέχεις ὀρέων δρυμούς, ἐλαφηβόλε, σεμνή,
πότνια, παμβασίλεια, καλὸν θάλος αἰὲν ἐοῦσα,
δρυμονίη, σκυλακῖτι, Κυδωνιάς, αἰολόμορφε·
ἐλθέ, θεὰ σώτειρα, φίλη, μύστῃσιν ἅπασιν
εὐάντητος, ἄγουσα καλοὺς καρποὺς ἀπὸ γαίης
εἰρήνην τ' ἐρατὴν καλλιπλόκαμόν θ' ὑγίειαν·
πέμποις δ' εἰς ὀρέων κορυφὰς νούσους τε καὶ ἄλγη.

XXXVII. *ΤΙΤΑΝΩΝ*, *θυμίαμα λίβανον.*

Τιτῆνες, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ἡμετέρων πρόγονοι πατέρων, γαίης ὑπένερθεν
οἴκοις Ταρταρίοισι μυχῷ χθονὸς ἐνναίοντες,
ἀρχαὶ καὶ πηγαὶ πάντων θνητῶν πολυμόχθων,
εἰναλίων πτηνῶν τε καὶ οἳ χθόνα ναιετάουσιν·
ἐξ ὑμέων γὰρ πᾶσα πέλει γενεὴ κατὰ κόσμον.
ὑμᾶς κικλήσκω μῆνιν χαλεπὴν ἀποπέμπειν,
εἴ τις ἀπὸ χθονίων προγόνων οἴκοισι πελάσθη.

XXXVIII. *ΚΟΥΡΗΤΩΝ*, *θυμίαμα λίβανον.*

Χαλκόκροτοι Κουρῆτες, Ἀρήια τεύχε' ἔχοντες,
οὐράνιοι χθόνιοί τε καὶ εἰνάλιοι, πολύολβοι,
ζῳογόνοι πνοιαί, κόσμου σωτῆρες ἀγαυοί,
οἵτε Σαμοθρῄκην, ἱερὴν χθόνα, ναιετάοντες
κινδύνους θνητῶν ἀπερύκετε ποντοπλανήτων·

---

6 *εὔδρομος* Hermann] *εὔδρομε.* — 7 *κλῃσίη* Abel] *κλησία.* — *λυτηριάς* Abel] *λυτηρία.* — 8 *ὀρθίη* Hermann] *ὀρθία.* — 9 *ἀμβροσίη* Abel] *ἀμβροτέρα.* — *χθονία, θηροκτόνε* codd., corr. Hermann. — 16 *κορυφὰς* Abel] *κεφαλάς.*

XXXVII. 6 *γενεή* Hermann] *γενεά.* — 8 *οἴκοισι πελάσθη* Hermann] *οἴκοις ἐπελάσθη.*

XXXVIII. 4 *Σαμοθρῄκην* Hermann] *σαμοθράκην.*

ὑμεῖς καὶ τελετὴν πρῶτοι μερόπεσσιν ἔθεσθε,
ἀθάνατοι Κουρῆτες, Ἀρήια τεύχε᾽ ἔχοντες·
νωμᾶτ᾽ Ὠκεανόν, νωμᾶθ᾽ ἅλα δένδρεά θ᾽ αὕτως·
ἐρχόμενοι γαῖαν κοναβίζετε ποσσὶν ἐλαφροῖς,
μαρμαίροντες ὅπλοις· πτήσσουσι δὲ θῆρες ἅπαντες
ὁρμώντων, θόρυβος δὲ βοή τ᾽ εἰς οὐρανὸν ἵκει,
εἱλιγμοῖς τε ποδῶν κονίη νεφέλας ἀφικάνει
ἐρχομένων· τότε δή ῥα καὶ ἄνθεα πάντα τέθηλε.
δαίμονες ἀθάνατοι, τροφέες τε καὶ αὖτ᾽ ὀλετῆρες,
ἡνίκ᾽ ἂν ὁρμαίνητε χολούμενοι ἀνθρώποισιν
ὀλλύντες βίοτον καὶ κτήματα ἠδὲ καὶ αὐτοὺς
πιμπράντες· στοναχεῖ δὲ μέγας πόντος βαθυδίνης,
δένδρεα δ᾽ ὑψικάρην᾽ ἐκ ῥιζῶν ἐς χθόνα πίπτει,
ἠχὼ δ᾽ οὐρανίη κελαδεῖ ῥοιζήμασι φύλλων.
Κουρῆτες Κορύβαντες, ἀνάκτορες εὐδύνατοί τε
ἐν Σαμοθρῄκῃ ἄνακτες, ὁμοῦ Ζηνὸς κόροι αὐτοί,
πνοιαὶ ἀέναοι, ψυχοτρόφοι, ἠεροειδεῖς,
οἵτε καὶ οὐράνιοι δίδυμοι κλῄζεσθ᾽ ἐν Ὀλύμπῳ,
εὔπνοοι, εὔδιοι, σωτήριοι ἠδὲ προσηνεῖς·
ὡροτρόφοι, φερέκαρποι ἐπιπνείοιτε ἄνακτες.

XXXIX. ΚΟΡΥΒΑΝΤΟΣ, θυμίαμα λίβανον.

Κικλήσκω χθονὸς ἀενάου βασιλῆα μέγιστον,
Κύρβαντ᾽ ὀλβιόμοιρον, Ἀρήιον, ἀπροσόρατον,
νυκτερινὸν Κουρῆτα, φόβων ἀποπαύστορα δεινῶν,
φαντασιῶν ἐπαρωγόν, ἐρημοπλάνον Κορύβαντα,
αἰολόμορφον ἄνακτα, θεὸν διφυῆ, πολύμορφον,
φοίνιον, αἱμαχθέντα κασιγνήτων ὑπὸ δισσῶν,

---

11 ἵκει Hermann] ἥκει. — 12 νεφέλας Hermann] νεφέλην. — 14 τε add. Hermann. — 15 ἂν ὁρμαίνητε Bentley] ἀνορμαίνωνται. — 17 πιμπράντες Wiel] πιμπλάντες. — 18 δένδρεα Hermann] δένδρη. — 19 οὐρανίη Hermann] οὐρανία. — φύλλων Stephanus] γύλλων. — 21 ἐν] καί codd. — Σαμοθρῄκῃ Hermann] σαμοθράκη. — διός codd. — 22 ἠεροειδεῖς Hermann] ἀεροειδεῖς.

XXXIX. 3 Κουρητα Abel] κούρητα. — 4 ἐρημοπλάνον Abel] ἐρημοπλάνα.

Δηοῦς ὃς γνώμῃσιν ἐνήλλαξας δέμας ἁγνόν,
θηρότυπον θέμενος μορφὴν δνοφεροῖο δράκοντος·
κλῦθι, μάκαρ, φωνῶν, χαλεπὴν δ' ἀποπέμπεο μῆνιν,
παύων φαντασίας ψυχῆς ἐκπλήκτου, ἀνάγνου.

XL. ΔΗΜΗΤΡΟΣ ΕΛΕΥΣΙΝΙΑΣ, θυμίαμα στύρακα.

Δηοῖ, παμμήτειρα θεά, πολυώνυμε δαῖμον,
σεμνὴ Δήμητερ, κουροτρόφος, ὀλβιοδῶτι,
πλουτοδότειρα θεά, σταχυοτρόφε, πανδώτειρα,
εἰρήνῃ χαίρουσα καὶ ἐργασίαις πολυμόχθοις,
σπερμείη, σωρῖτις, ἀλωαίη, χλοόκαρπε,
ἣ ναίεις ἁγνοῖσιν Ἐλευσῖνος γυάλοισιν,
ἱμερόεσσ', ἐρατή, θνητῶν θρέπτειρα προπάντων,
πρώτη ὑποζεύξασα βοῶν ἀροτῆρα τένοντα
καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα,
αὐξιθαλές, Βρομίοιο συνέστιος, ἀγλαότιμος,
λαμπαδόεσσ', ἁγνή, δρεπάνοις χαίρουσα θερείοις·
σὺ χθονίη, σὺ δὲ φαινομένη, σὺ δὲ πᾶσι προσηνής·
εὔτεκνε, παιδοφίλη, σεμνή, κουροτρόφε κούρη,
ἅρμα δρακοντείοισιν ὑποζεύξασα χαλινοῖς
ἐγκυκλίοις δίναις περὶ σὸν θρόνον εὐαζόντων,
μουνογενές, πολύτεκνε θεά, πολυπότνια θνητοῖς,
ἧς πολλαὶ μορφαί, πολυάνθεμοι, ἱεροθηλεῖς·
ἐλθέ, μάκαιρ', ἁγνή, καρποῖς βρίθουσα θερείοις,
εἰρήνην κατάγουσα καὶ εὐνομίην ἐρατεινὴν
καὶ πλοῦτον πολύολβον, ὁμοῦ δ' ὑγίειαν ἄνασσαν.

---

7 γνώμῃσιν Hermann] γνώμαισιν. — 8 θηρότυπον Hermann] θηροτύπου. — 11 ἀνάγνου Wiel] ἀνάγκης.

XL. 1 Δηοῖ Hermann] δηώ. — θεά Hermann] θεοῖς. — 2 κουροτρόφε codd. — 5 σπερμία σωρίτι ἀλωαῖα codd., corr. Hermann. — 8 πρώτη ὑποζεύξασα Hermann] ἣ πρώτη ζεύξασα. — 9 περίολβον codd. — 10 αὐξιθαλές Abel] αὐξιθαλής. — Βρομίοιο Hermann] βρομίοις. — 12 χθονίη Hermann] χθονία. — 13 κούρη Hermann] κούρα. — 15 εὐαζόντων Hermann] εὐάζουσα. — 16 μουνογενές Abel] μουνογενής. — 17 ἱεροθηλεῖς Hermann] ἱεροθαλλεῖς. — 18 καρποῖσι βρύουσα?

XLI. *ΜΗΤΡΟΣ ΑΝΤΑΙΑΣ*, θυμίαμα ἀρώματα.

Ἀνταίη βασίλεια, θεά, πολυώνυμε μῆτερ
ἀθανάτων τε θεῶν ἠδὲ θνητῶν ἀνθρώπων,
ἥ ποτε μαστεύουσα πολυπλάγκτῳ ἐν ἀνίῃ
νηστείην κατέπαυσας Ἐλευσῖνος γυάλοισιν
ἦλθές τ᾽ εἰς Ἀίδην πρὸς ἀγαυὴν Φερσεφόνειαν
ἁγνὸν παῖδα Δυσαύλου ὁδηγητῆρα λαχοῦσα,
μηνυτῆρ᾽ ἁγίων λέκτρων χθονίου Διὸς ἁγνοῦ,
Εὐβουλῆα τεκοῦσα θεὰ θνητῆς ὑπ᾽ ἀνάγκης.
ἀλλά, θεά, λίτομαί σε, πολυλλίστη βασίλεια,
ἐλθεῖν εὐάντητον ἐπ᾽ εὐιέρῳ σέο μύστῃ.

XLII. *ΜΙΣΗΣ*, θυμίαμα στύρακα.

Θεσμοφόρον καλέω ναρθηκοφόρον Διόνυσον,
σπέρμα πολύμνηστον, πολυώνυμον Εὐβουλῆος,
ἁγνήν τ᾽ εὐίερόν τε Μίσην, ἄρρητον ἄνασσαν,
ἄρσενα καὶ θῆλυν, διφυῆ, λύσειον Ἴακχον·
εἴτ᾽ ἐν Ἐλευσῖνος τέρπῃ νηῷ θυόεντι,
εἴτε καὶ ἐν Φρυγίῃ σὺν μητέρι μυστιπολεύεις,
ἢ Κύπρῳ τέρπῃ σὺν ἐυστεφάνῳ Κυθερείῃ,
ἢ καὶ πυροφόροις πεδίοις ἐπαγάλλεαι ἁγνοῖς
σὺν σῇ μητρὶ θεᾷ μελανηφόρῳ Ἴσιδι σεμνῇ,
Αἰγύπτου παρὰ χεῦμα σὺν ἀμφιπόλοισι τιθήναις·
εὐμενέουσ᾽ ἔλθοις ἀγάθ᾽ ἐκτελέουσ᾽ ἐπ᾽ ἀέθλοις.

XLIII. *ΩΡΩΝ*, θυμίαμα ἀρώματα.

Ὧραι, θυγατέρες Θέμιδος καὶ Ζηνὸς ἄνακτος,
Εὐνομίη τε Δίκη τε καὶ Εἰρήνη πολύολβε,
εἰαριναί, λειμωνιάδες, πολυάνθεμοι, ἁγναί,

XLI. 1 Ἀνταίη Hermann] ἀνταία. — 3 πολυπλάκτῳ codd. — 4 νηστείην Abel] νηστείαν. — ἐλευσῖνος ἐν γυάλοισιν codd. — 5 Φερσεφόνειαν Abel] περσεφόνειαν. — 6 δύσαγνος παῖδ᾽ ἁγνὸν ὁδηγητῆρα λαβοῦσα codd., corr. Hermann. — 7 μηνυτήρ codd. — 8 Εὐβουλῆα τεκοῦσα Abel] εὔβουλον τέξασα. — θεά Lobeck] θεόν. — ἐπ᾽ codd.

XLII. 3 τ᾽ omm. codd. — 4 ἄρσενα Hermann] ἄρρενα. — 11 ἀγάθ᾽ ἐκτελέουσ᾽ Hermann] ἀγαθοῖς τελέουσ᾽.

παντόχροοι, πολύοδμοι ἐν ἀνθεμοειδέσι πνοιαῖς,
Ὧραι ἀειθαλέες, περικυκλάδες, ἡδυπρόσωποι,
πέπλους ἐννύμεναι δροσεροὺς ἀνθῶν πολυθρέπτων,
ἁγνῆς Φερσεφόνης συμπαίκτορες, εὖτέ ἑ Μοῖραι
καὶ Χάριτες κυκλίοισι χοροῖς ποτὶ φῶς ἀνάγωσι
Ζηνὶ χαριζόμεναι καὶ μητέρι καρποδοτείρῃ·
ἔλθετ᾽ ἐπ᾽ εὐφήμους τελετὰς ὁσίας νεομύστοις
εὐκάρπους καιρῶν γενέσεις ἐπάγουσαι ἀμεμφῶς.

XLIV. ΣΕΜΕΛΗΣ, θυμίαμα στύρακα.

Κικλήσκω κούρην Καδμηίδα παμβασίλειαν,
εὐειδῆ Σεμέλην, ἐρασιπλόκαμον, βαθύκολπον,
μητέρα θυρσοφόροιο Διωνύσου πολυγηθοῦς,
ἣ μεγάλας ὠδῖνας ἐλάσσατο πυρφόρῳ αὐγῇ
ἀστραπίοιο τεκοῦσα Διὸς βολίσι Κρονίοιο·
τιμὰς τευξαμένη παρ᾽ ἀγαυῆς Φερσεφονείης
ἐν θνητοῖσι βροτοῖσιν ἀνὰ τριετηρίδας ὥρας,
ἡνίκα σοῦ Βάκχου γονίμην ὠδῖνα τελῶσιν
εὐίερόν τε τράπεζαν ἰδὲ μυστήριά θ᾽ ἁγνά.
νῦν σέ, θεά, λίτομαι, κούρη Καδμηίς, ἄνασσα,
πρηΰνοον καλέων αἰεὶ μύστῃσιν ὑπάρχειν.

XLV. ΥΜΝΟΣ ΔΙΟΝΥΣΟΥ ΒΑΣΣΑΡΕΩΣ ΤΡΙΕΤΗΡΙΚΟΥ.

Ἐλθέ, μάκαρ Διόνυσε, πυρίσπορε, ταυρομέτωπε,
Βάσσαρε καὶ Βακχεῦ, πολυώνυμε, παντοδυνάστα,
ὃς ξίφεσιν χαίρεις ἠδ᾽ αἵματι Μαινάσι θ᾽ ἁγναῖς,
εὐάζων κατ᾽ Ὄλυμπον, ἐρίβρομε, μαινόλα Βάκχε,

XLIII. 7 ἁγνῆς add. Abel. — Περσεφόνης (sic) Hermann] Περσεφόνη. — εὖτέ ἑ Hermann] ἡνίκα. — 8 ποτὶ Wiel] πρός. — 10 νεομύστοις Hermann] νεομύστους.

XLIV. 2 ἐρασιπλόκαμον Abel] ἐρατοπλόκαμον. — 5 ἀστραπίοιο Wiel] ἀθανάτου. — τεχθεῖσα codd. — βολίσι Wiel] βουλαῖς. — 6 παρ᾽ ἀγαυῆς Pierson] παρ᾽ αὐτῆς. — Φερσεφονείης Abel] περσεφονείης. — 9 ἠδέ codd. — 11 μύστῃσιν Hermann] μύσταισιν.

XLV. 3 αἵματι Hermann] αἵμασι. — 4 μαινόλα Hermann] μανικέ.

θυρσεγχές, βαρύμηνι, τετιμένε πᾶσι θεοῖσι
καὶ θνητοῖσι βροτοῖσιν, ὅσοι χθόνα ναιετάουσιν·
ἐλθέ, μάκαρ, σκιρτητά, φέρων πολὺ γῆθος ἅπασι.

XLVI. *ΛΙΚΝΙΤΟΥ,* *θυμίαμα μάνναν.*

Λικνίτην Διόνυσον ἐπ' εὐχαῖς ταῖσδε κικλήσκω,
Νύσιον, ἀμφιθαλῆ, πεποθημένον, εὔφρονα Βάκχον,
νυμφῶν ἔρνος ἐραστὸν ἐυστεφάνου τ' Ἀφροδίτης,
ὅς ποτ' ἀνὰ δρυμοὺς κεχορευμένα βήματα πάλλες
σὺν νύμφαις χαρίεσσιν ἐλαυνόμενος μανίῃσι,
καὶ βουλῇσι Διὸς πρὸς ἀγαυὴν Φερσεφόνειαν
ἀχθεὶς ἐξετράφης φίλος ἀθανάτοισι θεοῖσιν.
εὔφρων ἐλθέ, μάκαρ, κεχαρισμένα δ' ἱερὰ δέξαι.

XLVII. *ΠΕΡΙΚΙΟΝΙΟΥ,* *θυμίαμα ἀρώματα.*

Κικλήσκω Βάκχον περικιόνιον, μεθυδώτην,
Καδμείοισι δόμοις ὃς ἑλισσόμενος πέρι πάντη
ἔστησε κρατεροὺς βρασμοὺς γαίης ἀποπέμψας,
ἡνίκα πυρφόρος αὐγὴ ἐκίνησε χθόνα πᾶσαν
πρηστῆρος ῥοίζοις· ὃ δ' ἀνέδραμε δεσμὸς ἁπάντων.
ἐλθέ, μάκαρ, βακχευτά, γεγηθυίαις πραπίδεσσι.

XLVIII. *ΣΑΒΑΖΙΟΥ,* *θυμίαμα ἀρώματα.*

Κλῦθι, πάτερ, Κρόνου υἱέ, Σαβάζιε, κύδιμε δαῖμον,
ὃς Βάκχον Διόνυσον, ἐρίβρομον, εἰραφιώτην,
μηρῷ ἐγκατέραψας, ὅπως τετελεσμένος ἔλθοι
* * *
Τμῶλον ἐς ἠγάθεον παρά θ' Ἵππαν καλλιπάρῃον.
ἀλλά, μάκαρ, Φρυγίης μεδέων, βασιλεύτατε πάντων,
εὐμενέων ἐπαρωγὸς ἐπέλθοις μυστιπόλοισιν.

---

5 *θυρσεγχής* (sic) Ruhnken] *θυρσεχθής.* — *βαρύμηνε* codd.

XLVI. 2 *νύσσιον* codd. — 4 *δρυμοῦ* codd. — *πάλλες* Hermann] *πάλλει.* — 6 *βουλῇσι* Hermann] *βουλαῖσι.* — *πρὸς ἀγαυήν* Pierson] *πρός τ' αὐτήν.* — 7 *φόβος* codd.

XLVII. 2 *πέρι πάντη* Hermann] *περὶ πάντα.* — 4 *ἐκίνησε* Scriverius] *ἐνίκησε.*

XLVIII. 3 *ἔλθοι* Hermann] *ἔλθῃ.* — Post v. 3 versum huius fere sententiae *μηρῷ περιπλομένοις, καί μιν ταχέως ἐκόμισσας* excidisse vidit Lobeck. — 4 *παρά θ' Ἵππαν* Hermann] *παρ' Ἵππαν.*

XLIX. *ΙΠΠΑΣ*, *θυμίαμα στύρακα.*

Ἵππαν κικλήσκω, Βάκχου τροφόν, εὐάδα κούρην,
μυστιπόλον, τελετῇσιν ἀγαλλομένην Σάβου ἁγνοῦ
νυκτερίοις τε χοροῖσιν ἐριβρεμέταο Ἰάκχου.
κλῦθί μευ εὐχομένου, χθονίη μῆτερ, βασίλεια,
εἴτε σύ γ' ἐν Φρυγίῃ κατέχεις Ἴδης ὄρος ἁγνὸν
ἢ Τμῶλος τέρπει σε, καλὸν Λυδοῖσι θόασμα·
ἔρχεο πρὸς τελετὰς ἱερῷ γήθουσα προσώπῳ.

L. *ΛΥΣΙΟΥ ΛΗΝΑΙΟΥ.*

Κλῦθι, μάκαρ, Διὸς υἷ', ἐπιλήνιε Βάκχε, διμῆτορ,
σπέρμα πολύμνηστον, πολυώνυμε, λύσιε δαῖμον,
κρυψίγονον μακάρων ἱερὸν θάλος, εὔιε Βάκχε,
εὐτραφές, εὔκαρπος, πολυγηθέα καρπὸν ἀέξων,
ῥήξιχθον, ληναῖε, μεγασθενές, αἰολόμορφε,
παυσίπονον θνητοῖσι φανεὶς ἄκος, ἱερὸν ἄνθος,
χάρμα βροτοῖς φιλάλυπον, ἐπάφιε, καλλιέθειρε,
λύσιε, θυρσομανές, βρόμι', εὔιε, πᾶσιν ἔΰφρον,
οἷς ἐθέλεις θνητῶν ἠδ' ἀθανάτων σε πιφαύσκειν·
νῦν σε καλῶ μύστῃσι μολεῖν ἡδύν, φερέκαρπον.

LI. *ΝΥΜΦΩΝ*, *θυμίαμα ἀρώματα.*

Νύμφαι, θυγατέρες μεγακήτεος Ὠκεανοῖο,
ὑγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι,
κρυψίδομοι, Βάκχοιο τροφοί, χθόνιαι, πολυγηθεῖς,
καρποτρόφοι, λειμωνιάδες, σκολιόδρομοι, ἁγναί,
ἀντροχαρεῖς, σπήλυγξι κεχαρμέναι, ἠερόφοιτοι,
πηγαῖαι, δρομάδες, δροσοείμονες, ἴχνεσι κοῦφαι,

XLIX. 2 *τελετῇσιν* Hermann] *τελεταῖσιν.* — 3 *νυκτερίοις τε* Schenkl] *νυκτερίοισι.* — *χοροῖσι περιβρεμέτοις ἰάχοισι* codd., corr. Hermann. — 4 *μευ* Hermann] *μου.* — *χθονίη* Hermann] *χθονία.* — *μῆτερ* Abel] *μήτηρ.* — 7 *γήθουσα* Abel] *γηθοῦσα.*

L. 1 *ἐπιλήνεε* codd. — *διμήτωρ* (sic) Hermann] *διμάτωρ.* — 4 *εὔκαρπος* Hermann] *εὔκαρπε.* — 5 *ῥήξιχθον* Abel] *ῥηξίχθων.* — 6 *παυσίπονον* Hermann] *παυσίπονος.* — 8 *ἔΰφρον* Abel] *ἔΰφρων.* — 9 *πιφαύσκειν* Hermann] *πιφαύσκων.* — 10 *μύστῃσι* Hermann] *μύσταισι.*

LI. 1 *μεγακήτεος* Wiel] *μεγαλήτορος.* — 3 *κρυψίδομοι* Casaubonus] *κρυψίδρομοι.*

φαινόμεναι, ἀφανεῖς, αὐλωνιάδες, πολυανθεῖς,
σὺν Πανὶ σκιρτῶσαι ἀν᾽ οὔρεα, εὐάστειραι,
πετρόρυτοι, λιγυραί, βομβήτριαι, οὐρεσίφοιτοι,
ἀγρότεραι κοῦραι, κρουνίτιδες ὑλονόμοι τε,
παρθένοι εὐώδεις, λευχείμονες, εὔπνοοι αὔραις,
αἰπολικαί, νόμιαι, θηρσὶν φίλαι, ἀγλαόκαρποι,
δρυμοχαρεῖς, ἁπαλαί, πολυθρέμμονες αὐξίτροφοί τε,
κοῦραι ἁμαδρυάδες, φιλοπαίγμονες, ὑγροκέλευθοι,
Νυσαῖαι, μανικαί, παιωνίδες, εἰαροτερπεῖς,
σὺν Βάκχῳ Δηοῖ τε χάριν θνητοῖσι φέρουσαι·
ἔλθετ᾽ ἐπ᾽ εὐφήμοις ἱεροῖς κεχαρηότι θυμῷ
νᾶμα χέουσ᾽ ὑγιεινὸν ἀεξιτρόφοισιν ἐν ὥραις.

LII. ΤΡΙΕΤΗΡΙΚΟΥ, *θυμίαμα ἀρώματα.*

Κικλήσκω σε, μάκαρ, πολυώνυμε, μαινόλα, Βακχεῦ,
ταυρόκερως, ληναῖε, πυροσπόρε, Νύσιε, λυσεῦ,
μηροτρεφές, λικνῖτα, πυρίπνοε καὶ τελετάρχα,
νυκτέρι᾽, Εὐβουλεῦ, μιτρηφόρε, θυρσοτινάκτα,
ὄργιον ἄρρητον, τριφυές, κρύφιον Διὸς ἔρνος,
πρωτογόν᾽, ἠρικεπαῖε, θεῶν πάτερ ἠδὲ καὶ υἱέ,
ὠμάδιε, σκηπτοῦχε, χορεῦμανές, ἡγέτα κώμων,
βακχεύων ἁγίας τριετηρίδας ἀμφὶ τιθήνας,
ῥήξιχθον, πυριφεγγές, ἐπάφιε, κοῦρε διμῆτορ,
οὐρεσίφοιτος, Ἔρως, νεβριδοστόλος, ἀμφιέτηρε,
Παιὰν θυρσεγχής, ὑποκόλπιε, βοτρυόκοσμε,
Βάσσαρε, κισσοχαρές, πολυπάρθενε, κύδιμε κοῦρε·
ἐλθέ, μάκαρ, μύστῃσι βρύων κεχαρισμένος αἰεί.

---

7 *πολυανθεῖς* Hermann] *πολύανθοι.* — 13 *δρυμοχαρεῖς* Heringa] *κρυμοχαρεῖς.* — 15 *Νυσαῖαι* Abel] *νύσσιαι.* — 18 *σὺν ἀεξιτρόφοισιν ἐν ὥραις* codd.

LII. 1 *μαινόλα* Hermann] *μανικέ.* — 2 *νύσσιε* codd. — *λυσεῦ* Schneider] *λυσσεῦ.* — 3 *μητροτρεφές* Abel] *μητροτρεφής.* — *πυρίπνοε* Hermann] *πυριπόλε.* — 7 *ἡγέτα* Abel] *ἀγέτα.* — 8 *τιθήνας* Wiel] *γαληναῖς.* — 9 *ῥήξιχθον* Abel] *ῥηξίχθων.* — *διμῆτορ* Abel] *διμάτωρ.* — 10 *οὐρεσίφοιτος* Abel] *οὐρεσιφοῖτα.* — *νεβριδοστόλος* Hermann] *νεβριδοστόλε.* — 11 *θυρσεγχής* Hermann] *χρυσεγχής.* — 12 *κισσοχαρές* Abel] *κισσοχαρής.* — *κύδιμε κοῦρε* Wiel] *καὶ διάκοσμε.* — 13 *μύστῃσι* Hermann] *μύσταισι.* — *κεχαρισμένος* Abel] *κεχαρημένος.*

LIII. *ΑΜΦΙΕΤΟΥΣ*, *θυμίαμα πάντα πλὴν λιβάνου, καὶ σπένδε γάλα.*

Ἀμφιετῆ καλέω Βάκχον, χθόνιον Διόνυσον,
ἐγρόμενον κούραις ἅμα νύμφαις εὐπλοκάμοισιν,
ὃς παρὰ Φερσεφόνης ἱεροῖσι δόμοισιν ἰαύων
κοιμίζει τριετῆρα χρόνον, Βακχήιον, ἁγνόν.
αὐτὸς δ' ἡνίκα τὸν τριετῆ πάλι κῶμον ἐγείρῃς,
εἰς ὕμνον τρέπεαι σὺν εὐζώνοισι τιθήναις
εὐάζων κινῶν τε χοροὺς ἐνὶ κυκλάσιν ὥραις.
ἀλλά, μάκαρ, χλοόκαρπε, κερασφόρε, κάρπιμε Βάκχε,
βαῖν' ἐπὶ πάνθειον τελετὴν γανόωντι προσώπῳ
εὐιέροις καρποῖσι τελεσσιγόνοισι βρυάζων.

LIV. *ΣΙΛΗΝΟΥ ΣΑΤΥΡΟΥ ΒΑΚΧΩΝ*, *θυμίαμα μάνναν.*

Κλῦθί μευ, ὦ πολύσεμνε τροφός, Βάκχοιο τιθηνέ,
Σιληνῶν ὄχ' ἄριστε, τετιμένε πᾶσι θεοῖσι
καὶ θνητοῖσι βροτοῖσιν ἐπὶ τριετηρίσιν ὥραις,
ἁγνοτελές, γεραρός, θιάσου νομίου τελετάρχα,
εὐαστής, φιλάγρυπνε σὺν εὐζώνοισι τιθήναις,
Ναΐσι καὶ Βάκχαις ἡγούμενε κισσοφόροισι·
δεῦρ' ἐπὶ πάνθειον τελετὴν Σατύροις ἅμα πᾶσι
θηροτύποις, εὔασμα διδοὺς Βάκχοιο ἄνακτος,
σὺν Βάκχαις ληναῖα τελεσφόρα σεμνὰ προπέμπων,
ὄργια νυκτιφαῆ τελεταῖς ἁγίαις ἀναφαίνων,
εὐάζων, φιλόθυρσε, γαληνιόων θιάσοισιν.

LV. *ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.*

Οὐρανίη, πολύυμνε, φιλομμειδὴς Ἀφροδίτη,
ποντογενές, γενέτειρα θεά, φιλοπάννυχε, σεμνή,

LIII. 2 *εὐπλοκάμοις* codd., corr. Stephanus. — 3 *Φερσεφόνης* Abel] *περσεφόνης.* — 5 *ἐγείρῃς* Hermann] *ἐγείροις.* — 6 *τρέπεαι* Mitscherlich] *τρέπεται.* — 7 *χρόνους* codd. — 10 *εὐιεροῖς* codd.

LXIV. 1 *μευ* Hermann] *μου.* — *τροφός* Abel] *τροφέ.* — 4 *ἁγνοτελής* (sic) Casaubonus] *ἁγνοτερής.* — *θίασ' εὐνομίου* codd. — 5 ***φιλάγρυπνε νεάζων οἷσι σιληνοῖς*** codd., corr. Dorville. — 6 *Βάκχαις* Dinner] ***βάκχοις.*** — *κισσοφόροισι* Hermann] *κιττοφόροισι.* — 8 *Βάκχοιο* Hermann] ***βακχεῖον.***

LV. 1 *οὐρανίη* Hermann] *οὐρανία.* — 2 *ποντογενές* Abel] ***ποντογενής.***

νυκτερίη, ζεύκτειρα, δολοπλόκε, μῆτερ ἀνάγκης·
πάντα γὰρ ἐκ σέθεν ἐστίν, ὑπεζεύξω δέ τε κόσμον
καὶ κρατέεις τρισσῶν μοιρῶν, γεννᾷς δὲ τὰ πάντα,
ὅσσα τ᾽ ἐν οὐρανῷ ἐστι καὶ ἐν γαίῃ πολυκάρπῳ
ἐν πόντου τε βυθῷ, σεμνὴ Βάκχοιο πάρεδρε,
τερπομένη θαλίῃσι, γαμοστόλε, μῆτερ ἐρώτων,
πειθοῖ λεκτροχαρές, κρυφίη, χαριδῶτι ἄνασσα,
φαινομένη, ἀφανής, ἐρασιπλόκαμ᾽, εὐπατέρεια,
νυμφιδίη, σύνδαιτι, θεῶν σκηπτοῦχε, λυκείη,
γεννοδότειρα, φίλανδρε, ποθεινοτάτη, βιοδῶτι,
ἐνζεύξασα βροτοὺς ἀχαλινώτοισιν ἀνάγκαις
καὶ θηρῶν πολὺ φῦλον ἐρωμανέων ὑπὸ φίλτρων·
ἔρχεο, Κυπρογενὲς θεῖον γένος, εἴτ᾽ ἐν᾽ Ὀλύμπῳ
ἐσσί, θεὰ βασίλεια, καλῷ γήθουσα προσώπῳ,
εἴτε καὶ εὐλιβάνου Συρίης ἕδος ἀμφιπολεύεις,
εἴτε σύ γ᾽ ἐν πεδίοισι σὺν ἅρμασι χρυσεοτεύκτοις
Αἰγύπτου κατέχεις ἱερῆς γονιμώδεα λουτρά,
ἢ καὶ κυκνείοισιν ὄχοις ἐπὶ πόντιον οἶδμα
ἐρχομένη χαίρεις κητῶν κυκλίῃσι χορείαις,
ἢ νύμφαις τέρπῃ καλυκώπισιν ἐν χθονὶ Δίῃ,
θυιὰς ἐπ᾽ αἰγιαλοῖς ψαμαθώδεσιν ἅλματι κούφῳ·
εἴτ᾽ ἐν Κύπρῳ, ἄνασσα, τροφῷ σέο, ἔνθα καλαί σε
παρθένοι ἄδμηται νύμφαι τ᾽ ἀνὰ πάντ᾽ ἐνιαυτὸν
ὑμνοῦσιν, σέ, μάκαιρα, καὶ ἄμβροτον ἁγνὸν Ἄδωνιν.

---

3 *νυκτερίη* Hermann] *νυκτερία.* — 4 *ὑπεζεύξαο δὲ κόσμον* codd., corr. Hermann. — 7 *ἐν πόντῳ τε βυθῷ τε* codd., corr. Hermann. — 8 *θαλίῃσι* Hermann] *θαλίαισι.* — 9 *λεκτροχαρές* Abel] *λεκτροχαρής.* — *κρυφίη* Hermann] *κρυφία.* — 10 *τ᾽* ante *ἀφανής* delevit Abel. — *ἐρασιπλόκαμ᾽* Abel] *ἐρατοπλόκαμ᾽.* — 11 *νυμφιδίη* Hermann] *νυμφιδία.* — *σύνδαιτι* Heringa] *σὺν δαιτί.* — *λυκείη* Abel] *λύκαινα.* — 13 *ἐνζεύξασα* Hermann] *ἣ ζεύξασα.* — 14 *ἐρωτομανῶν ἀπό* codd., corr. Hermann. — 16 *ἐσσί* Hermann] *εἶ σύ.* — 20 *κυκνείοισιν* Wiel] *κυανέοις.* — *ὄχοις* Hermann] *ὄχθοις.* — 21 *ἐρχομένη* Hermann] *τερπομένη.* — *κητῶν* Wiel] *θνητῶν.* — *κυκλίῃσι* Hermann] *κυκλίαισι.* — 22 *καλυκώπισιν* Wiel] *κυανώπισιν.* — 23 *θυιάς* Hermann] *θῖνας.* — *ψαμαθώδεσιν* Abel] *ψαμμώδεσιν.* — *ἅρματι* codd. — 25 ἄδμηται Abel] ἀδμῆται.

ἐλθέ, μάκαιρα θεά, μάλ᾽ ἐπήρατον εἶδος ἔχουσα·
ψυχῇ γάρ σε καλῶ σεμνῇ ἁγίοισι λόγοισιν.

LVI. *ΑΔΩΝΙΔΟΣ*, *θυμίαμα ἀρώματα.*

Κλῦθί μευ εὐχομένου, πολυώνυμε, δαῖμον ἄριστε,
ἁβροκόμη, φιλέρημε, βρύων ὥρῃσι ποθειναῖς,
Εὐβουλεῦ, πολύμορφε, τροφὸς πάντων ἀρίδηλε,
κούρη καὶ κόρε, πασιφαὲς θάλος αἰέν, Ἄδωνι,
σβεννύμενος λάμπων τε καλαῖς ἐνὶ κυκλάσιν ὥραις,
αὐξιθαλές, δίκερως, πολυήρατε, δακρυότιμε,
ἀγλαόμορφε, κυνηγεσίαις χαίρων, βαθυχαῖτα,
ἱμερόνους, Κύπριδος γλυκερὸν θάλος, ἔρνος ἔρωτος,
Φερσεφόνης ἐρασιπλοκάμου λέκτροισι λοχευθείς,
ὃς ποτὲ μὲν ναίεις ὑπὸ Τάρταρον ἠερόεντα,
ἠδὲ πάλιν πρὸς Ὄλυμπον ἄγεις δέμας ὡριόκαρπον·
ἐλθέ, μάκαρ, μύστῃσι φέρων καρποὺς ἀπὸ γαίης.

LVII. *ΕΡΜΟΥ ΧΘΟΝΙΟΥ*, *θυμίαμα στύρακα.*

Κωκυτοῦ ναίων ἀνυπόστροφον οἶμον ἀνάγκης,
ὃς ψυχὰς θνητῶν κατάγεις ὑπὸ νέρτερα γαίης,
Ἑρμῆ, βακχεχόροιο Διωνύσοιο γένεθλον
καὶ Παφίης κούρης, ἑλικοβλεφάρου Ἀφροδίτης,
ὃς παρὰ Φερσεφόνης ἱερὸν δόμον ἀμφιπολεύεις,
αἰνομόροις ψυχαῖς πομπὸς κατὰ γαῖαν ὑπάρχων,
ἃς κατάγεις, ὁπότ᾽ ἂν μοίρης χρόνος εἰσαφίκηται,
εὐιέρῳ ῥάβδῳ θέλγων ὑπνοδώτιδι πάντα,
καὶ πάλιν ὑπνώοντας ἐγείρεις· σοὶ γὰρ ἔδωκε
τιμὴν Φερσεφόνεια θεὰ κατὰ Τάρταρον εὐρὺν

LVI. 1 *μευ* Hermann] *μου.* — 2 *ὥραισι* (sic) Ruhnken] *ᾠδαῖσι.* — 3 *Εὐβουλεῦ* Hermann] *εὔβουλε.* — *τροφός* Abel] *τροφή.* — 4 *κόρε*] *κοῦρε* codd. — *πασιφαές* Wiel] *σὺ πᾶσιν.* — 5 *σβεννύμενε* codd. — *ἐνί* Wiel] *ἐν.* — 6 *αὐξιθαλές* Abel] *αὐξιθαλής.* — 7 *κυνηγεσίαις* Dinner] *κυναγεσίοις.* — 12 *μύστῃσι* Hermann] *μύσταισι.*

LVII. 3 *βακχεχόροιο* Casaubonus] *βάκχε χοροῖο.* — 5 *Φερσεφόνης* Abel] *περσεφόνης.* — 7 *ὁπότ᾽ ἂν* Abel] *ὁπόταν.* — 8 *ὑπνοδώτιρα* codd.

ψυχαῖς αἰνομόροις θνητῶν ὁδὸν ἡγεμονεύειν.
ἀλλά, μάκαρ, πέμποις μύσταις τέλος ἐσθλὸν ἐπ' ἔργοις.

LVIII. ΕΡΩΤΟΣ, θυμίαμα ἀρώματα.

Κικλήσκω μέγαν, ἁγνόν, ἐράσμιον, ἡδὺν Ἔρωτα,
τοξαλκῆ, πτερόεντα, πυρίβρομον, εὔδρομον ὁρμῇ,
συμπαίζοντα θεοῖς ἠδὲ θνητοῖς ἀνθρώποις,
εὐπάλαμον, διφυῆ, πάντων κληῖδας ἔχοντα,
αἰθέρος οὐρανίου, πόντου, χθονός, ἠδ' ὅσα θνητοῖς
πνεύματα παντογένεθλα Ῥέα βόσκει χλοόκαρπος,
ἠδ' ὅσα Τάρταρος εὐρὺς ἔχει πόντος θ' ἁλίδουπος·
μοῦνος γὰρ τούτων πάντων οἴηκα κρατύνεις.
ἀλλά, μάκαρ, καθαραῖς γνώμαις μύστῃσι συνέρχου,
φαύλους δ' ἐκτοπίους θ' ὁρμὰς ἀπὸ τῶνδ' ἀπόπεμπε.

LIX. ΜΟΙΡΩΝ, θυμίαμα ἀρώματα.

Μοῖραι ἀπειρέσιοι, Νυκτὸς φίλα τέκνα μελαίνης,
κλῦτέ μευ εὐχομένου, πολυώνυμοι, αἵτ' ἐπὶ λίμνης
ὀρφναίης, ἵνα λυγρὸν ὕδωρ νυχίης ὑπὸ θέρμης
ῥήγνυται ἐν σκιερῷ λιπαροῦ μυχῷ εὐλίθου ἄντρου,
ναίουσαι πεπότησθε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
ἔνθεν ἐπὶ βρότεον δόκιμον γένος ἐλπίδι κούφῃ
στείχετε πορφυρέῃσι καλυψάμεναι ὀθόνῃσι
μορσίμῳ ἐν πεδίῳ, ὅθι πάγγεον ἅρμα διώκει
δόξα δίκης παρὰ τέρμα καὶ ἐλπίδος ἠδὲ μεριμνῶν
καὶ νόμου ὠγυγίου καὶ ἀπείρονος εὐνόμου ἀρχῆς·
Μοῖρα γὰρ ἐν βιότῳ καθορᾷ μόνη, οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,
καὶ Διὸς ὄμμα τέλειον· ἐπεί γ' ὅσα γίγνεται ἡμῖν,

---

11 *αἰνομόροις* Abel] *ἀενάοις*.

LVIII. 2 *τοξουλκῆ*? — *πυρίβρομον* Hermann] *πυρίδρομον*. — 6 *Ῥέα* Wiel] *θεά*. — 9 *μύστῃσι* Hermann] *μύσταισι*.

LIX. 2 *μευ* Abel] *μου*. — 3 *ὀρφναίης* Wiel] *οὐρανίας*. — *λυγρόν* Wiel] *λευκόν*. — *νυχίης* Abel] *νυχίας*. — 4 *λιπαρῷ μυχῷ εὐλίθῳ ἄντρῳ* codd., corr. Hermann. — 6 *κούφῃ* Hermann] *κοῦφον*. — 7 *πορφυρέῃσι* Hermann] *πορφυρέαισι*. —

Μοῖρά τε καὶ Διὸς οἶδε νόος διὰ παντὸς ἅπαντα.
ἀλλά μοι, ἠέριαι, μαλακόφρονες, ἠπιόθυμοι,
Ἄτροπε καὶ Λάχεσι, Κλωθώ, μόλετ᾽, εὐπατέρειαι,
νυκτέριαι, ἀφανεῖς, ἀμετάτροποι, αἰὲν ἀτειρεῖς,
παντοδότειραι, ἀφαιρέτιδες θνητοῖσιν ἀνάγκης·
Μοῖραι, ἀκούσατ᾽ ἐμῶν ὁσίων λοιβῶν τε καὶ εὐχῶν,
ἐρχόμεναι μύσταις λαθικηδέες εὔφρονι βουλῇ.

LX. ΧΑΡΙΤΩΝ, θυμίαμα στύρακα.

Κλῦτέ μευ, ὦ Χάριτες μεγαλώνυμοι, ἀγλαότιμοι,
θυγατέρες Ζηνός τε καὶ Εὐρυνόμης βαθυκόλπου,
Ἀγλαΐη Θαλίη τε καὶ Εὐφροσύνη πολύολβε,
χαρμοσύνης γενέτειραι, ἐράσμιαι, εὔφρονες, ἁγναί,
αἰολόμορφοι, ἀειθαλέες, θνητοῖσι ποθειναί·
οὔτε γὰρ ἠελίου ταχιναὶ φλόγες οὔτε σελήνης
καὶ σοφίης ἀρετῆς τε καὶ ἐργασίμου θρασύτητος
εὐχέρει᾽ οὔτε βίου λιπαρῆς περικαλλέος ἥβης
ὑμῶν χωρὶς ἐγείρει ἐυφροσύνας βιότοιο·
εὐκταῖαι, κυκλάδες, καλυκώπιδες, ἱμερόεσσαι·
ἔλθοιτ᾽ ὀλβοδότειραι, ἀεὶ μύστῃσι προσηνεῖς.

LXI. ΝΕΜΕΣΕΩΣ ΥΜΝΟΣ.

Ὦ Νέμεσι, κλῄζω σε, θεά, βασίλεια μεγίστη,
πανδερκής, ἐσορῶσα βίον θνητῶν πολυφύλων·
ἀιδίη, πολύσεμνε, μόνη χαίρουσα δικαίοις,
ἀλλ᾽ ἔχθουσα λόγον πολυποίκιλον, ἄστατον αἰεί,

---

14 διὰ παντός Abel] διαπαντός. — 15 ἀέριοι (sic) Ruhnken] νυκτέριοι. — 17 νυκτέριοι (sic) Ruhnken] ἀέριοι. — 18 ἀνάγκης Hermann] ἀνάγκη. — 20 λαθικηδέες Abel] λυσιπήμονες. — Post v. 20 sequitur in codd. hic versus Μοιράων τέλος ἔλλαβ᾽ ἀοιδή, ἣν ὕφαν᾽ Ὀρφεύς.

LX. 1 μευ Abel] μοι. — 2 Εὐρυνόμης Schrader] εὐνομίης. — 3 Θαλίη τε Hermann] τε θάλεια. — 4 εὔφρονες Slothouwer] εὐφροσύν᾽. — Vss. 6–9 ex hymno LXIX. huc transposuit Ruhnken. — 7 σοφίης Hermann] σοφίας. — 8 εὐχέρει᾽ Wiel] εὔχαρι. — λιπαρῆς Hermann] λιπαρᾶς. — 11 μύστῃσι Hermann] μύσταισι.

LXI. 2 πολυθρύ(λ)λων vel πολυ . . . . codd. — 3 ἀιδίη Hermann] ἀιδία. — 4 ἀλλ᾽ ἔχθουσα Wiel] ἀλλάσσουσα.

ἣν πάντες δεδίασι βροτοὶ ζυγὸν αὐχένι θέντες·
σοὶ γὰρ ἀεὶ γνώμη πάντων μέλει, οὐδέ σε λήθει
ψυχὴ ὑπερφρονέουσα λόγων ἀδιακρίτῳ ὁρμῇ·
πάντ᾽ ἐσορᾷς καὶ πάντ᾽ ἐπακούεις, πάντα βραβεύεις·
ἐν σοὶ δ᾽ εἰσὶ δίκαι θνητῶν, πανυπέρτατε δαῖμον.
ἐλθέ, μάκαιρ᾽, ἁγνή, μύσταις ἐπιτάρροθος αἰεί·
δὸς δ᾽ ἀγαθὴν διάνοιαν ἔχειν, παύουσα πανεχθεῖς
γνώμας οὐχ ὁσίας, πανυπέρφρονας, ἀλλοπροσάλλας.

LXII. ΔΙΚΗΣ, θυμίαμα λίβανον.

Ὄμμα Δίκης μέλπω πανδερκέος, ἀγλαομόρφου,
ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει
οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων,
τοῖς ἀδίκοις τιμωρὸς ἐπιβρίθουσα δικαίη,
ἐξ ἰσότητος ἀληθείῃ συνάγουσ᾽ ἀνόμοια·
πάντα γάρ, ὅσσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται,
δύσκριτα, βουλομένοις τὸ πλέον βουλαῖς ἀδίκοισι,
μούνη ἐπεμβαίνουσα δίκην ἀδίκοις ἐπεγείρεις·
ἐχθρὴ τῶν ἀδίκων, εὔφρων δὲ σύνεσσι δικαίοις.
ἀλλά, θεά, μόλ᾽ ἔπι γνώμαις ἐσθλῇσι δικαίη,
ὡς ἂν ἀεὶ βιοτῆς τὸ πεπρωμένον ἦμαρ ἐπέλθῃ.

LXIII. ΔΙΚΑΙΟΣΥΝΗΣ, θυμίαμα λίβανον.

Ὦ θνητοῖσι δικαιοτάτη, πολύολβε, ποθεινή,
ἐξ ἰσότητος ἀεὶ θνητοῖς χαίρουσα δικαίοις,
πάντιμ᾽, ὀλβιόμοιρε, Δικαιοσύνη μεγαλαυχές,
ἣ καθαραῖς γνώμαις αἰεὶ τὰ δέοντα βραβεύεις,
ἄθραυστος τὸ συνειδός· ἀεὶ θραύεις γὰρ ἅπαντας,

---

5 *δεδίασι* Pierson] *δεδάασι.* — 6 *σοί* Hermann] *σή.* — *μέλει* Hermann] *πέλει.* — 8 *ἐπακούεις καὶ πάντα* codd. — 12 *ἀλλοπροσάλλας* Hermann] *ἀλλιτροτάτας.*

LXII. 4 *δικαίη* Hermann] *δίκαια.* — 5 *ἀληθείῃ* Hermann] *ἀληθείας.* — *ἀνόμοια* Abel] *ἀνομοῖα.* — 9 *ἐχθρή* Hermann] *ἐχθρά.* — *εὔφρων* codd. — 10 *ἐσθλαῖσι δικαία* (-*αῖα*) codd., corr. Hermann. — 11 *ἐπέλθοι* codd.

LXIII. 3 *πάντιμ* Dinner] *πάντιμε.* — *μεγαλαυχὲς* Abel] *μεγαλαυχής.*

ὅσσοι μή τι σὸν ἦλθον ὑπὸ ζυγόν, ἀλλοπρόσαλλοι,
πλάστιγξι βριαρῇσι παρεγκλίναντες ἀπλήστως·
ἀστασίαστε, φίλη πάντων, φιλόκωμ', ἐρατεινή,
εἰρήνη χαίρουσα, βίον ζηλοῦσα βέβαιον·
αἰεὶ γὰρ τὸ πλέον στυγέεις, ἰσότητι δὲ χαίρεις·
ἐν σοὶ γὰρ σοφίη ἀρετῆς τέλος ἐσθλὸν ἱκάνει.
κλῦθι, θεά, κακίην θνητῶν θραύουσα δικαίως,
ὡς ἂν ἰσορροπίῃσιν ἀεὶ βίος ἐσθλὸς ὁδεύῃ
θνητῶν ἀνθρώπων, οἳ ἀρούρης καρπὸν ἔδουσι,
καὶ ζῴων πάντων, ὁπόσ' ἐν κόλποισι τιθηνεῖ
γαῖα θεὰ μήτηρ καὶ πόντιος εἰνάλιος Ζεύς.

LXIV. ΥΜΝΟΣ ΝΟΜΟΥ.

Ἀθανάτων καλέω καὶ θνητῶν ἁγνὸν ἄνακτα,
οὐράνιον Νόμον, ἀστροθέτην, σφρηγῖδα δικαίην
πόντου τ' εἰναλίου καὶ γῆς, φύσεως τὸ βέβαιον
ἀκλινὲς ἀστασίαστον ἀεὶ τηροῦντα νόμοισιν,
οἷσιν ἄνωθε φέρων μέγαν οὐρανὸν αὐτὸς ὁδεύει,
καὶ φθόνον οὐτιδανὸν ῥοίζου τρόπον ἐκτὸς ἐλαύνει·
ὃς καὶ θνητοῖσιν βιοτῆς τέλος ἐσθλὸν ἐγείρει·
αὐτὸς γὰρ μοῦνος ζῴων οἴηκα κρατύνει
γνώμαις ὀρθοτάταις συνεών, ἀδιάστροφος αἰεί,
ὠγύγιος, πολύπειρος, ἀβλάπτως πᾶσι συνοικῶν
τοῖς νομίμοις, ἀνόμοις δὲ φέρων κακότητα βαρεῖαν.
ἀλλά, μάκαρ, πάντιμε, φερόλβιε, πᾶσι ποθεινέ,
εὐμενὲς ἦτορ ἔχων μνήμην σέο πέμπε, φέριστε.

LXV. ΑΡΕΟΣ, θυμίαμα λίβανον.

Ἄρρηκτ', ὀβριμόθυμε, μεγασθενές, ὄβριμε δαῖμον,
ὁπλοχαρής, ἀδάμαστε, βροτοκτόνε, τειχεσιπλῆτα,

---

6 ἀλλοπρόσαλλοι Hermann] ἀλλ' ὑπὲρ αὐτοῦ. — 7 βριαρῇσι Hermann] βριαραῖσι. — 8 ἀστασίατε codd. — 11 σοφίη Hermann] σοφίης. — ἐσθλόν Lennep] ὅλλον. — 13 ἰσορροπίῃσιν Hermann] ἰσορροπίαισιν. — ὁδεύῃ Abel] ὁδεύοι.

LXIV. 2 σφρηγῖδα δικαίην Hermann] σφραγῖδα δικαίαν. — 4 ἀκλινὲς Stephanus] ἀκλινῆ. — 6 οὐτιδανόν Wiel] οὐ δίκαιον. — ἐκτός Wiel] αὐτός.

LXV. 1 ὀμβριμόθυμε codd. — ὄβριμε Abel] ὄμβριμε.

Ἄρες ἄναξ, ὁπλόδουπε, φόνοις πεπαλαγμένος αἰεί,
αἵματί τ' ἀνδροφόνῳ χαίρων, πολεμόκλονε, φρικτέ,
ὃς ποθέεις ξίφεσίν τε καὶ ἔγχεσι δῆριν ἄμουσον·
στῆσον ἔριν λυσσῶσαν, ἄνες πόνον ἀλγεσίθυμον,
ἐς δὲ πόθον νεῦσον Κύπριδος κώμους τε Λυαίου
ἀλλάξας ἀλκὴν ὅπλων εἰς ἔργα τὰ Δηοῦς.

LXVI. ΗΦΑΙΣΤΟΥ, θυμίαμα λιβανομάνναν.

Ἥφαιστ' ὀβριμόθυμε, μεγασθενές, ἀκάματον πῦρ,
λαμπόμενε φλογεραῖς αὐγαῖς, φαεσίμβροτε δαῖμον,
φωσφόρε, καρτερόχειρ, αἰώνιε, τεχνοδίαιτε,
ἐργαστήρ, κόσμοιο μέρος, στοιχεῖον ἀμεμφές,
παμφάγε, πανδαμάτορ, παννπέρτατε, παντοδίαιτε,
αἰθήρ, ἥλιος, ἄστρα, σελήνη, φῶς ἀμίαντον·
ταῦτα γὰρ Ἡφαίστοιο μέλη θνητοῖσι προφαίνει.
πάντα δὲ οἶκον ἔχεις, πᾶσαν πόλιν, ἔθνεα πάντα,
σώματά τε θνητῶν οἰκεῖς, πολύολβε, κραταιέ.
κλῦθι, μάκαρ, κλήζω σε πρὸς εὐιέρους ἐπιλοιβάς,
αἰὲν ὅπως χαίρουσιν ἐπ' ἔργοις ἥμερος ἔλθῃς.
παῦσον λυσσῶσαν μανίην πυρὸς ἀκαμάτοιο
καῦσιν ἔχων φύσεως ἐν σώμασιν ἡμετέροισιν.

LXVII. ΑΣΚΛΗΠΙΟΥ, θυμίαμα μάνναν.

Ἰητὴρ πάντων, Ἀσκληπιέ, δέσποτα Παιάν,
θέλγων ἀνθρώπων πολυαλγέα πήματα νούσων,
ἠπιόδωρε, κραταιέ, μόλοις κατάγων ὑγίειαν
καὶ παύων νούσους χαλεπὰς θανάτοιό τε κῆρας,
αὐξιθαλὲς κοῦρος καὶ ἀλεξίκακ', ὀλβιόμοιρε,
Φοίβου Ἀπόλλωνος κρατερὸν θάλος, ἀγλαότιμον,

---

3 ὁπλόδουπε Pierson] δολόδουπε. — 4 τ' add. Hermann. — 7 ἐς Abel] εἰς. — Λυαίου Lennep] λυαίους.

LXVI. 1 ὀμβριμόθυμε codd. — 2 φλογεραῖς Abel] φλογίαις. — αὐγαῖς Hermann] αὔραις. — 5 πανδαμάτορ Abel] πανδαμάτωρ. — 10 σε add. Lennep. — 11 αἰέν Hermann] αἰεί. — ἔλθῃς Hermann] ἔλθοις. — 12 μανίην Hermann] μανίαν.

LXVII. 3 κατάγων καὶ ὑγείαν codd. — 5 αὐξιθαλὲς κοῦρος καὶ Abel] αὐξιθαλὴς κοῦρε.

ἐχθρὲ νόσων, Ὑγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ,
ἐλθέ, μάκαρ, σωτήρ, βιοτῆς τέλος ἐσθλὸν ὀπάζων.

LXVIII. ΥΓΕΙΑΣ, θυμίαμα μάνναν.

Ἱμερόεσσ', ἐρατή, πολυθάλμιε, παμβασίλεια,
κλῦθι, μάκαιρ' Ὑγίεια, φερόλβιε, μῆτερ ἁπάντων·
ἐκ σέο γὰρ νοῦσοι μὲν ἀποφθινύθουσι βροτοῖσι,
πᾶς δὲ δόμος θάλλει πολυγηθὴς εἵνεκα σεῖο,
καὶ τέχναι βρίθουσι· ποθεῖ δέ σε κόσμος, ἄνασσα,
μοῦνος δὲ στυγέει σ' Ἀίδης ψυχοφθόρος αἰεί,
αἰθαλής, εὐκταιοτάτη, θνητῶν ἀνάπαυμα·
σοῦ γὰρ ἄτερ πάντ' ἐστὶν ἀνωφελέ' ἀνθρώποισιν·
οὔτε γὰρ ὀλβοδότης Πλοῦτος γλυκερὸς θαλίῃσιν,
οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίγνεται ἀνήρ·
πάντων γὰρ κρατέεις μούνη καὶ πᾶσιν ἀνάσσεις.
ἀλλά, θεά, μόλε μυστιπόλοις ἐπιτάρροθος αἰεὶ
ῥυομένη νούσων χαλεπῶν κακόποτμον ἀνίην.

LXIX. ΕΡΙΝΝΥΩΝ, θυμίαμα στύρακα καὶ μάνναν.

Κλῦτε, θεαὶ πάντιμοι, ἐρίβρομοι, εὐάστειραι,
Τισιφόνη τε καὶ Ἀλληκτὼ καὶ δῖα Μέγαιρα·
νυκτέριαι, μύχιαι, ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι
ἄντρῳ ἐν ἠερόεντι παρὰ Στυγὸς ἱερὸν ὕδωρ,
οὐχ ὁσίαις βουλῇσι βροτῶν πεποτημέναι αἰεὶ
λυσσήρεις, ἀγέρωχοι, ἐπευάζουσαι ἀνάγκαις,
θηρόπεπλοι, τιμωροί, ἐρισθενέες, βαρυαλγεῖς,
Ἀίδεω χθόνιαι, φοβεραὶ κόραι, αἰολόμορφοι,
ἠέριαι, ἀφανεῖς, ὠκύδρομοι ὥστε νόημα,
αἵτ' αἰεὶ θνητῶν πάντων ἐπ' ἀπείρονα φῦλα
ὄμμα Δίκης ἐφορᾶτε, δικασπόλοι αἰὲν ἐοῦσαι.
ἀλλά, θεαὶ Μοῖραι, ὀφιοπλόκαμοι, πολύμορφοι,
πρηΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν.

LXVIII. 7 ἀειθαλής (ἀειθαλλής) codd. — 8 ἀνωφελέ' Abel] ἀνωφελῆ. — 9 γίγνεται Hermann] γίνεται.

LXIX. 2 μεγαῖρα codd. — 5 βουλῇσι Hermann] βουλαῖσι. — Post v. 9 ante Ruhnkenium legebantur versus quos ille in h. LX. transtulit. — 13 πρηΰνοον Hermann] πραΰνοον.

LXX. *ΕΥΜΕΝΙΔΩΝ*, *θυμίαμα ἀρώματα.*

Κλῦτέ μευ, Εὐμενίδες μεγαλώνυμοι, εὔφρονι βουλῇ,
ἁγναὶ θυγατέρες μεγάλοιο Διὸς χθονίοιο
Φερσεφόνης τ᾽, ἐρατῆς κούρης καλλιπλοκάμοιο,
αἳ πάντων καθορᾶτε βίον θνητῶν ἀσεβούντων,
τῶν ἀδίκων τιμωροί, ἐφεστηκυῖαι ἀνάγκῃ,
κυανόχρωτοι ἄνασσαι, ἀπαστράπτουσαι ἀπ᾽ ὄσσων
δεινὴν ἀνταυγῆ φάεος σαρκοφθόρον αἴγλην·
ἀίδιοι, φοβερῶπες, ἀπόστροφοι, αὐτοκράτειραι,
λυσιμελεῖς οἴστρῳ, βλοσυραί, νύχιαι, πολύποτμοι,
νυκτέριαι κοῦραι, ὀφιοπλόκαμοι, φοβερῶπες·
ὑμᾶς κικλήσκω γνώμαις ὁσίῃσι πελάζειν.

LXXI. *ΜΕΙΛΙΝΟΗΣ*, *θυμίαμα ἀρώματα.*

Μειλινόην καλέω, νύμφην χθονίην, κροκόπεπλον,
ἣν παρὰ Κωκυτοῦ προχοαῖς ἐλοχεύσατο σεμνὴ
Φερσεφόνη λέκτροις ἱεροῖς Ζηνὸς Κρονίοιο,
ᾗ ψευσθεὶς Πλούτων᾽ ἐμίγη δολίαις ἀπάτῃσι,
θυμῷ Φερσεφόνης δὲ δισώματον ἔσπασε χροιήν,
ἣ θνητοὺς μαίνει φαντάσμασιν ἠερίοισιν,
ἀλλοκότοις ἰδέαις μορφῆς τύπον ἐκπροφανοῦσα,
ἄλλοτε μὲν προφανής, ποτὲ δὲ σκοτόεσσα, νυχαυγής,
ἀνταίαις ἐφόδοισι κατὰ ζοφοειδέα νύκτα.
ἀλλά, θεά, λίτομαί σε, καταχθονίων βασίλεια,
ψυχῆς ἐκπέμποις οἶστρον ἐπὶ τέρματα γαίης,
εὐμενὲς εὐίερον μύσταις φαίνουσα πρόσωπον.

LXXII. *ΤΥΧΗΣ*, *θυμίαμα λίβανον.*

Δεῦρο, Τύχη· καλέω σ᾽, ἀγαθὴν κράντειραν ἐπ᾽ εὐχαῖς,
μειλιχίην, ἐνοδῖτιν, ἐπ᾽ εὐόλβοις κτεάτεσσιν,

LXX. 4 *ἢ πάντων καθορᾷ βίοτον* codd., corr. Hermann. — 9 *βλοσυραί* Lennep et *νύχιαι* Hermann; codd. *βλοσυροννύχιαι.* — 11 *ὁσίῃσι* Hermann] *ὁσίαισι.*

LXXI. In inscriptione *Μειλινόης* Lobeck pro *μηλινόης.* — 1 *Μειλινόην* Lobeck] *μηλινόην.* — *χθονίην* Hermann] *χθονίαν.* — 4 *Πλούτων᾽* Gesner] *Πλούτων.* — *ἀπάτῃσιν* (sic) Hermann] *ἀπάταισι.* — 7 *ἐκπροφανοῦς* (*ἐκπροφαι…*) codd. — 11 *ἐκπέμποις* Hermann] *ἐκπέμπειν.* — 12 *εὐιέροις?*

LXXII. 2 *μειλιχίην* Hermann] *μειλιχίαν.*

Ἄρτεμιν ἡγεμόνην, μεγαλώνυμον, Εὐβουλῆος
αἵματι γεννηθεῖσαν, ἀπρόσμαχον εἶδος ἔχουσαν,
τυμβιδίην, πολύπλαγκτον, ἀοίδιμον ἀνθρώποισιν.
ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστιν·
οἷς μὲν γὰρ τεύχεις κτεάνων πλῆθος πολύολβον,
οἷς δὲ κακὴν πενίην θυμῷ χόλον ὁρμαίνουσα.
ἀλλά, θεά, λίτομαί σε μολεῖν βίῳ εὐμενέουσαν,
ὄλβοισι πλήθουσαν ἐπ' εὐόλβοις κτεάτεσσιν.

LXXIII. *ΔΑΙΜΟΝΟΣ*, θυμίαμα λίβανον.

*Δαίμονα κικλήσκω πελάσαι ἡγήτορα φρικτόν,
μειλίχιον Δία, παγγενέτην, βιοδώτορα θνητῶν,
Ζῆνα μέγαν, πολύπλαγκτον, ἀλάστορα, παμβασιλῆα,
πλουτοδότην, ὁπότ' ἄν γε βρυάζων οἶκον ἐσέλθῃ,
ἔμπαλι δὲ ψύχοντα βίον θνητῶν πολυμόχθων·
ἐν σοὶ γὰρ κλῆδες λύπης τε χαρᾶς τ' ὀχέονται.
τοιγάρ τοι, μάκαρ, ἁγνέ, πολύστονα κήδε' ἐλάσσας,
ὅσσα βιοφθορίην πέμπει κατὰ γαῖαν ἅπασαν,
εὔδοξον βιοτῆς γλυκερὸν τέλος ἐσθλὸν ὀπάζοις.*

LXXIV. *ΛΕΥΚΟΘΕΑΣ*, θυμίαμα ἀρώματα.

*Λευκοθέην καλέω Καδμηίδα, δαίμονα σεμνήν,
εὐδύνατον, θρέπτειραν ἐυστεφάνου Διονύσου.
κλῦθι, θεά, πόντοιο βαθυστέρνου μεδέουσα,
κύμασι τερπομένη, θνητῶν σώτειρα μεγίστη·
ἐν σοὶ γὰρ νηῶν πελαγοδρόμος ἄστατος ὁρμή,
μούνη δὲ θνητῶν οἰκτρὸν μόρον εἰν ἁλὶ λύεις,
οἷς ἂν ἐφορμαίνουσα φίλη σωτήριος ἔλθῃς.
ἀλλά, θεὰ δέσποινα, μόλοις ἐπαρωγὸς ἐοῦσα*

---

4 *εἶδος* Abel] *εὖχος*. — 5 *τυμβιδίην* Hermann] *τυμβιδίαν*.

LXXIII. 1 *πελάσαι ἡγήτορα* Wiel] *μεγαλανηγήτορα*. — 4 *ὁπότ' ἄν* Abel] *ὁπόταν*. — 6 *λύπης τε χαρᾶς κληῖδες ὀχοῦνται* codd., corr. Wiel. — 7 *πολύστονα* Slothouwer] *πολύσπορα*. — 9 *εὔδοξον* Hermann] *ἔνδοξον*.

LXXIV. 1 *Λευκοθέην* Hermann] *λευκοθέαν*. — 7 *ἔλθῃς* Hermann] *ἔλθοις*.

νηυσὶν ἐπ᾽ εὐσέλμοις σωτήριος εὔφρονι βουλῇ,
μύσταις ἐν πόντῳ ναυσίδρομον οὖρον ἄγουσα.

LXXV. *ΠΑΛΑΙΜΟΝΟΣ*, *θυμίαμα μάνναν.*

Σύντροφε βακχεχόροιο Διωνύσου πολυγηθοῦς,
ὃς ναίεις πόντοιο βυθοὺς ἁλικύμονας, ἁγνούς,
κικλήσκω σε, Παλαῖμον, ἐπ᾽ εὐιέροις τελετῇσιν
ἐλθεῖν εὐμενέοντα, νέῳ γήθοντα προσώπῳ,
καὶ σώζειν μύστας κατά τε χθόνα καὶ κατὰ πόντον·
ποντοπλάνοις γὰρ ἀεὶ νηυσὶν χειμῶνος ἐναργὴς
φαινομένου σωτὴρ μοῦνος θνητοῖς ἀναφαίνῃ,
ῥυόμενος μῆνιν χαλεπὴν κατὰ πόντιον οἶδμα.

LXXVI. *ΜΟΥΣΩΝ*, *θυμίαμα λίβανον.*

Μνημοσύνης καὶ Ζηνὸς ἐριγδούποιο θύγατρες,
Μοῦσαι Πιερίδες, μεγαλώνυμοι, ἀγλαόφημοι,
θνητοῖς, οἷς κε παρῆτε, ποθεινόταται, πολύμορφοι,
πάσης παιδείης ἀρετὴν γεννῶσαι ἄμεμπτον,
θρέπτειραι ψυχῆς, διανοίης ὀρθοδότειραι,
καὶ νόου εὐδυνάτοιο καθηγήτειραι ἄνασσαι,
αἳ τελετὰς θνητοῖς ἀνεδείξατε μυστιπολεύτους,
Κλειώ τ᾽ Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε
Τερψιχόρη τ᾽ Ἐρατώ τε Πολύμνιά τ᾽ Οὐρανίη τε
Καλλιόπη σὺν μητρὶ καὶ Εὐνομίῃ θεᾷ ἁγνῇ.
ἀλλὰ μόλοιτε, θεαί, μύσταις, πολυποίκιλοι, ἁγναί,
εὐκλείην ζῆλόν τ᾽ ἐρατὸν πολύυμνον ἄγουσαι.

LXXVII. *ΜΝΗΜΟΣΥΝΗΣ*, *θυμίαμα λίβανον.*

Μνημοσύνην καλέω, Ζηνὸς σύλλεκτρον, ἄνασσαν,
ἣ Μούσας τέκνωσ᾽ ἱεράς, ὁσίας, λιγυφώνους,
ἐκτὸς ἔχουσ᾽ ἀπάτης μνήμην βλαψίφρονος αἰεί,

LXXV. 3 *τελετῇσιν* Hermann] *τελεταῖσιν.* — 6 *νηυσίν* Hermann] *ναυσί.* — 7 *φαινομένου* Hermann] *φαινόμενος.*

LXXVI. 1 *θυγατέρες* codd. — 3 *κε*] *καί* codd. — 5 *διανοίης* Abel] *διανοίας.* — 6 *νόου* Hermann] *νοῦ.* — 10 *Εὐνομίῃ* Abel] *εὐδυνάτῃ.* — 12 *εὐκλείην* Abel] *εὔκλειαν.*

LXXVII. 3 *ἔχουσα* (sic) Hermann] *ἐοῦσα.* — ἀπάτης Wiel] *κακῆς.* — *μνήμην* Hermann] *μνήμης.*

πάντα νόον συνέχουσα βροτῶν ψυχῇσι σύνοικον,
εὐδύνατον κρατερὸν θνητῶν αὔξουσα λογισμόν,
ἡδυτάτη, φιλάγρυπνος ὑπομνήσκουσά τε πάντα,
ὧν ἂν ἕκαστος ἀεὶ στέρνοις γνώμην κατάθηται,
οὔτι παρεκβαίνουσ', ἐπεγείρουσα φρένα πᾶσιν.
ἀλλά, μάκαιρα θεά, μύσταις μνήμην ἐπέγειρε
εὐιέρου τελετῆς, λήθην δ' ἀπὸ τῶνδ' ἀπόπεμπε.

LXXVIII. *ΗΟΥΣ*, *θυμίαμα μάνναν.*

Κλῦθι, θεά, θνητοῖς φαεσίμβροτον ἦμαρ ἄγουσα,
Ἠοῖ λαμπροφαής, ἐρυθαινομένη κατὰ κόσμον,
ἀγγελίεια θεοῦ μεγάλου Τιτῆνος ἀγαυοῦ,
ἣ νυκτὸς ζοφόεντα κελαινόχρωτα πορείην
ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπὸ νέρτερα γαίης·
ἔργων ἡγήτειρα, βίου πρόπολε θνητοῖσιν·
ἧ χαίρει θνητῶν μερόπων γένος· οὐδέ τίς ἐστιν,
ὃς φεύγει τὴν σὴν ὄψιν καθυπέρτερον οὖσαν,
ἡνίκα τὸν γλυκὺν ὕπνον ἀπὸ βλεφάρων ἀποσείσῃς,
πᾶς δὲ βροτὸς γήθει, πᾶν ἑρπετὸν ἄλλα τε φῦλα
τετραπόδων πτηνῶν τε καὶ εἰναλίων πολυεθνῶν·
πᾶσι γὰρ ἐργάσιμον βίοτον θνητοῖσι πορίζεις.
ἀλλά, μάκαιρ', ἁγνή, μύσταις ἱερὸν φάος αὔξοις.

LXXIX. *ΘΕΜΙΔΟΣ*, *θυμίαμα λίβανον.*

Οὐρανόπαιδ' ἁγνὴν καλέω, Θέμιν εὐπατέρειαν,
Γαίης τὸ βλάστημα νέον, καλυκώπιδα κούρην,
ἣ πρώτη κατέδειξε βροτοῖς μαντήιον ἁγνὸν
Δελφικῷ ἐν κευθμῶνι θεμιστεύουσα θεοῖσι,
Πυθίῳ ἐν δαπέδῳ, ὅτε Πυθοῖ ἐμβασίλευεν·

---

4 *ψυχῇσι* Hermann] *ψυχαῖσι.* — 6 *τε* Hermann] *δέ.* — 7 *ἑκάστοις* et *κάτθηται* codd. — 10 *ἀπὸ* (*ἄπο*) *τῶν* codd.

LXXVIII. 2 *Ἠώς* codd., corr. Abel. — 3 *αγγελιῶτι?* — *θεοῦ τιτάνος ἀγαυοῦ μεγάλοιο* codd., corr. Dinner (*Τιτῆνος* Hermann scripsit pro *τιτᾶνος*). — 4 *ζοφόεντα* Hermann] *ζοφερήν τε.* — An *ζοφερήν τε κελαινόχροόν τε* scribendum? — *κελαινόχρωτα* Abel] *κελαινοχρῶτα.* — 5 *πέμποις* codd. — 12 *πᾶσι* Abel] *πάντα.*

LXXIX. 5 *ὅτε* Hermann] *ὅθι.*

ἣ καὶ Φοῖβον ἄνακτα θεμιστοσύνας ἐδίδαξε·
πάντιμ᾽, ἀγλαόμορφε, σεβάσμιε, νυκτιπόλευτε·
πρώτη γὰρ τελετὰς ἁγίας θνητοῖς ἀνέφηνας,
Βακχιακὰς ἀνὰ νύκτας ἐπευάζουσα ἄνακτα·
ἐκ σέο γὰρ τιμαὶ μακάρων μυστήριά θ᾽ ἁγνά.
ἀλλά, μάκαιρ᾽, ἔλθοις κεχαρισμένη εὔφρονι βουλῇ
εὐιέρους ἐπὶ μυστιπόλους τελετὰς σέο, κούρη.

LXXX. ΒΟΡΕΟΥ, θυμίαμα λίβανον.

Χειμερίοις αὔρῃσι δονῶν βαθὺν ἠέρα κόσμου,
κρυμοπαγὲς Βορέα, χιονώδεος ἔλθ᾽ ἀπὸ Θρῄκης
λῦέ τε παννέφελον στάσιν ἠέρος ὑγροκελεύθου
ἰκμάσι ῥιπίζων νοτεραῖς ὀμβρηγενὲς ὕδωρ,
αἴθρια πάντα τιθείς, θαλερόμματον αἰθέρα τεύχων
ἀκτῖσιν λάμπουσαν ἐπὶ χθονὸς ἠελίοιο.

LXXXI. ΖΕΦΥΡΟΥ, θυμίαμα λίβανον.

Αὖραι ποντογενεῖς Ζεφυρίτιδες, ἠερόφοιτοι,
ἡδύπνοοι, ψιθυραί, καμάτου ἀνάπαυσιν ἔχουσαι,
εἰαριναί, λειμωνιάδες, πεποθημέναι ὅρμοις,
σύρουσαι νηυσὶ τρυφερὸν πόρον, ἠέρα κοῦφον·
ἔλθοιτ᾽ εὐμενέουσαι, ἐπιπνείουσαι ἀμεμφεῖς,
ἠέριαι, ἀφανεῖς, κουφόπτεροι, ἠερόμορφοι.

LXXXII. ΝΟΤΟΥ, θυμίαμα λίβανον.

Λαιψηρὸν πήδημα δι᾽ ἠέρος ὑγροπόρευτον,
ὠκείαις πτερύγεσσι δονούμενον ἔνθα καὶ ἔνθα,
ἔλθοις σὺν νεφέλαις νοτίαις, ὄμβροιο γενάρχα·
τοῦτο γὰρ ἐκ Διός ἐστι σέθεν γέρας ἠερόφοιτον,

---

7 *πάντιμε* codd. — 11 *κεχαρισμένη* Abel] *κεχαρημένη*.

LXXX. 1 *αὔρῃσι* Hermann] *αὔραισι*. — 2 *κρυμοπαγές* Abel] *κρυμοπαγής*. — *Θρῄκης* Hermann] *θράκης*. — 3 *λύετε* codd. — 4 *ῥιπίζων ἰκμάσι νοτεραῖς ὀμβριγενές* codd. — 6 *ἀκτῖσιν* Hermann] *ἀκτῖνες ἅς*.

LXXXI. 1 *παντογενεῖς* codd. — *ἠεροφοῖτοι* (sic) Hermann] *ἠεροφοῖται*. — 2 *θανάτου* codd. — 3 *λειμωνίδες* codd. — 4 *νηυσίν* (sic) Hermann] *ναυσί*. — *πόρον*] *ὅρμον* codd. — 6 ἠερόμορφοι Hermann] *ἀερόμορφοι*.

ὀμβροτόκους νεφέλας ἐξ ἠέρος ἐς χθόνα πέμπειν.
τοιγάρ τοι λιτόμεσθα, μάκαρ, ἱεροῖσι χαρέντα
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

LXXXIII. *ΩΚΕΑΝΟΥ*, θυμίαμα ἀρώματα.

Ὠκεανὸν καλέω, πατέρ᾽ ἄφθιτον, αἰὲν ἐόντα,
ἀθανάτων τε θεῶν γένεσιν θνητῶν τ᾽ ἀνθρώπων,
ὃς περικυμαίνει γαίης περιτέρμονα κύκλον·
ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναί.
κλῦθι, μάκαρ, πολύολβε, θεῶν ἅγνισμα μέγιστον,
τέρμα φίλον γαίης, ἀρχὴ πόλου, ὑγροκέλευθε,
ἔλθοις εὐμενέων μύσταις κεχαρισμένος αἰεί.

LXXXIV. *ΕΣΤΙΑΣ*, θυμίαμα ἀρώματα.

Ἱστίη εὐδυνάτοιο Κρόνου θύγατερ βασίλεια,
ἣ μέσον οἶκον ἔχεις πυρὸς ἀενάοιο, μεγίστου,
τούσδε σὺ ἐν τελεταῖς ὁσίαις μύστας ἀναδείξαις,
θεῖσ᾽ αἰειθαλέας, πολυόλβους, εὔφρονας, ἁγνούς·
οἶκε θεῶν μακάρων, θνητῶν στήριγμα κραταιόν,
ἀιδίη, πολύμορφε, ποθεινοτάτη, χλοόμορφε·
μειδιόωσα, μάκαιρα, τάδ᾽ ἱερὰ δέξο προθύμως,
ὄλβον ἐπιπνείουσα καὶ ἠπιόχειρ᾽ ὑγίειαν.

LXXXV. *ΥΠΝΟΥ*, θυμίαμα μετὰ μήκωνος.

Ὕπνε, ἄναξ μακάρων πάντων θνητῶν τ᾽ ἀνθρώπων
καὶ πάντων ζῴων, ὁπόσα τρέφει εὐρεῖα χθών·
πάντων γὰρ κρατέεις μοῦνος καὶ πᾶσι προσέρχῃ
σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδῃσι.
λυσιμέριμνε, κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν
καὶ πάσης λύπης ἱερὸν παραμύθιον ἔρδων·

LXXXII. 5 ἐς Abel] εἰς.

LXXXIV. 1 Ἱστίη Hermann] ἱστία. — 2 ἀεννάοιο codd. — 3 ὁσίαις Abel] ὁσίους. — 4 θεῖσ᾽ αἰειθαλέας Hermann] θήσω ἀειθαλέας. — 5 οἶκε Dorville] οἱ καί. — 6 ἀιδίη Hermann] ἀίδιε. — 8 ἠπιόχειρον ὑγείαν codd., corr. Porson.

LXXXV. 6 ἔρδων] ἔργον codd.

καὶ θανάτου μελέτην ἀπάγεις ψυχὰς διασῴζων·
αὐτοκασίγνητος γὰρ ἔφυς Λήθης Θανάτου τε.
ἀλλά, μάκαρ, λίτομαί σε κεκραμένον ἡδὺν ἱκάνειν
σῴζοντ᾽ εὐμενέως μύστας θείοισιν ἐπ᾽ ἔργοις.

LXXXVI. ΟΝΕΙΡΟΥ, θυμίαμα ἀρώματα.

Κικλήσκω σε, μάκαρ, τανυσίπτερε, οὖλε Ὄνειρε,
ἄγγελε μελλόντων, θνητοῖς χρησμῳδὲ μέγιστε·
ἡσυχίῃ γὰρ ὕπνου γλυκεροῦ σιγηλὸς ἐπελθών,
προσφωνῶν ψυχαῖς θνητῶν νόον αὐτὸς ἐγείρεις,
καὶ γνώμας μακάρων αὐτὸς καθ᾽ ὕπνους ὑποπέμπεις,
σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα προφαίνων,
οἷσιν ἐπ᾽ εὐσεβίῃσι θεῶν νόος ἐσθλὸς ὁδεύει,
ὡς ἂν ἀεὶ τὸ καλὸν μᾶλλον, γνώμῃσι προληφθέν,
τερπωλαῖς ὑπάγῃ βίον ἀνθρώπων προχαρέντων,
τῶν δὲ κακῶν ἀνάπαυσιν, ὅπως θεὸς αὐτὸς ἐνίσπῃ
εὐχωλαῖς θυσίαις τε χόλον λύσωσιν ἀνάκτων.
εὐσεβέσιν γὰρ ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστι,
τοῖς δὲ κακοῖς οὔ κεν φαίνοι μέλλουσαν ἀνάγκην
ὄψις ὀνειρήεσσα, κακῶν ἐξάγγελος ἔργων,
ὄφρα κεν εὕρωνται λύσιν ἄλγεος ἐρχομένοιο.
ἀλλά, μάκαρ, λίτομαί σε θεῶν μηνύματα φράζειν,
ὡς ἂν ἀεὶ γνώμαις ὀρθαῖς κατὰ πάντα πελάζῃς
μηδέν᾽ ἐπ᾽ ἀλλοκότοισι κακῶν σημεῖα προφαίνων.

LXXXVII. ΘΑΝΑΤΟΥ, θυμίαμα μάνναν.

Κλῦθί μευ, ὃς πάντων θνητῶν οἴηκα κρατύνεις
πᾶσι διδοὺς χρόνον ἁγνόν, ὅσων πόρρωθεν ὑπάρχεις·
σὸς γὰρ ὕπνος ψυχὴν θραύει καὶ σώματος ὁλκόν,
ἡνίκ᾽ ἂν ἐκλύῃς φύσεως κεκρατημένα δεσμὰ

---

7 ἀπάγεις Wiel] ἐπάγεις.

LXXXVI. 3 ἡσυχίῃ Hermann] ἡσυχίᾳ. — ὕπνος γλυκερός codd. — 4 προφωνῶν codd. — 6 προφαίνων Lennep] προφωνῶν. — 9 ἀπάγῃ codd. — 10 ἀνάπαυσιν Abel] ἀνάπαυλαν. — 11 τε πόλον θύσαντες codd. — 13 οὔ κεν φαίνοι Hermann] οὐδὲν φαίνει. — 15 ὄφρα κεν Hermann] ὄφρα ἄν. — 18 μηδέν᾽ Hermann] μηδὲν.

τὸν μακρὸν ζῴοισι φέρων αἰώνιον ὕπνον,
κοινὸς μὲν πάντων, ἄδικος δ' ἐνίοισιν ὑπάρχων,
ἐν ταχυτῆτι βίου παύων νεοήλικας ἀκμάς·
ἐν σοὶ γὰρ μούνῳ πάντων τὸ κριθὲν τελεοῦται·
οὔτε γὰρ εὐχῇσιν πείθῃ μόνος οὔτε λιτῇσιν.
ἀλλά, μάκαρ, μακροῖσι χρόνοις ζωῆς σε πελάζειν
αἰτοῦμαι, θυσίῃσι καὶ εὐχωλαῖς λιτανεύων,
ὡς ἂν ἔῃ γέρας ἐσθλὸν ἐν ἀνθρώποισι τὸ γῆρας.

LXXXVIII. ΕΙΣ ΑΡΕΑ.

Ἄρες ὑπερμενέτα, βρισάρματε, χρυσεοπήληξ,
ὀβριμόθυμε, φέρασπι, πολισσόε, χαλκοκορυστά,
καρτερόχειρ, ἀμόγητε, δορισθενές, ἕρκος Ὀλύμπου,
Νίκης εὐπολέμοιο πάτερ, συνάρωγε Θέμιστος,
ἀντιβίοισι τύραννε, δικαιοτάτων ἀγὲ φωτῶν,
ἠνορέης σκηπτοῦχε, πυραυγέα κύκλον ἑλίσσων
αἰθέρος ἑπταπόροις ἐνὶ τείρεσιν, ἔνθα σε πῶλοι
ζαφλεγέες τριτάτης ὑπὲρ ἄντυγος αἰὲν ἔχουσι·
κλῦθι, βροτῶν ἐπίκουρε, δοτὴρ εὐθαρσέος ἥβης,
πρηὺ καταστίλβων σέλας ὑψόθεν ἐς βιότητα
ἡμετέρην, καὶ κάρτος ἀρήιον, ὥς κε δυναίμην
σεύεσθαι κακότητα πικρὴν ἀπ' ἐμοῖο καρήνου
καὶ ψυχῆς ἀπατηλὸν ὑπογνάμψαι φρεσὶν ὁρμὴν
θυμοῦ τ' αὖ μένος ὀξὺ κατισχέμεν, ὅς μ' ἐρέθῃσι
φυλόπιδος κρυερῆς ἐπιβαινέμεν. ἀλλὰ σὺ θάρσος
δός, μάκαρ, εἰρήνης τε μένειν ἐν ἀπήμοσι θεσμοῖς
δυσμενέων προφυγόντα μόθον κῆράς τε βιαίους.

LXXXVII. 9 οὔτε γὰρ εὐχαῖσι(ν) πιθόμενος οὔτε λιταῖσιν codd., corr. Hermann. — 10 σε Hermann] γε. — 11 θυσίῃσι (sic) Hermann] θυσίαις. — 13 ἔῃ Abel] ἔοι.

LXXXVIII. Hic hymnus inter Homero vulgo adscriptos octavo loco legitur. Transtulit eum huc Hermann, haud recte, cum hoc carmen diversi coloris sit ab Orphicis hymnis.

ORPHEI LITHICA.[1]

1) Incerti auctoris de magica lapidum virtute carmen, e Damigeronis cuiusdam magi, qui ante saeculum nostrae aerae alterum vixit, de lapidibus libello soluta oratione conscripto versibus nondum ad Nonni normam redactis expressum, quarto p Chr. n. saeculo tribuendum est quod saevissima magorum persecutione (ann. 3.7. 371) de qua poeta in prooemio acerbe queritur memorabile erat. Haec Tyrwhitti est sententia a. MDCCLXXXI prolata atque omnibus deinceps *editoribus* probata.

Λ Ι Θ Ο Ι

ΛΙΘΟΙ

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΜΟΣΧΟΥ 1)

ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟ

ΟΡΦΕΩΣ ΠΕΡΙ ΛΙΘΩΝ.

Θειοδάμαντι τῷ Πριάμου συνήντησεν Ὀρφεὺς μετὰ ἑταίρων τινῶν πρὸς θυσίαν Ἡλίου, ἣν ἐτέλει κατ᾽ ἔτος, εἰς ὄρος ἀνερχόμενος· καὶ αὐτῷ τῆς νενομισμένης ταύτης ἐτησίου θυσίας τὴν αἰτίαν ἀφηγεῖται, λέγων ὑπὸ δράκοντος αὐτὸν παῖδα ὄντα ποτὲ ἀναιρεθῆναι κινδυνεύοντα καταφυγεῖν εἰς τὸ ἐκεῖ που πλησίον ἱερὸν τοῦ Ἡλίου. ὑφ᾽ οὗ καὶ σωθέντα ὡς ὁ πατὴρ περιεποιήσατο τῆς τοῦ παιδὸς σωτηρίας κατ᾽ ἔτος ἦγεν Ἡλίῳ θύματα. μεταστάντος δὲ ἐκείνου τῶν ἐντεῦθεν αὐτὸς Ὀρφεὺς ἀντὶ τοῦ πατρὸς τῆς τοιαύτης θυσίας καθίσταται διάδοχος, ἣν νῦν ἀφοσιούμενος ἄνεισι συμπαραλαβὼν καὶ Θειοδάμαντα. οὗτος δὲ καθ᾽ ὁδὸν τῷ ποιητῇ περὶ δυνάμεώς τε λίθων καὶ χρήσεως διεξέρχεται, οἵτινες αὐτῶν χρήσιμοι πρὸς τῶν θυόντων κρατούμενοι, ὅπως αὐτοῖς τὰ τῶν εὐχῶν ἐξανύοιτο, καὶ οἳ πρὸς τὰς ἰοβόλους τῶν δήξεων θεραπείας. ὅθεν οἶμαι καὶ Νίκανδρος ὁ Κολοφώνιος ὕστερον ὁρμηθεὶς συνέγραψε τὰ Θηριακά.

---

1) Demetrius Moschi filius poeta Graeculus Orphei de lapidibus carmen Pici Mirandulae principis gratia vergente saeculo quinto decimo descripsit et argumentum ac *brevia scholia*, quae nullius omnino sunt pretii, adiecit.

Τοῦ αὐτοῦ. Ἰστέον δέ, ὡς δύο τινὰ προοίμια τοῦ παρόντος προτίθεται ποιήματος· ἐν μὲν τῷ πρώτῳ αὐτήν τε τὴν ἀρετὴν καὶ σοφίαν ἅπασαν ἐξυμνῶν καὶ τοὺς πάλαι τῶν ἡρώων κατ᾽ αὐτὴν γενομένους ἐνδόξους καὶ ἰσοθέους νομισθέντας, ὧν καὶ μητέρα τὴν ἀρετὴν προσείρηκεν· ἐν ταὐτῷ δὲ καὶ τῶν ἰδιωτῶν καθάπτεται, ὡς ἐπιφθόνως ἐχόντων πρὸς τοὺς τὴν ἀρετὴν διώκοντας καὶ τούτοις ἀεὶ φιλαπεχθημόνως ἐπικειμένων. ἐν θατέρῳ δὲ ὁ πρὸς αὐτὸν καὶ Θειοδάμαντα γίνεται διάλογος.

ΟΡΦΕΩΣ ΛΙΘΙΚΑ.

Δῶρον ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι
κεκλόμενος Μαίης ἐριούνιος ἦλθε κομίζων
υἱός, ὅπως ἂν ἔχοιμεν ὀιζύος ἀτρεκὲς ἄλκαρ.
γηθόσυνοι δέχνυσθε βροτοί, πινυτοῖσιν ἐνίσπω,
οἷς ἀγαθὴ κραδίη καὶ πείθεται ἀθανάτοισι·
νηπυτίοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν.
τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλομένους ἐπὶ δώρῳ
υἷά τε Λητοΐδης ἀκεσίμβροτον ἀθανάτοισιν
ἷξεν ἄγων ἐς Ὄλυμπον ἀγάννιφον ἠδὲ σαόφρων
Παλλὰς Ἀθηναίη λαοσσόον Ἡρακλῆα·
ἆλτο δὲ καὶ Κρονίδης ταναὴν ὑπὲρ αἰθέρα Χείρων
σευάμενος πρὸς Ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα.
ἀλλ' ἤτοι κείνους μὲν ἀμώμητοι Διὸς οἶκοι
χαίροντες δέξαντο, θεηγενέων ὄχ' ἀρίστους·
ἡμῖν δ' ἐν γαίῃ κέλεται Χρυσόρραπις ὄλβῳ
ζώειν τερπομένοισιν, ἀπειρήτοις κακότητος.
ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ
ἐς πολυήρατον ἄντρον ἐσελθέμεν Ἑρμείαο,
ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον,
αἶψά κεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
οἴκαδ' ἀποστείχοι προφυγὼν πολύδακρυν ὀιζύν·
οὐδέ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει,
οὐδ' ὅγε δυσμενέων ποθ' ὑποτρέσσας μένος αἰνὸν

---

17 ἀνώγῃ Hermann] ἀνώγει.

Τοῦ αὐτοῦ. Ἰστέον δέ, ὡς δύο τινὰ προοίμια τοῦ παρόντος προτίθεται ποιήματος· ἐν μὲν τῷ πρώτῳ αὐτήν τε τὴν ἀρετὴν καὶ σοφίαν ἅπασαν ἐξυμνῶν καὶ τοὺς πάλαι τῶν ἡρώων κατ᾽ αὐτὴν γενομένους ἐνδόξους καὶ ἰσοθέους νομισθέντας, ὧν καὶ μητέρα τὴν ἀρετὴν προσείρηκεν· ἐν ταὐτῷ δὲ καὶ τῶν ἰδιωτῶν καθάπτεται, ὡς ἐπιφθόνως ἐχόντων πρὸς τοὺς τὴν ἀρετὴν διώκοντας καὶ τούτοις ἀεὶ φιλαπεχθημόνως ἐπικειμένων. ἐν θατέρῳ δὲ ὁ πρὸς αὐτὸν καὶ Θειοδάμαντα γίνεται διάλογος.

ΟΡΦΕΩΣ ΛΙΘΙΚΑ.

Δῶρον ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι
κεκλόμενος Μαίης ἐριούνιος ἦλθε κομίζων
υἱός, ὅπως ἂν ἔχοιμεν ὀιζύος ἀτρεκὲς ἄλκαρ.
γηθόσυνοι δέχνυσθε βροτοί, πινυτοῖσιν ἐνίσπω,
οἷς ἀγαθὴ κραδίη καὶ πείθεται ἀθανάτοισι·
νηπυτίοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν.
τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλομένους ἐπὶ δώρῳ
υἷά τε Λητοΐδης ἀκεσίμβροτον ἀθανάτοισιν
ἷξεν ἄγων ἐς Ὄλυμπον ἀγάννιφον ἠδὲ σαόφρων
Παλλὰς Ἀθηναίη λαοσσόον Ἡρακλῆα·
ἆλτο δὲ καὶ Κρονίδης ταναὴν ὑπὲρ αἰθέρα Χείρων
σευάμενος πρὸς Ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα.
ἀλλ' ἤτοι κείνους μὲν ἀμώμητοι Διὸς οἶκοι
χαίροντες δέξαντο, θεηγενέων ὄχ' ἀρίστους·
ἡμῖν δ' ἐν γαίῃ κέλεται Χρυσόρραπις ὄλβῳ
ζώειν τερπομένοισιν, ἀπειρήτοις κακότητος.
ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ
ἐς πολυήρατον ἄντρον ἐσελθέμεν Ἑρμείαο,
ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον,
αἶψά κεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
οἴκαδ' ἀποστείχοι προφυγὼν πολύδακρυν ὀιζύν·
οὐδέ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει,
οὐδ' ὅγε δυσμενέων ποθ' ὑποτρέσσας μένος αἰνὸν

17 ἀνώγῃ Hermann] ἀνώγει.

[illegible] προλιπὼν ἐριγηθέα νίκην·
[illegible] κονισαμένῳ ἐν ἀγῶνι
[illegible] θυμὸς ἐφορμήσει μενεαίνειν,
[illegible] καὶ ἄγναμπτον σθένος ἀνὴρ
[illegible] νόθῳ κομίσας ἐριδαίνοι.
[illegible] ὀρεσκῴοισι λέοντα
[illegible] ἐοικότα δαίμονι τεύξω,
[illegible] διοτρεφέεσσιν ὀπάσσω
[illegible] μετ' ἀνθρώποισι τίεσθαι.
[illegible] τερενόχροες ἱμερτῇσιν
[illegible] περιπτύσσειν παλάμῃσι,
[illegible] χρύσειον ἐπὶ λέχος αἰὲν ἐρύσσει
[illegible] κούρη ἐπιιεμένη φιλότητος·
[illegible] τε πρὸς οὔατ' ἀφίξεται αἰὲν ἐόντων
[illegible] καὶ [illegible] κυκωμένου οὐκ ἀλεγίζων
[illegible] ἐπὶ τραφερὴν χθόν' ἀκυμάντοισι πόδεσσι.
[illegible] καὶ λῃστῆρες ἀνάρσιοι οἷον ἐόντα
φεύξονται, καὶ δμῶες ὀιόμενοι πατέρ' εἶναι
τίσουσιν καὶ οἶκον ἑοῦ στέρξουσιν ἄνακτος.
ἴδμεναι αἴ κ' ἐθέλῃσι, δαήσεται, ὅσσα τε φῶτες
κρυπτάδια σφετέρῃσιν ἐνὶ φρεσὶ μηχανόωνται,
ὅσσα τε κεκλήγασι μετὰ σφίσιν ἠεροφοῖται
ἀνθρώποις ἄφραστον ἰακχάζοντος ἀοιδήν,
οἰωνοί, μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται.
ῥοῖζόν τε στῆσαι χαμαὶ ἐρχομένοιο δράκοντος·
[illegible] ἠδ' ὄφεων ἰὸν σβέσαι ἑρπυστήρων.
δώσω οἱ καὶ φῶτα χόλῳ πίπτοντα σελήνης
ῥύσασθαι καὶ νοῦσον ἀταρτηρὴν ἐλέφαντος,
καὶ ψυχὴν ἐλάσαι τεθνηότος, ἥ κεν ἐρεμνοῦ
ἐξ Ἄιδος προμολοῦσα ποτιχρίμπτηται ἑκάστῳ.
ἄλλαι ἀπειρέσιοι πολυμήτιος Ἑρμείαο

---

28 *ἄντικρυ* Hermann] *ἄντικρυς*. — 31 *βασιλεῦσι* Stephanus] *βασιλέεσσι*. — 39 *χθόν'* add. Dorville. — 42 *τίσουσιν* Hermann] *τίσουσι*. — 54 *τ'* post *ἄλλαι* expulit Stephanus.

δωτῖναι κομίσαντος ἐνὶ σπήλυγγι κέονται,
ἄμβροτοι, ἀτρεκέες, ῥίμφα πρήσσουσαι ἕκαστα·
τάων ἡμίθεός τε καὶ ὄλβιος ὅς κ' ἐφίκηται.
τὰς ἐμὲ κηρύσσειν λαοσσόος Ἀργειφόντης
ἀνθρώποισιν ὄρινε, μελιγλώσσοιο κελεύσας
φθόγγον ἀπὸ στήθεσφιν ἀοιδῆς γηρύσασθαι.
Ἀλλ' οὐ πάγχυ βροτοῖσι σαοφροσύνης ἀλεγίζειν
ἵμερος· αἶψα δέ, πρέσβα, σ' ἀλιτροσύναις ἀτίουσι·
μητέρα δ' ἡρώων ἀρετὴν ἀπάτερθε κλύοντες
προτροπάδην φεύγουσιν, ἀοσσητῆρα δὲ μόχθον,
μόχθον ἀοσσητῆρα βίου μάλα πεφρίκασιν.
οὐδέ σφι κρείων ἐνὶ δώμασιν ὄλβος ὁμιλεῖ,
οὐδέ τις οἶδε θεοῖς ὀαριζέμεν ἀθανάτοισιν·
ἐκ δ' οἵγε πτολίων τε καὶ ἀγρῶν ἤλασαν ἐσθλὴν
— ἆ δειλοί — σοφίην, Ἐριούνιον ὑβρίζοντες.
ὤλετο δὲ προτέροις πεπονημένον ἡμιθέοισιν
ἔργον· ὃ δ' ἀργαλέος καὶ ἀπεχθὴς αὐτίκα πᾶσιν,
ᾧ κεν ἐπωνυμίην λαοὶ τεύξωσι μάγοιο.
καί ῥ' ὃ μὲν ἐν κονίῃσιν ὑπ' ἄορι κρατὸς ἀμερθεὶς
λευγαλέῳ θανάτῳ δῖος φὼς ἐκτετάνυσται·
οἱ δ' ἴκελοι θήρεσσιν, ἀίδριες ἠδ' ἀδίδακτοι,
χήτεϊ δαιμονίοιο νοήματος, οὔθ' ὑπ' ἀρωγὴν
θεσπεσίην φυγέτην ὀλεσιμβρότου ἐκ κακότητος,
οὔτε τι θέσκελον ἔργον, ὅ κεν μάλα θαυμάζοιτο,
ἴσασ'· ἀλλά σφιν νεφέλη πραπίδεσσι κελαινὴ
ἀμφιπεριπλεχθεῖσα βαδιζέμεν ἀνθεμόεντα
εἰς ἀρετῆς λειμῶνα πολυστεφάνοιο μεγαίρει.
ἀλλ' ἐμέθεν στεῦμαι κειμήλια πειθομένοισιν

---

60 ἀοιδῆς Hermann] ἀοιδοῦ. — 61 πάγχυ Stephanus] πάγχι. — 62 πρέσβα σ' ἀλιτροσύναις Abel] πρέσβαν δαημοσύνην. — 71 ἔργον· ὁ δ' ἀργ. καὶ Tyrwhitt] ἔργον. ἀργαλέος δὲ καὶ (ἔργον δ' ἀργαλέος καὶ). — 75 ἠδ' Gesner] οἱ δ'. — 76 χήτεϊ Hermann] χήτει. — 77 ὀλεσιμβρότου Tyrwhitt] φαεσιμβρότου. — 78 θαυμάζοιτο Tyrwhitt] θαυμάζοντο. — 82 στεῦμαι Hermann] ὑπισχνοῦμαι.

ἀφνειοῦ χρυσοῖο πολὺ προφερέστερα δείξειν·
φῶτα δὲ δίζημαι ταλακάρδιον, ὅς κεν ἑκάστου
ἐμμεμαὼς πειρῷτο μενοινήσῃ τε κάμῃ τε,
ὅς τε διδάσκηται καὶ ὃς εἰδότας ἐξερεείνῃ.
οὐ γὰρ ἄτερ καμάτοιο τέλος μύθοισι καὶ ἔργοις
εὐρύοπα Κρονίδης ἐθέλει δόμεν· ἀλλὰ καὶ αὐτὸν
ἐς δύσιν ἀσθμαίνοντες ἀν' αἰθέρα λαμπετόωσαν
Ἠέλιον φαέθοντα σὺν ἅρματι πῶλοι ἄγουσι.
Μᾶλλον ἐγὼ πινυτοῖο παραίφασιν ἀνέρος εὑρὼν
τέρψομαι ἤπερ χρυσὸν ἁπάντων κοίρανον ἀνδρῶν.
Ἠελίῳ γὰρ ἄγων ἱερήιον ἀντεβόλησα
ἀγρόθεν ἄστυδ' ἰόντι περίφρονι Θειοδάμαντι
καί μιν ἑλὼν χερὶ χεῖρα προσηύδων ὧδ' ἐπέεσσιν·
Ἐς πόλιν, εἰ μὴ πάμπαν ἐπισπέρχωσιν ἀνάγκαι,
ῥηιδίως σοι, ἑταῖρε, καὶ αὔριον ἔσσεθ' ἱκέσθαι·
νῦν δέ σέ μοι στείχοντι μετ' εἰλαπίνην θεὸς αὐτὸς
ὦρσεν ὑπαντιάσαι· τῷ μοι πρόφρων ἐπίνευσον
ἑσπέσθαι· θυσίαι δ' ἱεροπρεπέες τελέθουσιν,
ἃς ἀγαθοὶ ῥέζουσι βροτοί· γάνυται δὲ φίλον κῆρ
ἀθανάτων, εὖτ' ἄν σφι χοροὺς ἀνάγωσιν ἄριστοι.
ἄξω δ' οὐ μακρὴν ἐς ἀταρπιτόν· εἰσοράᾳς γὰρ
ἡμετέρων με κιόντα πρὸς ἀγρῶν ἀκρώρειαν.
ἔνθα νεογνὸς ἐὼν ἔτλην ποτὲ μοῦνος ἀνελθεῖν,
λαιψηρὼ πέρδικε μετασπόμενος προφυγόντε·
οἳ δ' ἤτοι εἵως μὲν ἀκούων οὔνομ' ἕκαστος
ἱστάμενος μίμνασκεν, ὀρεξάμενον δὲ δοκεύσας,
πρὶν μάρψαι χείρεσσιν ἀλυσκάζων προφύγεσκεν.
αὐτὰρ ἐγὼ σπουδῇ κεν ἐπὶ στόμα κάππεσον ἐλθών·
ἂψ δ' αὖτις γαίηθεν ἀναΐξας ἐδίωκον.
ἀλλ' ὅτε δὴ κορυφῆνδε μετασπόμενος κίον ἄκρην,

---

83 *ἀφνειοῦ* Stephanus] *ἀφνειοῖο*. — 84 *δίζημαι* Hermann] *δείξηται*. — 85 *μενοινήσαι τε κάμοι τε* codd., corr. Witting. — 86 *ἐξερεείνοι* codd., corr. Hermann. — 90 *σύν* Hermann] *ἐφ'*. — 100 *δ'* add. Wiel. — 111 *αὖτις* Hermann] *αὖθις*. — 112 *κίον* Stephanus] *ἴον*.

οἱ μὲν ἄρ' ἐξαπίνης ἰαχὴν ὀξεῖαν ὄροντε
αἰγανέης ἔσσυντο θοώτερον ἠὲ βελέμνου
ὑψίκομον ποτὶ φηγόν, ἐπεσσύμενον προϊδόντε
αἰνὸν ὄφιν, πετάσαντα γένυν πλείην θανάτοιο.
τὸν δ' ἐγὼ ἐγχριμφθεὶς ὑπεναντίον ἀίξαντα
οὐκ ἴδον· ὀφθαλμοὶ δέ μοι ὀρνίθων λελίηντο·
πρίν περ ἀναστήσαντος ἀπὸ χθονὸς αὐχένα δεινὸν
ἐφρασάμην ἤδη τε δέμας μεμαῶτα λαφύξαι.
ἔνθ' εἴ τις σπεύδοντα παλίσσυτον εἰσενόησεν,
οὔτε με περδίκεσσιν ἀελλοπόδεσσιν ἕπεσθαι
οὔτε με νηπιάχοισιν ὀίσατο ποσσὶ φέρεσθαι.
κέκλετο γάρ μοι δεῖμα τανύπτερον αἰετὸν εἶναι
καὶ πνοιὴν ἀνέμου· παρὰ γὰρ ποσσὶν κακὸν ἦεν.
πολλάκι δ' εἵματος ἄκρου ἐπιψαύεσκεν ἀκωκαῖς·
καί κεν ὑπὲρ μοῖράν με πελώριος ἀμφέχανεν θήρ,
εἰ μή μοι νόος ὦρτο θοῶς ἐπὶ βωμὸν ὀροῦσαι,
τόν ῥα παλαιότεροι Φαεσιμβρότῳ ἱδρύσαντο.
τῷ δ' ἄρ' ἔπι τρύφος αὖον ἐλαϊνέης ἐλέλειπτο
σχίζης, ἥντε μαρανθὲν ἀδηφάγον ἐξέλιπεν πῦρ·
τὴν ἐγὼ ἁρπάξας ὀλοοῦ κατένωπα δράκοντος
ἐστρέφθην. μαίμησε δ' ὀρεσκῴου μένος αἰνὸν
μάρνασθαι, μεμαῶτα ἰδών, εἱλεῖτο δὲ πυκνῶς
γνάμπτων εὐκύκλως ταναὴν ῥάχιν· αὐτὰρ ἐπ' ἄλλῳ
ἄλλος, ἔπειτα δέ τ' ἄλλος ἑλισσομένου τροχὸς ἦεν·
ἦ δ' ἔτι καὶ βωμοῦ ὕπερ αὐχένας ἠέρταζε,
συρίζων βοόωντος ἐμῆς πολὺ μεῖζον ἀυτῆς.
καὶ τύπτων ἄρρηκτον ὀρεσκῴοιο κάρηνον
ἀμφ' αὐτῷ θραύεσκον ὑπέκπυρον ὄζον ἄκικυν·
οὐδ' ἄρα μόρσιμος ἦα δαφοινῷ θηρὶ δαμῆναι.
τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισιν
ἑσπομένω δύο πατρὸς ἐμοῦ κύνε κεκλήγοντα

---

113 ὄροντες (sic) Tyrwhitt] ὀρῶντες. — 116 πλείην Hermann] πλείω. — 118 λελίηντο Hermann] ἀλάληντο. — 125 γάρ Stephanus] δέ. — 130 ἔπι Stephanus] ἐπί. — 141 οὐδ' ἄρα Tyrwhitt] οὐ γάρ.

γνόντες ἐπεδραμέτην· μάλα γάρ σφισι μείλιχος ἔσκον.
οἱ μὲν ἄρ᾽ ὑλάσσοντες ἐπέδραμον· αὐτὰρ ὅγ᾽ αἶψα
ἀντίον ἔσσυτο τοῖιν, ἐγὼ δ᾽ ἐς γαῖαν ὀρούσας
προτροπάδην, ὥς τίς τε Διὸς γαμψώνυχα φεύγων
αἰετὸν ἐν πυκινοῖσι λάθῃ θάμνοισι λαγωός,
τῷ ἴκελος μήλοισι μιγεὶς ὀλοοῦ ἀπὸ θηρὸς
ἐκρύφθην μέσσοισιν ἐνὶ πτήξας ἐρίφοισιν.
ὄφρα μὲν οὖν ἀκάκητα πατὴρ ἐμέθεν ζώεσκεν,
αἰεὶ μόσχον ἄγεσκεν ἐμὸν πρὸς ἀμύντορα βωμόν,
τίνων Ἠελίῳ ζωάγρια παιδὸς ἑοῖο·
αὐτὰρ ἐπεὶ Μοῖραί μιν ἀπήγαγον ἠελίοιο,
αὐτὸς ἐγὼν ἀγέληθεν ἐλάσσας πίονα μόσχον
εἰαρινόν, θαλέθοντα νεήνιδος οὔθατι μητρός,
ἔρχομ᾽ ἐς ἀκρώρειαν, ἄγων χορὸν ἡδὺν ἑταίρων·
σὺν δέ σφιν καὶ τώδε δρακοντοφόνω κύνε βήτην
αὐτομάτω· γλυκερὴ δὲ πέλει περὶ βωμὸν ἄνακτος
τερπωλὴ χλοερόν τε πέδον μαλακαί τ᾽ ἔπι ποῖαι
καὶ λασίαις πτελέῃσιν ὕπο σκιή· ἄγχι δ᾽ ἄρ᾽ αὐτῶν
ὕδωρ ἀέναον λισσῆς ὑπὸ πυθμένι πέτρης
λευκὸν ἀναβλύζον κελαρύζεται εἴκελον ᾠδῇ.
ἴομεν· οὔτοι δαῖτα θεῶν θέμις ἀρνήσασθαι.
Ὣς ἐφάμην· ὃ δέ μ᾽ ὧδε προσηύδα δαιμόνιος φώς·
Ἀλλά σε μὲν κρείων Φαεσίμβροτος ἐξ ἀλεγεινῆς
αἰὲν ἄγοι κακότητος ἀδακρύτοιό τε πέμποι
ὄλβου πρὸς μέγα δῶμα φιλοφροσύνης ἕνεκα σφῆς.
οὐδὲ μὲν οὐδέ σ᾽ ἐγώ περ ἀμοιβῆς αὐτὸς ἀμέρσω·
ἀλλ᾽ ἐπεὶ οὖν ἄξων ἱερήιον εἰσαναβαίνεις,
ὄφρα σευ εὐχομένοιο κλύοι θεός, ἐγγυαλίξω.
Κρύσταλλον φαέθοντα διαυγέα λάζεο χερσὶ
λᾶαν, ἀπόρροιαν πυριφεγγέος ἀμβρότου αἴγλης·

---

148 *λάθῃ* Abel] *λασι* (*λάοι*). — 154 *μοῖρά μιν ἀπήγαγεν* cod., corr. Abel. — 155 *ἐλάσσας* Stephanus] *ἐλάσας*. — 161 *λασίαις* Ruhnken] *λασία*. — 163 *κελαρύζεται εἴκελον* Stephanus] *κελαρύζετ᾽ ἴκελον* — 171 *σευ* Volkmann] *τοι*. — 173 *πυριφεγγέος* Hermann] *περιφεγγέος*. —

αἴθεϊ δ' ἀθανάτων μέγα τέρπεται ἄφθιτον ἦτορ.
τὸν κ' εἴ περ μετὰ χεῖρας ἔχων παρὰ νηὸν ἵκηαι,
οὔτις τοι μακάρων ἀρνήσεται εὐχωλῇσι.
κέκλυθι δ', ὄφρα μάθοις μένος ἀργεννοῖο λίθοιο·
εἰ γὰρ ἄτερ κρατεροῦ ἐθέλοις πυρὸς ἐκ φλόγας ὄρσαι,
κέκλομαι αὐαλέων μιν ὑπὲρ δαΐδων καταθεῖναι·
αὐτὰρ ὅγ' ἠελίου κατεναντίον αὐγάζοντος
αὐτίχ' ὑπὲρ δαΐδων ὀλίγην ἀκτῖνα τανύσσει·
ἣ δ' ὅτε καρφαλέης τε θίγῃ καὶ πίονος ὕλης,
καπνόν, ἔπειτα δὲ πῦρ ὀλίγον, μετὰ δὲ φλόγα πολλὴν
ὄρσει· τὴν δ' ἄρα φασὶ παλαιγενέες ἱερὸν πῦρ.
τάων οὐχ ἑτέρης μᾶλλον φλογὸς ἔλπομ' ἔγωγε
ἀθανάτοις οὕτω κεχαρισμένα μηρία καίειν.
πρὸς δ' ἔτι τοι καὶ τοῦτο, φίλος, μέγα θαῦμα πιφαύσκω·
αὐτόν, ὅτις πέλεται φλογὸς αἴτιος, αἴ κε μάλ' ὦκα
ἐκ πυρὸς ἁρπάξῃς, ψυχρὸς πέλει ἀμφαφάασθαι·
ἀμφὶ δὲ καὶ νεφροῖσι δεθεὶς κάμνοντα σαώσει.
  Δεύτερον εὐχομένῳ τοι ἀρηγόνα λᾶαν ὀπάσσω,
θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἠύτε μαζὸν
πρωτοτόκου νύμφης ἢ μηκάδος οὐθατοέσσης·
τόν ῥα παλαιγενέες μὲν ἀνακτίτην ἀδάμαντα
κλεῖον, ὅτι γνάμπτει μακάρων νόον, ὄφρα θυηλὰς
ἁζόμενοι ἐθέλωσιν ἐπιχθονίους ἐλεαίρειν·
οἳ δ' ἄρα μιν λήθαιον ἐφήμισαν, οὕνεκεν αἰεὶ
μεμνῆσθαι κακότητος ὀϊζυρῆς ἀπερύκει
θνητοὺς ἀθανάτους τε· νόον δ' ἐριούνιον εἶναι
θέλγει ἐποτρύνων ἀγανὰ φρεσὶ βουλεύεσθαι.
ἄλλοι δ' ἐσκέψαντο γαλακτίδα φέρτερον εἶναι
κικλήσκειν πέτρην, ὅτι τοι τρίψαντι γάλακτος
ἐκπρορέει λευκοῖο πανείκελος ἔνδοθεν ἰχώρ.
πεῖρα δέ τοι καὶ τοῦδε παρέσσεται, αἴ κ' ἐθέλησθα.

174 αἴθεϊ Hermann] αἰθέρι. — 175 παρά Hermann] περί. — 178 κρατεροῖο θέλοις (θέλεις) codd., corr. Gerhard. — 180 ἠελίου Abel] ἠελίοιο. — 185 ἑτέρης Wiel] ἑτέρας. — 189 ἁρπάξῃς Witting] ἁρπάξαις. — 203 πανείκελος Stephanus] πανίκελος.

οὔθατα γὰρ μήλων ὅτε κεν μινύθοντα ἴδηαι,
πῶς ἔρξεις, φίλε τέκνον, ἐπὴν ἐρίφοισι τεοῖσιν,
οὓς ποτε θῆρα πέλωρον ὑπεκπροφυγὼν ἱκέτευες,
τοῖσι παρασταίης τετληόσιν, οἳ δ' ἐνὶ σηκῷ
ἀμφί σε λεπταλέοι γοερὸν περιμηκήσωνται;
τῶν μὲν ἀκηχεμένας ἐπιτέλλεο μητέρας αἶψα
λούειν πηγάων κυαναυγέσιν ἐν δίνῃσι·
στήσας δ' ἠελίου κατεναντίον ἀντέλλοντος,
ἁγνίζειν μὲν πρῶτον ἐποιχόμενος περὶ πάσας,
ἅλμην δ' ἐν κρητῆρι καὶ ἄλφιτα λεπτὰ λίθοιο
χευάμενος, διὰ πῶυ καὶ αἰγῶν ἔρχευ ὅμιλον,
ῥαίνων καρποφόρῳ λάσιον κατὰ νῶτον ἑκάστης
θαλλῷ· ταὶ δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκοὺς
ἐξαπίνης μετὰ τέκνα φερεγλαγέες στιχόωνται·
οἳ δ' ἄρ' ὑπαὶ μαζοῖσι κορεσσάμενοι γαλαθηνοὶ
σκιρτηθμῶν ἐξαῦτις ἀναμνήσοντ' ἀγέρωχοι.
σὴν δέ μελικρήτοιο μετὰ γλυκεροῖο μιγέντα
ἴρυε πινέμεναι νύμφην, ἵνα νήπιον υἷα
μαστοῖσιν μεθύοντα παρ' ἀενάοισι κομίζῃ.
ἀμφὶ δ' ἄρ' αὐχένι παιδὸς ἀερτάζουσα τιθήνη
λᾶαν, ἐρητύσει κακομήτιος ὄσσε Μεγαίρης.
καὶ δέ σε καὶ βασιλῆες ἀμύμονες αἰδέσσονται
ἐν χερὶ λᾶαν ἔχοντα, καὶ ἄπλετα φῦλ' ἀνθρώπων·
ἀθάνατοι δὲ μάλιστα θεοὶ καταθύμια σεῖο
πάντα τελευτήσουσιν ἐπ' ἀράων ἀίοντες.
Χρὴ δὲ καὶ εὐπέταλον τετραυγέα λᾶαν ἔχοντας
ἀρᾶσθαι παρὰ βωμὸν ἐναιρομένης ἑκατόμβης.
Εἰ καὶ δενδροφύτοιο φέροις τρύφος ἐν χερὶ πέτρης,
μᾶλλόν κεν θάλποιτο θεῶν νόος αἰὲν ἐόντων.

---

209 *περιμυκήσονται* codd., corr. Wiel. — 210 *αἶψα* Wiel] *αἶα* (*αἰέν*). — 215 *ἔρχευ* Hermann] *ἔρχε'*. — 217 *θαλλῷ· ταὶ δ'* Stephanus] *θαλλῶνται δ'*. — 223 *ἀενάοισι* Abel] *ἀεννάοισι* (*εὐναίοισι*). — 226 *καί* post *σε* add. Stephanus. — 229 *ἐπ' ἀράων* Tyrwhitt] *ἐπαράων*. — 233 *μᾶλλόν κεν* Hermann] *μᾶλλον καί*.

δένδρεα γὰρ μάλα πολλὰ κατόψεαι, ὡς ἐνὶ κήπῳ
ἀνθεμόεντι, κλάδοισιν ἐπασσυτέροις κομόωντα.
τοὔνεκά οἱ καὶ φῶτες ἀχάτῃ δενδρήεντι
θῆκαν ἐπωνυμίην, ὅτι οἱ τὸ μὲν ἔπλετ' ἀχάτου,
ἄλλο δ' ἔχει λασίης ὕλης δέμας εἰσοράασθαι.
τὸν δὲ τεοῖσι βόεσσιν ἀνασχίζουσιν ἄρουραν
ἀμφὶ κέρα δοιὼ βαλέειν ἢ καρτερὸν ἀμφὶς
ὦμον ἀροτρεύοντος ἀτειρέος ἀγροιώτου·
καί κεν ἀπ' οὐρανόθεν σταχυοπλόκαμος Δημήτηρ
μεστὸν ἴοι φερέκαρπον ἐς αὔλακα κόλπον ἔχουσα.
Σκέπτεο καὶ θηητὸν ἔχων ἐλάφοιο πέλαζε
ἀθανάτοισι κέρας· ποτὶ γὰρ νόος οὐρανιώνων
μειδιάει φύσεως πολυδαιδάλου ἔργον ἰδόντων·
ἤτοι μὲν κέρας ἐστί, ταναύποδος οἷα φύονται
ἐκ κεφαλῆς ἐλάφοιο· φύει γε μὲν οὔ ποτε κόρση
πέτρην, ἀλλ' ἔμπης πέλεται κρατερὴ τόγε πέτρη.
οὐδέ κεν ἂν γνοίης, κέρας ἀτρεκὲς ἢ λίθος ἐστί,
πρίν κέ μιν ἀμφαφόων εὕρῃς νημερτέα λᾶαν.
αἰεί τοι θήσει λασίην ἐπὶ κράατι λάχνην,
εἰ καὶ ψεδνοκάρηνος ἔοις. εἰ γάρ μιν ἐλαίῳ
* * *
τριβόμενον τρίβειν κροτάφους πάντ' ἤματα σεῖο,
αἱ δὲ νέαι περὶ βρέγμα τεὸν τρίχες ἀνθήσουσι.
πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐς δέμνια κούρην
τερπωλῆς ἐρατῆς ἐπιμάρτυρα τόνδε φέροιτο
λᾶαν· ὃ δ' ἀρρήκτοισιν ὁμοφροσύνῃσιν ἅμ' ἄμφω
ἕστατον ἐς γῆρας καὶ ἐς ἤματα πάντα καθέξει.
Ποιμένι δ' ἀγραύλων ταύρων, Διὸς αἰγιόχοιο
υἱέι κισσοχίτωνι, λίθον καταθύμιον εἶναι
βάρβαρον ἀγγέλλω, Συριηγενέος κελαδεινοῦ
ὕδασιν Εὐφρήταο διαινόμενον ζαμίλαμπιν·
ὅς τοι φυταλιῆς ἕνεκεν ῥέξαντι θυηλὰς

---

234 κατόψεαι Stephanus] κατόψεται. — 240 δοίω (sic) Hermann] δύω. — 253 Lacunae signa posuit Abel; sed fort. ἐν γάρ οἱ ἐλαίῳ Τριβομένῳ τρίβειν κτλ. scribendum est.

κλήμασιν αὐτίκα σεῖο φερεσταφύλοισιν ἀλωὴν
ἀμφιέσας, πολλόν τοι ἀφύσσασθαι μέθυ δώσει.
Καὶ γλαφυρὴν κομίσας ἐαρόχροον αἴ κεν ἴασπιν
ἱερά τις ῥέζῃ, μακάρων ἰαίνεται ἦτορ,
καί οἱ καρφαλέας νεφέλαις κορέσουσιν ἀρούρας·
ἥδε γὰρ αὐχμηρῇσιν ἄγει πολὺν ὄμβρον ἀρούραις.
Λύχνι, σὺ δ' ἐκ πεδίου ῥόθιόν τ' ἀπόεργε χάλαζαν
ἡμετέρου καὶ κῆρας, ὅσαι στιχόωνται ἐπ' ἀγρούς·
καί σε γὰρ ἀθανάτων φιλέει νόος, ἐκ δ' ἄρα βωμῶν
ἠύτε περ κρύσταλλος ἄνευ πυρὸς ἐκ φλόγα πέμπεις·
ἐν δέ σοι ἀντίπαλον κεῖται μένος· ὁππότε δὴ πῦρ
νηδὺν ἀμφιέσῃσιν ἐνιπλείοιο λέβητος,
ψυχρὸν ἐπειγομένοιο πυρὸς μένει ἔνδοθεν ὕδωρ·
εἰ δέ τις ἐν ψυχρῇσι λίπῃ κονίῃσι λέβητα,
παφλάζει κρατεροῖο κυκώμενον ἔνδοθι χαλκοῦ.
Ἐσθλοὶ δ' αὖτ' ἐπὶ τοῖσι καὶ ὑαλοειδέες εἶναι
κλείονται θνητοῖσι θυηπολέουσι τόπαζοι.
Φημὶ δέ τοι τέρπειν καὶ ὀπάλλιον οὐρανίωνας
ἀγλαόν, ἱμερτοῦ τέρενα χρόα παιδὸς ἔχοντα·
καί ἑ καὶ ὀφθαλμοῖσιν ἀοσσητῆρα τετύχθαι.
Καὶ πίτυος δακρύοισι λίθου μένος ὀψιανοῖο
καὶ σμύρνην μίσγειν εὐώδεα καὶ φολίδεσσιν
ἀργυφέαις λεπιδωτὸν ἀποστίλβοντα κελεύω.
αὐτίκα γάρ τοι ταῦτα πυρὸς καθύπερθε πάσοντι
ἀθάνατοι δώσουσι θεοπροπίας ἀγαθῶν τε
ἐσσομένων λυγρῶν τε· καὶ εἴσεαι ὅσσ' ἐθέλησθα.
καὶ νεύρων ἀλεγεινὰ πάθη λεπιδωτὸς ἀμύνει.

---

267 γλαφυρήν Wiel] γλαφυρόν. — 268 ἱερά τις ῥέζῃ Hermann] ἱερὰ ῥέζοι τις. — 270 ἥδε καὶ αὐχμηροῖσιν ἄγοι codd., corr. Hermann. — 271 Λύχνι, σὺ δ' Tyrwhitt] λύχνις δ'. — ῥόθιόν τ' Gesner] ῥοθίων. — 275 δή Stephanus] μή. — 276 ἐνιπλείοιο Hermann] ἐν δὲ (ἐνὶ δὲ) πλείοιο. — 277 πυρὸς μένει Tyrwhitt] προσμένει. — 279 κυκώμενον O. Schneider] κυκωμένου. — 283 ἱμερτοῦ Stephanus] ἱμερτοῖο. — 285 λίθου μένος Bernard] λιθούμενος. — 288 ταῦτα Abel] αὐτά.

Λοιὼ δ' Ἡελίου χρυσότριχε λᾶε πέλονται,
ἄμφω θεσπεσίω· θάμβος δέ τοι ἔσσετ' ἰδόντι.
ἀμφοτέροις ἀκτῖνες ἐτήτυμοι ἐμπεφύασιν,
ὀρθαί, λαμπετόωσαι· ἰδεῖν γε μὲν οἷον ἔθειραι,
εἶδος δέ σφι λίθων ἄλλων· τὸν μέν τε νοήσεις
κρύσταλλον λευκήν· εἰ δ' οὐκ ἔχεν ἔνδον ἐθείρας,
κρύσταλλός κεν ἔην· ὃ δὲ χρυσολίθῳ δέμας ἄντην
εἴκελος εἰσιδέειν· εἰ δ' οὐκ ἔχεν οὐδ' ὅγ' ἐθείρας
χρυσόλιθός κεν ἔην· ἀτὰρ ἐσθλώ φημι τετύχθαι.
ἐν γάρ σφιν μέγα δή τι φερέσβιος ἔμβαλε πνεῦμα
Ἠέλιος, ῥέζειν ἐρικυδέας αὐτίκα φῶτας
σεμνοτέρους τ' ἰδέειν· καί τοι σέβας ἔσσεται αὐτῶν.
αἶψα γὰρ ἡρώων σφιν ἐπέρχεται εἶδος ἀγαυόν,
οἵ κε θεοῦ μέγα δῶρον ἐπισταμένως φορέωσι.
Τόλμα δ' ἀθανάτους καὶ ἐνηέι μειλίσσεσθαι
μαγνήσσῃ· τὴν δ' ἔξοχ' ἐφίλατο θούριος Ἄρης,
οὕνεκεν, ὁππότε κεν πελάσῃ πολιοῖο σιδήρου,
ἠύτε παρθενικὴ γλαγερόχροα χερσὶν ἑλοῦσα
ἠίθεον στέρνῳ προσπτύσσεται ἱμερόεντι,
ὣς ἥγ' ἁρπάζουσα ποτὶ σφέτερον δέμας αἰεὶ
ἂψ πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστὰ σίδηρον.
ἤτοι μέν μίν φασι καὶ Ἠελίοιο πέλεσθαι
ἀμφίπολον κούρης, ὅτε κεν θέλγητρα παλύνῃ·
καί μιν ὑπερθύμοιο τεκοκτόνος Αἰήταο
κύδηνεν κούρη πολυμήχανος. αὐτὰρ ἔγωγε
σῆς ἀλόχου κέλομαί σε δαήμεναι, εἰ ἕθεν ἁγνὸν
ἀνδρὸς ἀπ' ἀλλοτρίοιο λέχος καὶ σῶμα φυλάσσει.

---

298 *κρύσταλλός κεν ἔην* Koene] *κρύσταλλον κενεήν.* — 299 *εἴκελος* Stephanus] *ἴκελος.* — 302 *ῥέζειν* Musgrave] *ῥοῖζον.* — *ἐρικυδέος αὐτίκα φωτός* codd., corr. Tyrwhitt. — 305 *οἵ κε* Hermann] *οἵ καί* (*οἵ τε*). — 307 *μαγνήσσῃ· τήν* Hermann] *μαγνησίτην* (*μαγνῖτιν*). — 309 *γλαγερόχροα* Abel] *γλαγόφρονα* (*γλαγόφρονι*). — An *τερενόχροα* scribendum? — 314 *παλύνῃ* Hermann] *παλύνει* (*παλύνοι*). — 315 *ὑπερθύμοιο* Dinner] *ὑπέρθυμος.* — *τεκοκτόνος* Lobeck] *τεκεοκτόνος* (*τεκεκτόνος*). — 318 *σῶμα* Pierson] *δῶμα.*

ἐς γάρ μιν κομίσας, ὑπὸ δέμνια κάτθεο λάθρῃ,
χείλεσιν ἀείδων θελξίμβροτον ἀτρέμας ᾠδήν·
ἡ δὲ κατακνώσσουσα καὶ ἠδέι περ μάλ᾽ ἐν ὕπνῳ,
ἀμφί σε χεῖρ᾽ ὀρέγουσα ποτιπτύσσειν μενεαίνει·
εἰ δέ ἑ μαχλοσύνῃσιν ἐλαύνοι δῖ᾽ Ἀφροδίτη,
ὑψόθεν ἐς γαῖαν τετανύσσεται ἐκπροπεσοῦσα.
καὶ δοιὼ μάγνησσαν ἀδελφειὼ φορεόντων,
θυμὸν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε·
καὶ λαοὺς ἀγορήνδε συναγρομένους ὀπὶ καλῇ
θέλξεις ἐν στήθεσσιν ἄγων μελιηδέα πειθώ.
καί τοι πολλά κεν ἄλλα δυνησόμενος καταλέξαι
θέσκελα τοῖο λίθοιο, τί τοι πλέον οὐρανιώνων
φθέγγωμαι; τῶν αἶψα καὶ ὑψόθι περ μάλ᾽ ἐόντων
ἦτορ ἐπιγνάμπτει καὶ ἐφέλκεται, ὄφρα κε σεῖο
ὦκα μάλ᾽, ὥστε τοκῆες, ἐέλδωρ ἐκτελέσωσιν.
ἀλλ᾽ ἤτοι τάδε μὲν καὶ ἐπαυτίκα πειρηθῆναι
πάντα μάλ᾽, ὅσσ᾽ ἀγόρευσα, παρέσσεται, εἴ κ᾽ ἐπὶ βωμὸν
ἔλθωμεν· καὶ γάρ τοι ἐπισπόμενός μοι ὅγ᾽ ἀνὴρ
ὤμοισι κρατεροῖσι λίθων φέρει αἰόλον ὕλην.
  Νῦν δ᾽ ἐπεὶ ἀτραπιτοῖο πολὺ πλέον ἄμμι λέλειπται,
σεῖο δ᾽ ἔτι κραδίην κλονέει μέγα δέργμα δράκοντος,
μάνθανε καὶ δολιχῶν ὄφεων μὴ δειδέμεν ἰούς.
τρῖψαι γὰρ λεπτὴν ὀφιῆτιδα κέκλεο πέτρην,
ἥν ποτέ τις κρατεροῖσι πεπαρμένος ἔλθῃ ὀδοῦσι,
καί μιν ἐφ᾽ ἕλκεϊ πάσσε· καὶ ἀτρεκὲς ἔσσετ᾽ ὄνειαρ.
σὺν δὲ καὶ ὀστρίτην οἴνῳ λίθον ἐντρίψαντας
ἀκρήτῳ κέλομαι πίνειν ὀδυνήφατον εἰδώς.
  Καὶ σέο, δαιμονίη, μεμνήσομαι αὐτίκα, πέτρη,
αὐτοκασιγνήτη πολιῆς καὶ ὁμώνυμ᾽ ἐχίδνης·
ἥ ῥά ποτ᾽ εἰναετῆ λώβην ἀμενηνὸν ἔθηκας

---

329 *καταλέξαι* Stephanus] *καταλέξω.* — 331 *φθέγγωμαι* Tyrwhitt] *φθέγγομαι.* — 336 *τοι* Tyrwhitt] *μοι.* — 337 *κρατεροῖσιν ἐων* (-*οῖσιν ἐών*) codd., corr. Tyrwhitt. — 340 *δειδέμεν* Tyrwhitt] *δειέμεν.* — 341 *τρῖψαι* Abel] *τρίψαι.* — 345 *ἀκρήτῳ* Gesner] *ἄκρητον.* —

ῥίμφα Φιλοκτήταο Μαχαονίης ὑπὸ τέχνης.
οὐ μέν πως κείνην Ποιάντιος ἔλπετο θυμῷ
νοῦσον ὑπεκφεύξεσθαι ἀταρτηρήν, ποθέων περ·
ἀλλ' ὅγ' ἀλεξικάκοιο μαθὼν παρὰ πατρὸς ἀρωγήν,
λᾶαν, ὅτις κ' ἀκέοιτο, βαλὼν ἔπι φάρμακα μηρῷ,
σεῦεν ἐπὶ Τρώεσσιν Ἀλεξάνδροιο φονῆα·
τόν ῥα μεθ' ὑσμίνην ἥκειν ποσὶν ἀρτεμέεσσι
Πριαμίδης Πάρις αὐτός, ἀποθνήσκων περ, ἀπίστει.
ἔκτανε δ' ἠπεροπῆα Πάριν Ποιάντιος ἥρως,
κεκλομένου Δαναοῖς Ἑλένου Τροίηνδε κομίσσαι
λοιγὸν ἀδελφειοῖο μιαιφόνον ἐκ Λήμνοιο.
τῷ γὰρ Ἀπόλλων Φοῖβος ἔχειν λίθον αὐδήεντα
δῶκε, σιδηρίτην νημερτέα· τόν ῥα βροτοῖσιν
ἥνδανεν ἄλλοισιν καλέειν ἔμψυχον ὀρείτην,
γυρόν, ὑποτρηχύν, στιβαρόν, μελανόχροα, πυκνόν·
ἀμφὶ δέ μιν κύκλῳ περί τ' ἀμφί τε πάντοθεν ἶνες
ἐμφερέες ῥυτίδεσσιν ἐπιγράβδην τανύονται.
ἤματα μὲν τρί' ἐφ' ἑπτὰ βίην Ἑλένοιο πέπυσμαι
θηλυτέρης τε λέχος φεύγειν καὶ κοινὰ λοετρά,
καὶ μίμνειν ἀμίαντον ἐδωδῆς ἐμψύχοιο·
ἀενάῳ δ' ἐνὶ πέτρον ἐχέφρονα πίδακι λούων,
φάρεσιν ἐν καθαροῖσιν, ἅτε βρέφος, ἀλδήσασκε,
καὶ θεὸν ὧς λιπαρῇσιν ἀρεσσάμενος θυσίῃσι,
λᾶαν ὑπερμενέεσσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.
ἐν καθαρῷ δὲ φάος μεγάρῳ λύχνοισιν ἀνάπτων,
χερσὶν ἑαῖς ἀτίταλλε θεουδέα πέτρον ἀείρων,
μητέρι νήπιον υἱὸν ἐοικὼς ἀγκὰς ἐχούσῃ.
καὶ σὺ δ', ἐπὴν ἐθέλῃς ὄπα δαιμονίην ἐπακοῦσαι,
ὧδ' ἔρδειν, ἵνα θαῦμα μετὰ φρεσὶ σῇσι δαείῃς·

---

353 κ' ἀκέοιτο Hermann] κε πίθοιτο (κε πύθοιτο). — 362 ἥνδανεν Stephanus] ἤνδανεν. — 365 ἐμφερέες Hermann] ἴκελοι. — 366 ἤματα Stephanus] ἥματα. — 370 καθαροῖσιν Abel ex Tzetza et epitome prosaica] μαλακοῖσιν. — 371 λιπαροῖσιν (sic) Musgrave] ἐπ' ἀρῇσιν. — 375 ἀγκὰς ἐχούσῃ Hermann] δὴ κατεχούσῃ. — 377 ἔρδειν Abel] ἔρδεν.

ὁππότε γάρ μιν πάγχυ κάμῃς ἐνὶ χείρεσι πάλλων,
ἐξαπίνης ὄρσει νεογιλοῦ παιδὸς ἀυτήν,
μαίης ἐν κόλπῳ κεκληγότος ἀμφὶ γάλακτι.
χρὴ δέ σε τετληῶτι νόῳ ἐπακουέμεν αἰεί,
μή πως ἠπεδανοῖο λυθεὶς ὑπὸ δείματος ἔξω
ἐκ χειρῶν οὐδάσδε βαλὼν χόλον αἰνὸν ὀρίνῃς
ἀθανάτων. τόλμα δὲ θεοπροπίην ἐρεείνειν·
πάντα γὰρ ἐξερέει νημερτέα. καί μιν ἔπειτα
πλησίον ὀφθαλμῶν, ὅτε κεν λήγῃσι, πελάσσας,
δέρκεο· θεσπεσίως γὰρ ἀποψύχοντα νοήσεις.
τῷδε μὲν Ἀτρείδῃσιν ἁλώσιμον ἔφρασε πάτρην
Λαομεδοντιάδης, φοιβήτορι λᾶι πιθήσας.
σοὶ δέ τι καὶ σθένος ἄλλο σιδηρίταο πιφαύσκω·
ἑρπετὰ γὰρ δὴ πάμπαν ὑποτρομέοντι ἔοικας.
σεῖο δ᾽ ἔχεν πολὺ μεῖζον ἀκοιμήτοιο νόοιο
δεῖμα Φιλοκτήτης, μεμνημένος αἰὲν ἐχίδνης.
τοὔνεκα Πριαμίδαο σαόφρονος οὔ ποτε νόσφιν
ἤθελεν ἔρχεσθαι, γουνούμενος, ὄφρα τιν᾽ εἴπῃ
θαλπωρήν, εἴ πέρ ποτ᾽ ἐπὶ χθόνα μητέρα θηρῶν
ἔρχηται, πῶς κεν πολιὸν γένος ἐκπροφύγῃσι.
τῷ δ᾽ ὅγε Λητοΐδην ἐπέων ἐπιμάρτυρα Φοῖβον
κικλήσκων ἀγόρευε, τὰ δὴ νῦν σοι καταλέξω.
  Εὖτέ με παῖδ᾽ ἐδίδασκεν Ἀκειρεκόμης ἀγορεύειν
μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι,
ψευδέα μή ποτε μῦθον ἐνισπέμεν ἀνθρώποισι.
τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τὰ ἕκαστα.
φράζεο νῦν, ἥρως ἑκατηβόλε, μῦθον ἐμεῖο.
  Αὐτὴ γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι
τίκτει καὶ κακότητα καὶ ἄλγεος ἄλκαρ ἑκάστου·
γαῖα μὲν ἑρπετὰ τίκτε, τέκεν δ᾽ ἐπὶ τοῖσιν ἀρωγήν·

---

380 *μαίης* Eschenbach] *φαίης*. — 381 *τετληῶτι* Schrader] *τετληότι*. — *ἐπακουέμεν* Abel] *αἰνέμεν*. — 383 *χειρῶν* Schrader] *χερός*. — *οὐδάσδε* Stephanus] *οὔδασδε*. — 388 *τῷδε* Hermann] *ὧδε*. — 392 *ἀκοιμήτοιο* Abel] *ἀκοίμητόν τε*. — 402 *ἐνισπέμεν* Nauck] *ἐνισπεῖν*.

ἐκ γαίης δὲ λίθων πάντων γένος, ἐν δ᾽ ἄρα τοῖσι
κάρτος ἀπειρέσιον καὶ ποικίλον· ὅσσα δύνανται
ῥίζαι, τόσσα λίθοι· μέγα μὲν σθένος ἔπλετο ῥίζης,
ἀλλὰ λίθου πολὺ μεῖζον· ἐπεὶ μένος ἄφθιτον αἰεὶ
γεινομένῳ μήτηρ καὶ ἀγήραον ἐγγυάλιξεν·
ἡ δὲ καταθνήσκει τε, μινυνθάδιον θαλέθουσα,
καὶ τόσον αὐτῆς κάρτος, ἐφ᾽ ὁππόσον ἔμπνοός ἐστιν·
εἰ δέ κ᾽ ἀποπνεύσῃ, τίς ἔτ᾽ ἐλπωρὴ παρὰ νεκρῆς;
ἐν μὲν δὴ βοτάναις ἄγυριν λυγρῶν τε καὶ ἐσθλῶν
δήεις, ἐν δὲ λίθοις ἄτην οὐ ῥεῖά κεν εὕροις.
ἤτοι ὅσαι βοτάναι, τόσσοι λίθοι. ἀλλὰ σύ γ᾽ ἥρως,
λᾶι σιδηρίτῃ πεφυλαγμένος, ἑρπετὰ πάντα
θαρσαλέως, εἰ καί τοι ὁμιλαδὸν ἀντιόωσιν,
ἔρχεσθαι διὰ μέσσα, κελαινῆς οὐκ ἀλεγίζων
λώβης. οὐ γὰρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων,
οὐδ᾽ εἴ κεν στείχοντος ἐνιχρίμπτοιντο πόδεσσιν.
οὐδὲ γὰρ οὐδὲ μένειν περ ἔτι προφανέντα δύνανται,
ἀλλὰ μετά σφισι θάμβος, ἐλαυνομένοισι δ᾽ ὁμοῖα
ἔσσονται. τὰ δὲ καί περ ἐναντίον ἀίξαντα,
ἂψ ὀπίσω παλίνορσα μεθερπύζειν μενεαίνει·
καί σφισιν ἐξαπίνης ῥόθος ἵσταται, οὐδέ τι πρόσσω
νίσσεται, ἀλλ᾽ ὀρέγοντα πέλας περιμήκεα δειρὴν
γλώσσῃσιν μεμάασι περισσαίνειν σκύλακες ὥς.
πολλάκι καὶ κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων
ἀμφὶ κυνηγεσίῃσι μένων ἐν τάρφεσιν Ἴδης
θηρητὴρ Εὔφορβος ἀρωγῇ τῇδε πεποιθώς.
δῶκα γὰρ ἀντομένῳ λίθον ἱερόν· οὐδ᾽ ὄφις αὐτῷ
ἐκ μάλα περ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη.
τέρπετο δ᾽ Εὐφόρβῳ περικαλλέι φέρτατος ἀνδρῶν

---

414 κάρτος Musgrave] καρπός. — 415 εἰ δέ Hermann] ἢν δέ. — 425 μετά σφισι Abel] μετὰ σφίσι. — 428 καί σφισιν Abel] καὶ σφίσιν. — 429 νίσσεται Ruhnken] νήχεται. — 430 περισσαίνειν Hermann] περισαίνειν. — 434 ἱερόν ed. Juntina] ἰρόν (ἱρόν). — οὐδ᾽ ὄφις Rzach] οὐδέ ποτ᾽.

αἰχμητὴς Μελάνιππος, ἀνεψιὸς ἐσθλὸς ἐμεῖο,
εἶδος ἀμώμητον καὶ ἐπ᾽ εἴδεϊ κάρτος ἄρειον
αἰζηοῦ ποθέων δουρικλυτοῦ, εὐπλοκάμοιο.
τοὔνεκα καὶ μετὰ θῆρας ἀλωμένου οὔ ποτε νόσφιν
ἔσθενεν Εὐφόρβοιο μένειν Ἱκετάονος υἱός·
ἀλλ᾽ αἰεὶ λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
καγχαλόων κούροιο μετ᾽ ἴχνια σύν τε κύνεσσιν
ἕσπετο σύν θ᾽ ἑτάροις ἔθελέν τέ οἱ οἶος ἕπεσθαι.
ἦ μέν κέν μιν πολλὰ πατὴρ μενέαινεν ἐρύκειν,
ἀσχαλόων ἑὸν υἷα φίλον θήρεσσι μάχεσθαι·
καὶ Πριάμοιο βίη μιν ἐρήτυεν· οὐδ᾽ ὅγε θυμῷ
πείθετ᾽, ἐπεὶ οὐκ ἐθέλεσκέ ποτ᾽ Εὐφόρβοιο λιπέσθαι.
ῥεῖά γε μὴν ἀέκοντα μέλας ἠρύκακεν ὕδρος,
νέρθεν ὑπὸ κνήμην ὀλεσίμβροτον ἰὸν ἐλάσσας·
τὸν μὲν ἔπειτ᾽ ὀλοὴ νόσος ἔλλαβεν, οὕνεκ᾽ ἔμελλεν
αὖθι λελείψεσθαι, τό ῥά μιν καὶ μᾶλλον ἔτειρεν.
οἰκτείρων δ᾽ ὀρέγοντα χέρας ποτὶ γούνατ᾽ ἐμεῖο,
αὐτοῦ τοῦδε λίθοιο διατρίψαντα κέλευσα
λεπταλέην ἄχνην ἐπιπασσέμεν ἕλκεϊ λυγρῷ·
καί ῥα μάλ᾽ αὐτίκα φῶτα κραταιὴ κάλλιπε νοῦσος.
τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀρείτην,
ὅστε καὶ οὐταμένοις ἄκος ἡρώεσσι κομίζει
καὶ στείρῃσι γυναιξὶ τεκεῖν φίλα τέκνα δίδωσι.
ποικίλα γὰρ θνητοῖσι λίθους ἔρδειν ἀγορεύω.
ὡς καὶ ἑῆς ποτε μητρὸς Ἀβαρβαρέης ἐπακούσας,
ἀνδρῶν εὖ μάλα νοῦσον ἐπισταμένης ἀκέσασθαι,

---

437 *αἰχμητής* Tyrwhitt] *αἰχμῆ· τήν* (*αἰχμητῇ τήν*). — 438 *ἀμώμητον* Hermann] *ἀμώμητος*. — *κάρτος* Eschenbach] *καρπός*. — *ἄρειον* Hermann] *ἀρείων*. — 440 *ἀλωμένου* Tyrwhitt] *ἁλωμένου*. — 441 *μένειν* Slothouwer] *φέρειν*. — 444 *οἱ* Hermann] *μιν*. — 445 *ἐρύκειν* Musgrave] *ἐρύσσειν*. — 448 *πείθετο· τίς κ᾽ ἐθέλεσκε τότ᾽* codd., corr. Hermann. — 449 *μήν* Stephanus] *μέν* (*μιν*). — 451 *ἔπειτ᾽* Hermann] *ἔτ᾽ ὤ*. — *ὀλοὴ νόσος ἔλλαβεν* Abel] *ὀλοΐστερος οὐ λάθεν*. — 460 *λίθους* O. Schneider] *θεούς*. — 461 *ἑῆς* Schrader] *ἐμῆς*. — *ποτε* Abel] *ποτέ*.

Βουκολίδης Εὔφορβος ἀγανοῦ φάσκεν ὀφίτου
φάρμακα μὴ μούνων ὄφεων κατένωπα δύνασθαι,
ἀλλὰ καὶ ὀφθαλμοῖσι φέρειν φάος ἠδὲ βαρεῖαν
ἐκ κεφαλῆς ἕλκειν ὀδύνην. ἤδη δέ τιν᾿ ἀνδρῶν
οὔασι δηθύνοντα καθῆρας ὤπασεν αἶψα
καὶ δὴ καὶ λεπτῆς ἐριήκοον ἔμμεν αὐτῆς.
ἤδη καί τινα φῶτα χόλῳ χρυσέης Ἀφροδίτης
ἔργα πρὸς ἱμερόεντα γάμων ἀμενηνὸν ἐόντα
μεμνῆσθαι φιλότητος ἀκεσσάμενος προΐαλλεν.
ἐν πυρὶ δ᾿ εἴ κε βάλῃς μιν, ὀδωδὴν ἑρπετὰ τοῖο
φεύξεται, οὐδ᾿ ἔτι πω μενέει σχεδόν, οὐδ᾿ ἐνὶ χειῇ.
  Φεύγει καὶ κνίσσῃσι γαγάτην ὀρνυμένῃσι,
τείροντα θνητοὺς ἐχεπευκέι πάντας ἀυτμῇ.
χροιὴν δ᾿ αἰθαλόεις, πλατύς, οὐ μέγας ἔπλετ᾿ ἰδέσθαι,
καρφαλέῃ δ᾿ ἴκελον πεύκῃ φλόγα δῖαν ὀρίνει.
ἀλλ᾿ ὀλοὸν ποτὶ ῥῖνας ἄγει μένος· οὐδέ τι φῶτες
λήσονθ᾿ ὧν κ᾿ ἐθέλοις ἱερὴν ἀπὸ νοῦσον ἐλέγξαι.
γνάμπτει γάρ σφεας αἶψα χαμαὶ προπρηνέας ἕλκων·
οἱ δ᾿ ἄρ᾿ ὑπὸ σφετέρου πεπαλαγμένοι ἀφλοισμοῖο
στρωφῶντ᾿ ἔνθα καὶ ἔνθα κυλινδόμενοι κατὰ γαῖαν.
τοῖσι δὲ χωομένη φρένα τέρπεται, ὁππότ᾿ ἴδῃσι
πήματα πάσχοντας κεραὴ πόδας ὠκέα Μήνη.
θηλυτέρη δ᾿ εἴ κεν πολυφάρμακον ἀμφιβεβῶσα
καπνὸν ὑπὸ σπλάγχνοισιν ἀναΐσσοντα δέχηται,
ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχώρ,
ὅστε γυναικοφόνος νεάτῃ μίμνων ἐνὶ γαστρὶ
κέκληται. τότε δ᾿ αὖτις ὑπὸ πνοιῇσι λίθοιο
δερκομένη γάνυταί τις ἑῆς θολὸν ἐκβλύζοντα
νηδύος· ἐκ γὰρ νοῦσον ἀπειρεσίην ἀλεείνει.

---

464 μούνων Schrader] μοῦνον. — 469 χρυσέης Hermann] χρυσῆς. — 472 βάλῃς Hermann] βάλοις. — 473 οὐδ᾿ ἔτι Stephanus] οὐδέ τι. — 477 ἴκελον Wiel] ἴκελον. — 478 φῶτες Abel] φῶτας. — 480 γάρ σφεας Abel] γὰρ σφέας. — 481 ὑπό Wiel] ἀπό. — ἀφλοισμοῖο Hermann] ἄφαρ οἴμοιο. — 489 αὖτις Hermann] αὐτόν. — 490 τις ἑῆς Abel] τισέ η (ἄφαρ). — θολόν Bernard] σόλον (δόλον).

ἄλλα τε πόλλ' ἐπὶ τοῖσι γαγάτην θέσκελα ῥέζειν
οἶδα· σὲ δὲ κνίσσῃσιν ἐλαύνων ἑρπετὰ τέρψει.
Σκορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἔμμεναι ἥρως
ἀγλαὸς Ὠρίων οὐκ ἔκλυεν· ἦ γάρ, ὀίω,
πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσι,
μᾶλλον σφωιτέρων κεν ἔχειν ἐθέλεσκέ μιν ἄστρων.
Οὐδ' ὅγε κορσήεντα λίθον κλύεν, οὕνεκα μιχθεὶς
δριμέι σὺν σκορόδοιο καρήατι, τοξευτῆρα
πευκεδανῶν ὤκιστα βελέμνων σκορπίον εἴργει.
τὸν μὲν ἐγὼ κόρσῃ μάλ' ἐοικότα φημὶ βροτείῃ
παύειν, ὀξυτάτῳ τετριμμένον ἄμμιγα Βάκχῳ,
ἀμφίπολον θανάτοιο κελαινῆς ἀσπίδος ἰόν.
μέτρῳ δ' ὅς κεν ἴσῳ μίξῃ ῥοδόεντος ἐλαίου,
κόψας ἐκ πυρὸς ὀπτόν, ἐν αὐχενίαις ὀδύνῃσιν
ἄλκαρ ἄγει· μέλιτος δὲ μετὰ γλυκεροῖο κερασθεὶς
ὕδατος ἀτηρὴν ὀλέκει κατὰ γαστέρος ἰλύν,
ἥτε καταΐγδην ὑπὸ νέρτερα νηδύος ἀνδρῶν
δυομένη φέρει ὄγκον ἀεικέα βουβώνεσσιν.
Ἴσθι δ' ἀμαλδύνειν σκορπήια κέντρα δύνασθαι
καὶ Περσηιάδαο μένος μέγα κουραλίοιο
ἠδὲ παλαμναίην ἀνεμώλιον ἀσπίδα θεῖναι.
τοῦδε δέ μοι πάντων περιώσιον, ὅσσα φύονται,
Φοῖβος ἀκειρεκόμης φύσιν ἔμμεναι ἐξ ἑτέροιο
μυθεῖτ' εἰς ἕτερον στρωφωμένου εἶδος· ὅ τίς τοι
ψεῦδός κεν φαίῃ· τὸ δ' ἐτήτυμον οἶδα τετύχθαι.
χλωρὴ γὰρ βοτάνη πρῶτον φύει, οὐδ' ἐνὶ γαίῃ,
ἥν γε φυτῶν ἴσμεν στερεὴν τροφόν, ἀλλ' ἐνὶ πόντῳ
ἀτρυγέτῳ, ἵνα φῦκι', ἵνα βρύα γίνετ' ἐλαφρά.

---

497 κεν ἐκεῖνα θελεσκέμεν ἄστρων codd., corr. Tyrwhitt. — 498 κορσήεντα vir doctus in Bibl. philol. Gottingensi vol. II. p. 205 sqq.] κορσίεντα (κορσιόεντα). — 499 δριμέι σύν Wiel] δριμέος ἐν. — 500 πευκεδανῶν Bernard] ἠπεδανῶν. — 504 μίξῃ Hermann] μίξει. — 507 ἰλύν Schrader] ὕλην. — 515 στρωφωμένου Gesner] στρωφώμενον (-μενος). — 516 οἶδα τετύχθαι Hermann] ἄρα τέτυκται (ἄρα τετύχθαι).

αὐτὰρ ἐπεί κ' ἔλθῃσι μαραινομένη ποτὶ γῆρας,
ἤτοι μέν οἱ φύλλα περιφθινύθουσιν ὑφ' ἅλμης·
αὐτὴ δ' ἐν βένθεσσιν ὑπὸ φλοίσβοιο θαλάσσης
νήχεται, ὄφρα ἑ κύματ' ἀποπτύσῃ αἰγιαλόνδε.
ἔνθα δ' ἄρ' ἐξαπίνης μιν ἀναπλησθεῖσαν ὑπ' αἴθρης
βάζουσ', οἵ περ ἴδοντο, κρατυνομένην ὁράασθαι.
δηρὸν δ' οὐ μετέπειτα πάγῳ περιπαχνωθεῖσα
πετροῦται, καὶ χερσὶν ἐν ὀκριόεντα τεῇσιν
ἀμφαφάεις λίθον, ὃς πρὶν ἔχων ὑγρὸν δέμας ἦεν.
σχῆμα μὲν οὖν βοτάνης ἔτι οἱ μένει, οἷον ἔην περ,
οἵ τε κλάδοι, ὅσα τέ σφιν ἀκρόδρυα προσπεφύασιν,
ἥ τέ οἱ ἐβλάστησε καὶ ἐτράφη εἰν ἁλὶ ῥίζα,
φλοιός θ' ὅσπερ ἔην· φλοιὸς δέ γε λάινός ἐστι.
τερπωλὴ δ' ἡδεῖα θεωμένου ἐς φρένα σεῖο
βήσετ'· ἐγὼ δ' οὐκ οἶδα, τί μοι θέλγητρον ἰδόντι
αἰὲν ἐπὶ πραπίδας καταλείβεται· οὐδὲ δύνανται
ὄσσε κορεσθῆναι θηευμένου, ἀλλά με θάμβος
σεύεται ἐν στέρνοισιν ὀιόμενον τέρας εἶναι·
καί οἱ πιστεύων περ ἔολπά μιν εἶναι ἄπιστον.
ἀλλ' οὐ Γοργείην μὲν ἐτώσιος ἀνθρώποισι
σμερδαλέην κεφαλὴν φάτις ἔμμεναι· οὐδ' ἄρα Περσεὺς
ὠκυπέτης πέλεται ψευδὲς τέρας ἡγήσασθαι.
Γοργόνα γὰρ Περσῆι δρακοντοέθειραν ἀκούεις
Ἄτλαντος νεάτοισιν ὑπὸ κρημνοῖσι δαμῆναι,
παρθένον ἀργαλέην, ἐρεβώπιδα, κῆρα μέλαιναν
ἀνθρώπων, οἷσίν κεν ἐπ' ἀνδροφόνω βάλεν ὄσσε·
οἵ μιν δεῖμα πέλωρον ἀάσχετον ἀθρήσαντες
αἴσῃ λαϊνέῃ τεθνηότες ἑστήκασι.

---

524 ἀναπλησθεῖσαν ὑπ' αἴθρης Abel] ἀναπτεύσασαν (ἀναπνεύσασαν) ὑπ' αἴθρην. — 527 ἐν ὀκριόεντα Tyrwhitt] ενοκρινθέντα. — 528 ὃς πρὶν Hermann] πρίν δ' (ὃ πρίν). — 531 ἥτε οἱ Stephanus (corr. Hermann)] ἢ οἶτ'. — 532 δέ γε Hermann] κεν. — λάινός ἐστι Stephanus] λάινος ἐστί. — 534 οἶδα τί Wiel] οἶδ' ὅτι. — 536 θηευμένου Hermann] θειομένου (θεωμένου). — 539 ἀλλ' οὐ Hermann] ἀλλά (ἀλλά τε). — ἐτώσιος Hermann] ἐτώσιον. — 542 Περσῆι Tyrwhitt] περσηίδα.

τὴν δ' οὔτ' εὐρύστερνος ἐναντίον Ἀτρυτώνη
δέρκεσθαι μενέαινεν, ἀδείμαντός περ ἐοῦσα,
οὔτε κασιγνήτῳ κέλετο, κρατερόφρονι φωτί,
χρυσογόνῳ Περσῆι φονευομένην περ ἰδέσθαι,
ἀλλὰ δόλῳ θήρειον ἀφήρπασεν αὐχένα κούρης,
ἦκα μάλ' ἐξόπιθεν γαμψώνυχον οὐ προϊδούσης
ἀμφιβαλὼν ἅρπην Κυλληνίδα λευκανίῃσι.
τῆς δ' ἄρα καὶ φθιμένης περ ὀλέθριος ἔσκεν ὀπωπή,
καὶ στυγεροῦ Κρονίδαο μολεῖν ὑπὸ δῶμα κελαινὸν
πολλοῖς αἴσιμον ἔπλετ' ἐναιρομένοις ὑπὸ νεκρῆς.
ἀλλὰ τότ' αἰγιαλόνδε φόνῳ πεπαλαγμένος ἥρως
ἐλθών, εἰσόκε λύθρον ἀποπλύνειε θαλάσσῃ,
θερμὴν ἐξ ὁμάδου κεφαλὴν ἔτι καὶ τρομέουσαν
Γοργείην κατέθηκεν ἐπὶ χλοεραῖς βοτάνῃσιν.
ὄφρα δ' ὅγ' ἐν δίνῃσιν ἀναψύχεσκε θαλάσσης,
στείχων ἔκ τ' ὀλοοῖο πόνου δολιχῆς τε κελεύθου,
τόφρα δὲ πορφυρέοιο διαινόμενοι κορέσαντο
αἵματος οἵ ῥα κέχυντο χαμαὶ ὑπὸ κράατι θάμνοι.
ἀμφὶ δ' ἄρα σφίσιν αἶψα θοαὶ πόντοιο θύγατρες
λύθρον ἐπεσσύμεναι θάμνοις περιπήγνυον αὖραι·
πήγνυτο δ' ὥστε σε πάγχυ λίθον στερεὴν ὀίσασθαι·
οὐδ' ἔτ' ἔην ὀίσασθαι, ἐπεὶ στερεὴ λίθος ἦεν.
ἐκ δ' ὄλεσεν βοτάνης ὑγρὸν δέμας· ἀλλὰ καὶ ἔμπης
ὀλλυμένης πάμπαν βοτάνης οὐκ ὤλεσεν εἶδος.
τὴν μὲν ἄρα χροιὴν ἐξ αἵματος ἔσχεν ἐρυθρήν,
ἀμφασίη δ' ἥρωα λάβε θρασύν, ὡς ἐνόησεν
ἐξαπίνης μέγα θαῦμα· τὸ καὶ πέλας αἶψα κιοῦσα
διογενὴς πολύμητις ἐθαύμασεν Ὀβριμοπάτρη.
θῆκε δ', ἀδελφειοῦ κλέος ἄφθιτον ὥς κε πέλοιτο,

V. 550 ante Tyrwhittum post v. 551 legebatur. — 552 *ἀφήρπασεν* Wiel] *ἀφάρπασεν.* — 553 *ἐξόπιθεν* Stephanus] *ἐξόπισθε(ν).* — 562 *δ' ὅγ' ἐν* Stephanus] *δ' ὅγε.* — 566 *σφίσιν* Schrader] *σφιν.* — 568 *πήγνυτο* Abel] *πήγνυντο (πήγνυον).* — 569 *οὐδ' ἔτ' ἔην* Abel] *οὐδ' ἐτεήν (οὐδέ τ' ἔην).* — 571 *ὀλλυμένης* Hermann] *οὐλομένης.*

αἰεὶ κουράλιον προτέρην φύσιν ἀλλάσσεσθαι.
ἐν δὲ βίην οἱ δῶκεν ἀπειρεσίην Ἀγελείη,
φῦλα φυλασσέμεναι κρυερὴν ἐς δῆριν ἰόντα,
ἢ δολιχὴν ἕρπων ἐς ἀταρπιτὸν εἴ μιν ἔχει τις,
ἢ πεζῶν ἄλα δῖαν ἐυσσέλμῳ ἐνὶ νηί.
καὶ γὰρ Ἐνυαλίοιο θοὸν δόρυ μαινομένοιο
καὶ λόχον ἀνδροφόνων φεύγειν ἄπο ληιστήρων,
καὶ πολιὸν Νηρῆα κυκώμενον ἐξυπαλύξαι
ἐσθλὴ κουραλίοιο βίη θνητοῖσιν ὀπάσσει.
γλαυκὴν δ᾽ ἐγρεκύδοιμον ἀταρβέα Τριτογένειαν
σφωιτέρων καμάτων ἐπαμύντορα κικλήσκουσι.
φάρμακα δ᾽ ὅσσα πέλονται ἀτάσθαλα καὶ κατάδεσμοι
ἀραί τ᾽ ἀγνάμπτοισιν Ἐριννύσι πάγχυ μέλουσαι,
εἴτε μύσος κεύθων οἰκοφθόρον οὐκ ἐνόησεν
ἀνήρ, εἴθ᾽ ὅσα λύματ᾽ ἐπὶ σφίσιν ἠδ᾽ ἐπαοιδὰς
σχέτλιοι ἀλλήλοισι μεγαίροντες τελέουσι,
πάντων ἀντίλυτρον δήεις κρατερώτατον εἶναι.
κόψας δὲ σπείρειν ξανθῇ Δημήτερι μίσγων,
καί τοι λοιγὸν ἅπαντα τεῆς ἀπάτερθεν ἀρούρης
αὐχμούς τ᾽ ἐξελάσει σταχύων γλάγος ἐκπίνοντας
ἀτηρήν τε χάλαζαν, ἀπειρεσίοισι βελέμνοις
ἀγρῷ τραῦμα φέρουσαν ἀμήχανον ἐξακέσασθαι,
βρωτήρων τ᾽ ἐπὶ τοῖσι γένος πάντων ἀλαπάξει,
εὐλάς τε κάμπας τε καὶ αἰθερίην ἐρυσίβην,
ἥτε κατ᾽ οὐρανόθεν πταμένη ποτὶ καρπὸν ἐρυθρὴ
ἀμφὶ περὶ σταχύεσσι περισμύχουσα κάθηται.
ἔκ τε μυῶν ἀγέλας, ἔκ τ᾽ ἀκρίδος ἄπλετον ἔθνος
ῥαίσει, καὶ Κρονίδαο παραΐσσουσι κεραυνοί,
παιδὸς ἑοῦ κλέος ἔρξαι ἐτώσιον ἀζομένοιο.
κεῖνο πολὺ πρώτιστον ἀνερχόμενος περάτηθεν

---

581 *ἐυσσέλμῳ* Stephanus] *ἐυσέλμῳ.* — 583 *λόχον* Ruhnken] *χόλον.* — *ἀνδροφόνων* Bernard] *ἀνδριφόνον* (*ἀνδροφόνον*). — 586 *γλαυκήν* Stephanus] *γλυκήν* (*γλυκύν*). — 593 *ἀντίλυτρον* Stephanus] *ἀντίλυτον.* — 605 *ἔρξαι* Abel] *ἔρξ᾽* (*οὗτοι*). — 606 *ἀνερχόμενος* Tyrwhitt] *ἀνερχομένοις.*

κουράλιον θνητοῖσι φέρων πόρεν Ἀργειφόντης.
τύνη δ᾽ ἀκρήτοιο μετ᾽ οἴνου πινέμεν αἰεὶ
μέμνεο πευκεδανῆς ἕνεκ᾽ ἀσπίδος, ὥσπερ ἔειπον.
  Καὶ πολυειδέα πῖνε μετ᾽ ἀκρήτου Βρομίοιο
μορφὴν παντοίην ἐπιειμένον ἐσθλὸν ἀχάτην.
πολλὰ μὲν οὖν ῥέα γ᾽ ἐστὶν ἀχάτου χρώματ᾽ ἰδέσθαι·
ἐν γάρ οἱ δήεις ῥόων ὑάλωπιν ἴασπιν
σάρδιά θ᾽ αἱματόεντα καὶ αἰγλήεντα μάραγδον.
ἐν δ᾽ ὅ γε μιλτοπάρῃος· ἀτὰρ καὶ χαλκὸν ἐν αὐτῷ
δήεις καὶ χροιὴν ἐαροτρεφέος μήλοιο.
ἀλλ᾽ οἷος πάντων προφερέστατος, εἴ κέ μιν εὕρῃς
εἶδος ἔχοντα δαφοινὸν ἀμαιμακέτοιο λέοντος·
τῷ καί μιν προτέροισι λεοντοδέρην ὀνομῆναι
ἥνδανεν ἡμιθέοισι, κατάστικτον σπιλάδεσσι
πυρσῇσιν λευκαῖς τε, μελαινομέναις χλοεραῖς τε.
τὸν δ᾽, εἰ σκορπείην ὀλοφυρόμενός τις ἀκωκὴν
ἔλθοι, ἀερτάζειν περὶ ἕλκεϊ κέκλεο λυγρῷ
ἤ μιν ἐπιπλάσσειν· ἀπὸ γὰρ μινύθουσιν ἀνῖαι.
ἱμερτόν τε γυναιξὶ δυνήσεαι ἀνέρα θεῖναι,
καὶ θέλξεις μύθοισι βροτούς, καὶ πάντα κομίζων
ὅσσα κεν αἰτήσειας ἀφίξεαι οἴκαδε χαίρων.
καὶ νούσῳ κάμνοντα σαωθῆναι θέμις ἐστίν,
ὅς μιν ἐνὶ σφετέρῃσι λαβὼν χείρεσσι κατάσχῃ·
εἰ δὲ Ζεύς τοι τόν γε βιωσέμεν ἀρνήσηται,
ἀλλὰ νόει σὺ τεῇσιν ἐνὶ φρεσίν, οὕνεκεν αὐτῷ
ῥῆξε λίνον Κλωθώ· τὸ δέ κ᾽ ἔρχεται ὕστατον ἦμαρ.
  Εἰ δὲ πυριφλεγέθων ἑτερήμερος ἄνδρα θαμίζων
ἢ κρυερὸς μάρπτων πυρετὸς παραδηθύνῃσιν,

---

610 ἀκρήτοιο βρόμοιο codd., corr. Stephanus. — 617 εὕρῃς Hermann] εὕροις. — 620 ἥνδανεν Stephanus] ἥνδανεν. — 621 πυρσῇσιν Hermann] πυρσαῖσιν. — 624 ἐπιπλάσσειν Abel] ἐπιπάσσειν. — ἀνῖαι Abel] ἀνίαι. — 625 δυνήσεαι Musgrave] δυνήσεται. — 630 εἰ δὲ Ζεύς τοι Hermann] δίζεσθ᾽ οὔτοι. — 631 ἀλλὰ νόει Hermann] ἀλλ᾽ ἃ νοεῖς (ἀλλὰ νοεῖς). — 633 εἰ δέ Stephanus] οὐδέ. — 634 παραδηθύνῃσιν Wiel] παρ᾽ ἅδην (παρ᾽ ἅδην θείησι).

ἠὲ τεταρταίης πῆμα βραδύ, μή ποτε λήγειν
βουλομένης, ἀλλ᾽ αἰέν, ὅπῃ πελάσῃσι, μενούσης,
τόνδε σύ γ᾽ ἰᾶσθαι δι᾽ ἀμύμονος ἀντιαχάτου·
οὗτος γὰρ πυρετῶν πολὺ φέρτερος. αἶψα δὲ σῆμα
ἐξερέω, τό περ ὦκα βίην δείκνυσι λίθοιο.
ἐν γάρ μιν κεράεσσι βαλὼν μέσον ἑψομένοισι,
τυτθὸν ἀνασχέσθαι· τὰ δὲ τήκεται ἔνδοθι πάντα.
  Οὐ μέν τοι καὶ τόνδε πρὸς ἑρπετά φημι δύνασθαι,
ἀλλ᾽ ἕτερον δώσω χατέοντί τοι ἰητῆρα
οὐρανόθεν γεγαῶτα· σὺ δ᾽ ἐν φρεσὶ βάλλεο μῦθον.
εὖτε γὰρ αἰγλῆεν σφέτερον δέμας εὐρύστερνος
Οὐρανός, ὠμηστῆρος ὑπαὶ παλάμῃσι Κρόνοιο
δῃωθεὶς εἴλιξεν ἀπειρεσίην ἐπὶ γαῖαν,
αἰθέρος ἐκ δίης πεσέειν οὖδάσδε μενοινῶν,
ὄφρα κε πάντ᾽ ἀίδηλα πολύτροχον ἀμφιπετάσσας
νῶτον ἑὸν τεύξαι, μηδ᾽ Οὐρανοῦ ἀστερόεντος
θυμὸν ἀνιήσας Κρόνος οὐρανὸν εἰσέτι ναίοι·
δή ῥα τότ᾽ ἀμβροσίοιο κατειβόμεναι φορέοντο
αἵματος ὠτειλῆθεν ἐπὶ τραφερὴν ῥαθάμιγγες,
τὰς οὐ μόρσιμον ἦεν ἀπ᾽ ἀθανάτοιο κιούσας
σώματος ὄλλυσθαι· μενέμεν δ᾽ ἐριβώλακι Μοῖραι
ἐν γαίῃ προγόνοιο θεῶν σόον αἷμα κέλοντο.
μεῖνε μὲν οὖν, αὖον δὲ πυρίγληνοι θέσαν ἵπποι
Ἠελίου· καί κέν τις ἐπιψαύων ἐρίσειε
λᾶαν ἔχειν ἐνὶ χερσίν, ἔχοι γε μὲν αἷμα πεπηγός.
ἐν γάρ οἱ χρὼς αὐτὸς ἐτήτυμον αἱματός ἐστιν,
ἐν δὲ καὶ ὕδατι ῥεῖα δαμασθεὶς ἀτρεκὲς αἷμα
γίνεται· αἱματόεις δὲ καὶ οὔνομα λᾶας ἔτ᾽ ἀνδρῶν

---

637 ἀντιαχάτου Abel] ἄντι᾽ ἀχάτου (αὐτίκ᾽ ἀχάτου). — 638 οὗτος Tyrwhitt] οὔτις. — πυρετῶν Slothouwer] προτέρων. — 647 εἴλιξεν Stephanus] ἔλλιξεν (ἔλεξεν, ἕλιξεν). — 648 οὖδάσδε Stephanus] οὖδασδε (οὖδας δέ). — 650 τεύξαι Abel] τεύξοι (τεύξει). — 657 μεῖνε μέν Stephanns] μεινέμεν. — 659 γε μέν Abel] γέ μεν (δέ μιν). — 660 αἱματός ἐστιν Stephanus] αἵματος ἐστίν. —

ἐκ προτέρων κέκληται· ἀκήρατα δ' οὕνεκ' ἔοικε
φάρμακ' ἔχειν, νημερτὲς ἀπόρροιάν μιν ἀοιδοὶ
οὐρανίην κλείουσιν ἐς ἀνθρώπους ἀφικέσθαι.
οὐ γὰρ ὅ γ' οὔτε νέην ἐθέλει θνητοῖσιν ὀϊζὺν
ἔρχεσθαι ποτὶ ὄσσε, παλαιοτέρην δ' ἀπερύκει
πινόμενος λευκοῖο μετὰ γλάγεος· κεράσας δὲ
ἰχῶρι σφετέρῳ γλυκερὸν μέλι, τὸν δὲ δαμάσσας
* * *
ἐκ βλεφάρων ἀπὸ πᾶσαν ἄγει νόσον· ἀσχαλάᾳ γὰρ
εἴργεσθαι θνητοὺς ὁράαν ἐρατεινὰ πρόσωπα
πρεσβυτάτου μακάρων ἀστροβλεφάρου βασιλῆος.
καὶ γλήνῃσι τεῇσιν, ὁμιλήσας κυλίκεσσιν
* * *
ἀνέρος αἰδοίων ἄκος ἔσσεται, ὅς κε πίῃσι.
καί μιν ἐγὼν Αἴαντι δαΐφρονι πόλλ' ἐπέτελλον,
ἔντεσι δῆριν θεῖναι ἀμύμονος ἀμφ' Ἀχιλῆος
ἑσσυμένῳ, νίκης ἐπαρηγόνα χειρὶ κομίζειν.
καί κεν Ὀδυσσῆος ταλασίφρονος ἀντίον αὐτῷ
κῦδος Ἀθηναίη περ ἑλέπτολις ἐγγυάλιξεν·
ἀλλ' οὔ οἱ μοῖρ' ἔσκε παραιφαμένοιο πιθέσθαι·
τοὔνεκα θεσπέσιόν μιν ἀνὴρ ἀθέριζεν ὄνειαρ,
λάζετο δ' οὐλοὸν ἆορ. ἀτὰρ σύ γε τοῖο μὲν αἶσαν
ἅζεο, πρὸς δὲ μέλαιναν ὀλισθηροῖο γενέθλην
ἑρπετοῦ αἱματόεντα δαεὶς λίθον, αἰὲν ἑταίρους
πινέμεναι νύμφαις ἐνὶ νηιάδεσσι κέλευε.
καὶ μὲν ἐγὼ λαιψηρὸν ἐμὸν θεράποντα Δόλωνα
αὐτοκασιγνήτῳ μεμαὼς φίλον Ἕκτορι θεῖναι,
πρόφρων ὤπασα λᾶαν Ὀλύμπιον αἰτήσαντι·
αὐτὰρ ὅ γ' ἐξαπίνης Τρώων προπάροιθεν ἁπάντων

---

663 οὕνεκ' ἔοικεν (sic) Hermann] ὡς ἐπέοικε. — 664 ἔχειν Hermann] ἔχει (ἔχοι). — μιν Hermann] κεν. — 665 κλείουσιν O. Schneider] καλέουσιν. — 668 δέ Hermann] τε. — 669 γλυκερὸν μέλι, τὸν δὲ δαμάσσας Abel] γλυκερὸν μελίτην δε δανάσσας (γλυκερῷ μέλιτι δὲ διάνας). — Lacunae signa Abel posuit. — 673 γλήνῃσι Hermann] γλήναισι. — Lacunae signa Abel posuit. — 682 ἆορ Stephanus] ἄορ.

Ἕκτορι Πριαμίδῃ κεχαρισμένος ἔπλεθ᾽ ἑταῖρος.
τοῖο δ᾽ ἕκητί μ᾽ ἐκεῖνος ἀμοιβήδην ἀρέσασθαι
ἱέμενος, λιπαραῖον ἐπίκλησιν παρὰ πατρὸς
ὤπασεν ἀφνειοῖο λαβὼν λίθον, ὅν ποτ᾽ ἄρ᾽ αὐτὸς
ἐλθὼν Ἰλιόθεν κρατερὸν μετὰ Μέμνονα κῆρυξ,
σήματ᾽ ἐμεῖο πορόντος ἀνευρὼν Ἀσσυρίηθεν
χρυσοῦ τιμήεντος ἀρείονα δεῦρο κόμισσε,
μυρία κεῖθι μάγοισι πορὼν πολυΐδμοσι δῶρα.
εἰ δ᾽ ἄγε δέχνυσο μῦθον· ἐγὼ δ᾽ ἐδάην, τά κε λέξω.
Πρῶτα μὲν οὖν σπένδοντας ἀναιμάκτων ἐπὶ βωμῶν
— οὐ γὰρ ἄγειν θέμις ἐστὶ θυηλὴν ἐμψύχοιο —
Ἥλιον εὐρύοπα κλήζειν ὕμνοισιν ἄνωγα
καὶ χθόνα πίειραν, πάντων τροφὸν οὐθατόεσσαν.
δεύτερον αὖτ᾽ αἴθωνος ὑπὲρ λίθον Ἡφαίστοιο
τήκειν, ἡδείῃ ταναοὺς θέλγοντα δράκοντας
ὀδμῇ, τὴν ἄρα κεῖνοι ἀνερχομένην ἐσορῶντες,
σπερχόμενοι ποτὶ βωμόν, ἀολλέες ἐκπρομολόντες
χηραμόθεν, ῥώονται ἐφερπύζοντες ἅπαντες.
αὐτὰρ ἔπειτα λίνοιο νεόπλυτα φάρεα κοῦροι
ἑσσάμενοι τρεῖς, ὀξὺ φέρων ἄμφηκες ἕκαστος
ἆορ, ἀναρπάζειν ὄφιν αἰόλον, ὅς κε μάλιστα
κνίσσης ἱμείρων πυρὸς ἐγγύθι δινεύῃσι.
τοῦ δὲ διαμελεϊστὶ δαϊζέμεν ἐννέα μοίρας·
τρεῖς μὲν ἐπὶ κλῆσιν πανδερκέος ἠελίοιο,
τρεῖς δ᾽ ἑτέρας γαίης ἐριβώλου λαοβοτείρης,
τρεῖς δὲ θεοπροπίης πολυΐδμονος, ἀψεύστοιο·
τὰς δὲ λέβης κεράμοιο τετυγμένος αἱματοέσσας
δεξάσθω· καὶ δῶρον ἐλάινον Ἀτρυτώνης
ἠδὲ μέθυ Βρομίοιο καλεσσιχόρου καταχεύειν,
ἐν δ᾽ ἅλας ἀργεννοὺς βαλέειν, θεράποντας ἐδωδῆς·

---

690 *Πριαμίδῃ* Hermann] *πατρί τ᾽ ἐμῷ*. — 701 *ὕμνοισιν* Stephanus] *ὑμνοῖσιν* (*ὑμνοῦσιν*). — 707 *ῥώονται* Hermann] *ὀρόωνται*. — 710 *ἆορ* Stephanus] *ἄορ*. — 712 *δαϊζέμεν* Nauck] *δαΐζειν*. — 715 *ἀψεύστοιο* Musgrave] *ἀψαύστοιο*.

ἐν δέ σφιν καὶ δριμὺν ἐπήλυδα κόκκον ἄνωγα
μῖξαι ῥυσοχίτωνα, μελαγχροίην, ἐρίτιμον·
ἐν δὲ καὶ ὅσσα περ ἄλλα μετ᾽ ἀλλήλοισι μιγέντα
ἵμερον ἐσπέμπουσιν ἐδητύος ἀνθρώποισιν.
ὄφρα δ᾽ ἐνὶ τρίποδος κρέα γαστέρι δάμνατ᾽ ἐόντα,
τόφρα δὲ κικλήσκειν μακάρων ἄρρητον ἑκάστων
οὔνομα. τέρπονται γάρ, ἐπεί κέ τις ἐν τελετῇσι
μυστικὸν ἀείδῃσιν ἐπώνυμον οὐρανιώνων.
ἀρᾶσθαι δὲ Μέγαιραν ἀπόπροθι παφλάζοντος
σευέμεναι τρίποδος κακομήχανον· ἐς δ᾽ ἄρα τούς γε
πνεῦμα διιπετὲς ἔνδον ἄγειν ἱερὰς ἐπὶ μοίρας.
ὁππότε δ᾽ ἑψομένοισιν ἐπὶ κρεάεσσιν ἵκηται,
δαίνυσθαι τότ᾽ ἔπειτα κορέννυσθαι μεμαῶτας
αὐτόθεν ἐκ τρίποδος· τὰ δὲ λείψανα γαῖα καλύπτοι·
καί σφιν ἐπισπεῖσαι λευκὸν γάλα καὶ μέθυ ἡδὺ
καὶ λίπ᾽ ἐπήρατον ἠδὲ μελίσσης ἄνθιμον εἶδαρ·
καὶ στέψαι πλέξαντας ἀκρόδρυα καρποφόροιο
παρθενικῆς ἀφελόντας ἐλαίης, ἀμφὶ δὲ κόρσαις
σφωιτέραις πέπλους ἑλέειν οἰκόνδε κιόντας·
μηδὲ μεταστρωφᾶσθαι, ἐπεί κ᾽ ἀπονόσφι τράπησθε,
ἀλλ᾽ αἰεὶ προτέρην ἐς ἀταρπιτὸν ὄσσε φέροντας
ἔρχεσθ᾽ ἐς μέγαρον μηδὲ προτιμυθήσασθαι,
εἴ κέν τις ξύμβληται ὁδίτης, ἔστ᾽ ἂν ἵκησθε
ἐς δόμον· ἔνθα δ᾽ ἔπειτα θυηλὰς ἀθανάτοισιν
ἐξαῦτις ῥέζοντας ἀρώματα ποικίλα καίειν.
Ταῦτ᾽ ἐγὼ ἐκτελέσας, ὅσα τ᾽ ἔσσεται, ὅσσα τε κοῦφοι
ὄρνιθες κλάζουσιν, ἐπίσταμαι, ὅσσα τε θῆρες
ὠμησταὶ τετράπεζοι ἐνὶ σφίσιν ὠρύονται.

---

721 *μῖξαι* Abel] *μίξαι*. — *ῥυσσοχίτωνα* (sic) Tyrwhitt] *χρυσοχίτωνα*. — 725 *ἄρρητον* Stephanus] *ἄρρηκτον*. — *ἑκάστων* Hermann] *ἕκαστον*. — 731 *κρεάεσσιν* Hermann] *κρεάτεσσιν*. — 735 *λίπ᾽ ἐπήρατον* Seidenadel] *λίπα τ᾽ ἐρατόν*. — *ἠδέ* Abel] *αὖτε*. — 738 *πέπλους* Abel] *πέπλον* (*πέπλοις*). — 739 *ἀπονόσφι* Abel] *ἀπὸ νόσφι*. — 740 *φέροντας* Tyrwhitt] *φέροντες*. Malim *βαλόντας*. — 742 *ἵκησθε* Hermann] *ἰκέσθαι*.

Ἔνθεν ἐγὼν ἐδάην καὶ Βακχικὰ νεβρίταο
δῶρα λίθου, Βρομίῳ κεχαρισμένα· τόν περ ἔχοντες
ἄνθρωποι θύοιτε· καὶ ἀράων αἴουσιν
Οὐρανίδαι. γυμνῷ δὲ ῥάχιν ποδὶ πευκεδανοῖο
εἴ κέν τις θλίψας ὄφεως διὰ σάρκας ἀκάνθη
δηώσῃ σφετέρας, ὀδυνήφατος ἔσσεται αὐτῷ
νεβρίτης. ἔρδει δ᾽ ἀλόχῳ πόσιν ἱμερόεντα.
Ἔνθεν καὶ κατένωπα κελαινῆς ἀσπίδος ἔγνων
καρτερὰ φάρμακα σεῖο, βροτοσσόε θέσκελε πέτρη,
τῆς ὄνομα χροιή τε πέλει χλοεροῖο πράσοιο.
Ἔνθεν καὶ σέο, δῖε χαλάζιε, πειρηθῆναι
ἐν θυμῷ βαλόμην, καί σευ μένος εὗρον ἄριστον.
ἄμφω γάρ, καὶ νοῦσον ἀναψύχεις πυρόεσσαν,
καί μοι σκορπιόθεν βεβολημένῳ ἦρα κομίζεις.
Λητοΐδαο μάλα χρησμοῖς, Ποιάντιος ἥρως,
ἑσπόμενον τάδε πάντα μ᾽ ἀληθέα φημὶ πιφαύσκειν.
αὐτοκασιγνήτην κεχολωμένος Ἀργυρότοξος
Κασσάνδρην ἐκέλευσεν ἀκουόντεσσιν ἄπιστα
θεσπίζειν Τρώεσσιν ἐτήτυμά περ φρονέουσαν·
αὐτὰρ ἐγὼ καὶ πρόσθεν ἀπώμοσα καρτερὸν ὅρκον,
ψευδέα μή ποτε μῦθον ἐνισπέμεν ἀνθρώποισι·
καὶ νῦν ἀτρεκέως μάλα τοι λέξαντος ἕκαστα
ἡμετέροις, ἥρως ἑκατηβόλε, πείθεο μύθοις.
Ὣς ἄρ᾽ ἔφη Πριάμοιο διοτρεφέος φίλος υἱός,
ἀτρέστου θεράποντι φέρων χάριν Ἡρακλῆος·
νῶι δὲ ποιήεσσαν ἐς ἀκρώρειαν ἰοῦσι
τρηχεῖαν μάλα μῦθοι ἀταρπιτὸν ἐπρήυναν.

---

748 *Βακχικά* Stephanus] *βακχίδα*. — *νεβρίταο* Tyrwhitt] *νευρίταο*. — 752 *ὄφεως* Abel] *ὄφιος*. — 754 *νεβρίτης* Tyrwhitt] *νευρίτης* (*νευρίτις*). — 756 *θέσκελε* Tyrwhitt] *θέσκελα*. — 762 *λητοΐδη σέο μέχρις ἐμοῦ* codd., corr. Abel. — 763 *ἑσπόμενος* (sic) Musgrave] *ἐσσύμενος*. — *μ᾽* Musgrave addidit. — *ἀληθέα* Abel] *ἀμήχανα*. — *φημί* Tyrwhitt] *φησι*. — *πιφαύσκειν* Hermann] *πιφάσκειν*. — 765 *ἄπιστα* Merrick] *ἅπαντα*. — 767 *ἐνισπέμεν* Nauck] *ἐνισπεῖν*.

FRAGMENTA ORPHICA.

Clemens Alexandrinus Strom. I. c. 21 p. 143. 144: *Ναὶ μὴν Ὀνομάκριτος ὁ Ἀθηναῖος, οὗ τὰ εἰς Ὀρφέα φερόμενα ποιήματα λέγεται εἶναι, κατὰ τὴν τῶν Πεισιστρατιδῶν ἀρχὴν περὶ τὴν πεντηκοστὴν Ὀλυμπιάδα εὑρίσκεται· Ὀρφεύς τε ὁ συμπλεύσας Ἡρακλεῖ Μουσαίου μαθητής — καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον Χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι, τὸν Κρατῆρα δὲ τὸν Ὀρφέως Ζωπύρου τοῦ Ἡρακλεώτου, τήν τε εἰς Ἅιδου Κατάβασιν Προδίκου τοῦ Σαμίου. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ. Ἐπιγένης δὲ ἐν τοῖς περὶ τῆς εἰς Ὀρφέα ποιήσεως Κέρκωπος εἶναι λέγει τοῦ Πυθαγορείου τὴν εἰς Ἅιδου Κατάβασιν καὶ τὸν Ἱερὸν λόγον, τὸν δὲ Πέπλον καὶ τὰ Φυσικὰ Βροντίνου.*

Suidas: *Ὀρφεὺς — ἔγραψε Τριασμούς* (l. *Τριαγμούς*)· *λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα. Κλίσεις κοσμικάς* (l. *κτίσιν κόσμου*?). *Νεοτευκτικά* (l. *Νεωτ.*?). *Ἱεροὺς λόγους ἐν ῥαψῳδίαις κδʹ· λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου*[1]. *Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον. Τελετάς· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου . . . ἐν τούτοις δ᾽ ἐστὶ περὶ Λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται. Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακοσίου λέγεται καὶ* (ἢ?) *Περσίνου*

---

1) Cf. Cicero de nat. deor. I 38: „Orpheum poetam docet Aristoteles nunquam fuisse et hoc Orphicum carmen Pythagorei ferunt cuiusdam fuisse Cercopis" et Philoponus ad Aristot. de an. I 5 (*τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς καλουμένοις ἔπεσι λόγος*): *Λεγομένοις εἶπεν, ἐπειδὴ μὴ δοκεῖ Ὀρφέως εἶναι τὰ ἔπη, ὡς καὶ αὐτὸς ἐν τῷ περὶ φιλοσοφίας λέγει· αὐτοῦ μὲν γάρ εἰσι τὰ δόγματα, ταῦτα δέ φησιν Ὀνομάκριτον ἐν ἔπεσι κατατεῖναι.*

τοῦ Μιλησίου. Κρατῆρας· ταῦτα Ζωπύρου φασί. Θρονισμοὺς Μητρῴους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι. Εἰς Ἅιδου Κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου· Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροντίνου. Ὀνομαστικόν, ἔπη ͵ασ΄. Θεογονίαν, ἔπη ͵ασ΄. Ἀστρονομίαν. Ἀμοκοπίαν (l. ἀμμοκοπίαν vel ἀμνοκοπίαν vel ἀνεμοσκοπίαν vel ἀστροσκοπίαν). Θυηπολικόν. Ὠιοθυτικὰ ἢ Ὠιοσκοπικὰ ἐπικῶς (l. ἔπη κα΄?). Καταζωστικόν. Ὕμνους. Κορυβαντικὸν καὶ Φυσικά, ἃ Βροντίνου φασίν.

Suidas: Ὀρφεὺς Κικοναῖος ἢ Ἀρκὰς ἐκ Βισαλτίας τῆς Θρᾳκικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου δύο γενεαῖς πρεσβύτερος τῶν Τρωικῶν· ἔγραψε δὲ μυθοποιίαν, ἐπιγράμματα, ὕμνους.

Ὀρφεὺς Ὀδρύσης ἐποποιός. Διονύσιος δὲ τοῦτον οὐδὲ γεγονέναι λέγει· ὅμως ἀναφέρονται εἰς αὐτόν τινα ποιήματα.

Ὀρφεὺς Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ἕκτῳ βιβλίῳ τῶν Γραμματικῶν· Δεκαετηρίαν (l. Δωδεκαετηρίδα), Ἀργοναυτικὰ καὶ ἄλλα τινά.

Ὀρφεὺς Καμαριναῖος ἐποποιός· οὗ φασιν εἶναι τὴν εἰς Ἅιδου Κατάβασιν.

Lascaris Prolegg. in Orph. in Marm. Taurin. p. 98: Κατέλιπε δὲ συγγράμματα μετρικὰ καὶ ὅσα καὶ αὐτὸς ἐν Ἀργοναύταις κατ᾽ ἐπανάληψιν ἀριθμεῖ — καὶ περὶ θεῶν καὶ κοσμογενείας, ὕμνους διαφόρους εἰς θεούς, Γεωργικά, Φυσικά, Ἀργολικά, Μετέωρα, Λιθικά, μυστήρια δὲ διάφορα, περὶ τῶν φυτῶν, βοτανῶν, χωρογραφίας, ἰατρικῆς, νόμων, τελευταῖα τὰ Ἀργοναυτικά. γεγόνασι δὲ Ὀρφεῖς ἕξ. πρῶτος οὗτος ἀρχαῖος ποιητὴς ἐκ Λειβήθρων τῆς Θρᾴκης. δεύτερος Κικοναῖος ἐκ Βισαλτίας πρὸ τῶν Τρωικῶν καὶ αὐτός, ὃς συνέγραψε μυθοποιίαν, ἐπιγράμματα, ὕμνους. τρίτος Ὀδρύσης ἐποποιίαν τινὰ ποιήσας. τέταρτος Κροτωνιάτης, ὃς συνῆν Πεισιστράτῳ. συνέγραψε δὲ Δεκαετηρίαν, Ἀργοναυτικὰ καὶ ἄλλα. πέμπτος Καμαριναῖος ἐποποιός, οὗ φασι τὴν εἰς Ἅιδου Κατάβασιν· ἕκτος βασιλεὺς Θρᾳκῶν, ἐφ᾽ οὗ Ἀμαζόνες Φρυγίαν ἐδασμολόγησαν.

I. ΑΣΤΡΟΝΟΜΙΑ.

Firmicus Maternus Mathes. (Astrologiae) IV praef. (p. 84): Omnia quae Aesculapio Mercurius Enichnusque tradiderunt, quae Petosiris explicavit et Necepso, quae Abraham, Orpheus et Critodemus ediderunt ceterique omnes huius artis antiscii perlecta pariter atque collecta — in his perscripsimus libris.

1.

Plutarchus de placitis philos. II 13: *Ἡρακλείδης καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν γῆν περιέχοντα ἀέρα τε καὶ αἰθέρα ἐν τῷ ἀπείρῳ αἰθέρι· ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς φέρεται· κοσμοποιοῦσι γὰρ ἕκαστον τῶν ἀστέρων.*

2.

ΟΡΦΕΩΣ ΠΕΡΙ ΣΕΙΣΜΩΝ.[1]

Φράζεο δὴ καὶ τόνδε λόγον, τέκος· ὁππότε κεν δὴ
γαῖαν κινήσῃ σεισίχθων Κυανοχαίτης,
τόφρα βροτοῖς ἐπί τ' εὐτυχίην κακότητά τε φράζει.
Ὁππότ' ἂν εἰαρινὴν ἐπ' ἰσημερίην ἀφίκηται
ἠέλιος κριόν τε διεκτρέχῃ, ἐν δ' ἄρα τῷ γε
γαῖαν νυκτερινὸς Γαιήοχος ἀμφελελίξῃ,
σῆμα τόδ' ἐστὶ πόληος ἀπόστασις οὐκ ἀλαπαδνῆς·
εἰ δέ κεν ἡμερινός, φράζει τόδε λυγρὰ καὶ ἄτας

---

[1]) Hoc carmen a nullo vetere scriptore commemoratum in nonnullis codicibus falso Hermeti Trismegisto tribuitur. Dedi textum a Jacobsio in Anthologia Graeca constitutum, nisi quod pauca quaedam ex codice Vaticano n. 1314 (saec. XV.), qui cum libro Mediceo plerumque consentit, correxi. — 7 *ἀλαπαδνῆς* Brunck] *ἀλαπαδνή.*

πήματος ὁρμήσαντος ἐπ᾽ ἀλλοδαποὺς ἀνθρώπους
ἔσσεσθαι, σφετέραις ἐπὶ πημοσύναις ἰδὲ λύπαις.
Εἰ δ᾽ ἀνὰ ταῦρον ἰόντος ἐφορμήσει διὰ νύκτα
σεισμός, πήματα μέν τε καταφθινύθουσιν ὀπίσσω,
εὐφροσύνη δ᾽ ἀνὰ ἄστυ καὶ εἰρήνη τεθαλυῖα
ἔσσεται· ἡμερινὸς δὲ φέρει πολέμου μεγάλοιο
ἔργον ἐπερχομένου τοῖς κρείσσοσιν· ἀλλὰ φυλάσσου.
Εἰ δέ κεν ἐν διδύμοις στρωφωμένου ἠελίοιο
νυκτερινὴ μῆνις ἐλελίζηται κατὰ γαῖαν,
σημαίνει ὅτι δυσμενέες βροτοὶ ἐγχεσίχειρες
ὑμετέρην πελάσουσιν ἐπ᾽ ἄλγεσι γαῖαν ἅπασαν·
εἰ δέ κεν ἡμερινή, τότε κεν βασιλῆες ἄτιμοι
ἔσσονθ᾽ ἡγεμόνες τε θεῶν διὰ μήνιος ἐχθρῶν.
Εἰ δ᾽ ἀνὰ τὴν μοῖραν τοῦ καρκίνου ἠελίοιο
στείχοντος, τόθι δὴ θεριναὶ τροπαί, ἔννυχος ἔσται
γῆς ἔνοσις, τοῦτο φράζει κακότητα βαρεῖαν
ἀργαλέην πενίην ἀλλαξέμεν· ἡμερινὸς δὲ
φράζει πῆμ᾽ αὐτοῖς καὶ ἀνάστασιν ὠλεσίοικον.
Εἰ δέ κεν ἠελίοιο λέοντος μοῖραν ἰόντος
νύκτερος ὁρμηθῇ γαίης σάλος, αὐτίκα πένθη
κλαυθμοί τε στοναχαί τε πόλιν καὶ λαὸν ἅπαντα
ἕξουσ᾽· ἡμερινὸς δὲ φανεὶς καὶ ταῦτα πιφαύσκει.
Εἰ δέ κεν ἠελίου σὺν παρθένῳ ἐρχομένοιο
ἑσπερινὸς σεισμός, λαοῖς τότε λοιμὸς ἅπασιν
ἔσσεται· ἡμερινὸς δὲ φανεὶς καρποὺς καταβλάψει.
Εἰ δ᾽ ἂν ἐπὶ φθινοπωρίδ᾽ ἰσημερίην ἀφίκηται
ἠέλιος, χηλαῖς διαφαίνων, νυκτερινὸς δὲ
κινήσῃ, καρπῶν δηλοῖ φθόρον ἐξαναφύντων
γαίης· ὥραις δ᾽ ἡμεριναῖς, χαλεπῆς τόδε φράζει
ἔργα μάχης· πολλοὺς δ᾽ αὐτῶν κατὰ γαῖα καλύψει.

---

18 *σημαίνει ὅτι* add. Jacobs. — 19 *ἐπ᾽ ἄλγεσι* Jacobs] *ὑπ᾽ ἄλγεα*. — 21 *διὰ μήνιος* Abel] *διὰ μήνιας* (*διομηνίῃ*). — 22 *μοῖραν* Abel] *μοίρην*. — 23 *τόθι* Abel] *τότε* (*γ᾽ ὁππότε*). — 25 *ἀργαλέης πενίης*? — 26 *ἀνάστασιν* Jacobs] *ἀπόστασιν*. — 34 *φθινοπωρίδ᾽* Abel] *φθινόπωρον*. — *ἰσημερίην* Brunck] *ἰσημερινήν*.

Εἰ δέ κεν ἠελίου τὸν σκορπίον ἀμφιθέοντος
νύκτερος ὁρμηθῇ γαίης σάλος, ἔργα μάταια
ἀνδράσιν ἔσσονται κακοφραδμοσύνῃσι νόοιο·
ἡμερινὸς δὲ φανείς, τότε δὴ τότε ἄλγεα φράζει
ἔσσεσθαι πολέεσσιν ἀπὸ πτολέμου κρυεροῖο,
ἔργα ματαιότατα Ζηνὸς μεγάλου διὰ βουλάς.
Εἰ δέ κεν ἐν μοίρῃ τοῦ τοξότου ἠελίοιο
στρωφῶντος γαῖαν κινήσῃ Κυανοχαίτης
νυκτερινός, σημεῖον ὀλέθριον ἔσσεται ἀνδρῶν
πολλῶν· ἡμερινὸς δὲ φανεὶς πόλεων βασιλῆι
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντα
ἄλλην οἴχεσθαι φεύγοντ᾽ ἀπὸ πατρίδος αἴης.
Εἰ δέ κ᾽ ἐν αἰγοκέρωτι, τόθι τροπαὶ ἠελίοιο
χειμεριναί, στείχοντος ἕδος χθονὸς ἔννυχος ἐλθὼν
σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ στάσιν· ἡμερινὸς δὲ φανεὶς καρποφθόρος ἔσται.
Ὑδροχόου δ᾽ εὖτ᾽ ἂν διανίσσητ᾽ ἠελίοιο
φέγγος, νυκτερινὴ δ᾽ ἐλελιχθῇ πᾶσα περὶ χθών,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἡμερινή, δήμου κράτος ἔμπεδον ἔσται.
Εἰ δ᾽ ἀνὰ τοὺς ἰχθῦς στρωφωμένου ἠελίοιο
γῆς ἔνοσις προγένοιτο θοὴν διὰ νύκτα, τότ᾽ ἔσται
πάσαις ἐν πολίεσσι διάστασις· εἰ δέ κεν ἠοῖ
γαίης κινηθῇ πέδον ἱερόν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις οἴων τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν᾽ ἄστεα καὶ κατὰ χώρας.

---

47 *ἔσσεται* Jacobs] *ἔμμεναι*. — 51 *κ᾽ ἐν* Jacobs] *κεν*. — *τόθι* Abel] *ὅθι*. — 56 *Ὑδροχόου* Abel] *ὑδροχόῳ*. — *διανίσσητ᾽* Abel] *διανείσεται*. — 57 *νυκτερινή* Abel] *νυκτερινῇ* (*νυκτερίη*). — *πᾶσα* Abel] γαῖα. — περὶ χθών Abel] *περίχθων* (*περιχθών*). — 63 *ἠοῖ* Jacobs] ἠῶ (ἠά).

II. *ΒΑΚΧΙΚΑ.*

3.

Hippolytus Refutationis omnium haeresium libri X. p. 208: *Ὁ γὰρ περὶ τῆς μήτρας αὐτῶν καὶ τοῦ Ὀρφέως λόγος καὶ ὁ ὀμφαλός, ὅπερ ἐστὶν ἁρμονία, διαρρήδην οὕτως ἐστὶν ἐν τοῖς Βακχικοῖς τοῦ Ὀρφέως.*

III. *ΔΙΑΘΗΚΑΙ.* [1])

4.

Justinus Cohortat. cap. 15: *Ὀρφεὺς γοῦν ὁ τῆς πολυθεότητος ὑμῶν, ὡς ἂν εἴποι τις, πρῶτος διδάσκαλος γεγονώς, οἷα πρὸς τὸν υἱὸν αὐτοῦ Μουσαῖον καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου θεοῦ κηρύττει λέγων, ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς. ἔφη δὲ οὕτως·*

Φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι
πάντες ὁμοῦ· σὺ δ' ἄκουε, φαεσφόρου ἔκγονε Μήνης,
Μουσαῖ'· ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος, εὖ τ' ἐπίβαινε

---

[1]) De titulo carminis, quod ab Aristobulo et Clemente *ἱερὸς λόγος* inscribitur, haec Lobeck Agl. I p. 449: „Nos utramque carminis formam sic distinguemus, ut illi, quo veteres Graeci usi sunt, proprium nomen sermonis sacri [*ἱερὸς λόγος*] reddamus, alterum vero, quod a Judaeis interpolatum videtur, Testamenti vocabulo [*διαθῆκαι*] notemus sive etiam Palinodiae [*παλινῳδία*].“ Cf. Justinus Cohort. c. 36: *Εἰ δέ τις ὀκνὸς ἢ παλαιὰ τῶν προγόνων ὑμῶν δεισιδαιμονία τέως ἐντυγχάνειν ὑμᾶς ταῖς τῶν ἁγίων ἀνδρῶν προφητείαις κωλύει, δι' ὧν δυνατὸν μανθάνειν ὑμᾶς ἕνα καὶ μόνον εἶναι θεόν, ὃ πρῶτόν ἐστι τῆς ἀληθοῦς θεοσεβείας γνώρισμα, τῷ γοῦν πρότερον ὑμᾶς τὴν πολυθεότητα διδάξαντι, ὕστερον δὲ λυσιτελῆ καὶ ἀναγκαίαν παλινῳδίαν ᾆσαι προελομένῳ πείσθητε Ὀρφεῖ, ταῦτ' εἰρηκότι, ἃ μικρῷ πρόσθεν γέγραφα, καὶ τοῖς λοιποῖς δὲ τοῖς τὰ αὐτὰ περὶ ἑνὸς θεοῦ γεγραφότι πείσθητε.* Unde non elucet huic carmini Palinodiae quoque titulum fuisse. — 1 Primum versum inde a Platone (Symp. p. *218 B.) frequenter* respiciunt veteres. — 5 Legendum *ἐς*.

ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα·
εἷς ἔστ', αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται·
ἐν δ' αὐτοῖς αὐτὸς περιγίνεται οὐδέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν. αὐτὸς δέ γε πάντας ὁρᾶται.
οὗτος δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι
καὶ πόλεμον κρυόεντα καὶ ἄλγεα δακρυόεντα·
οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος.
αὐτὸν δ' οὐχ ὁρέω· περὶ γὰρ νέφος ἐστήρικται·
πᾶσιν γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις,
ἀσθενέες δ' ἰδέειν Δία τὸν πάντων μεδέοντα.
οὗτος γὰρ χάλκειον ἐς οὐρανὸν ἐστήρικται
χρυσέῳ εἰνὶ θρόνῳ, γαίης δ' ἔπι ποσσὶ βέβηκε,
χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
πάντοθεν ἐκτέτακεν· περὶ γὰρ τρέμει οὔρεα μακρὰ
καὶ ποταμοὶ πολιῆς τε βάθος χαροποῖο θαλάσσης.

Cf. Justinus Monarch. cap. 3: *Μαρτυρήσει δέ μοι καὶ Ὀρφεὺς ὁ παρεισαγαγὼν τοὺς τριακοσίους ἑξήκοντα θεοὺς ἐν τῷ Διαθῆκαι ἐπιγραφομένῳ βιβλίῳ, ὁπότε μετανοῶν ἐπὶ τούτῳ φαίνεται, ἐξ ὧν γράφει· Μουσαῖ' ἐξερέω γὰρ* etc. usque ad *χαροποῖο θαλάσσης. καὶ ταῦτα οὕτως φράζει ὡς αὐτόπτης γεγονὼς τοῦ μεγέθους θεοῦ.* Cf. etiam Theophilus ad Autolycum III 117 C: *Τί γὰρ ὠφέλησαν Ὀρφέα οἱ τριακόσιοι πεντήκοντα πέντε θεοί, οὓς αὐτὸς ἐπὶ τέλει τοῦ βίου ἀθετεῖ ἐν ταῖς Διαθήκαις αὐτοῦ λέγων ἕνα εἶναι θεόν.*

5.

Clemens Cohort. c. VII p. 21. 22. Strom. V 14. 259. V 12. 693.[1]) *Ὀρφεὺς μετὰ τὴν τῶν ὀργίων ἱεροφαντίαν καὶ τῶν εἰδώλων*

18 ἔπι Hermann] ἐπί.

[1]) Hanc Testamenti recensionem Lobeckii sententiam secutus ex variis Clementis locis concinnavi. Ceterum cf. Lobeck, Aglaoph. I p. 447: „In universum igitur sic contendo, Justiniano fragmento omnium brevissimo primigeniam carminis Orphici, qualis quidem illis temporibus fuit, formam repraesentari; novae interpolationis specimen praebere exemplum Clementis, quod Justiniano copiosius est, Aristobuleo adstrictius; novissimae ac gravissimae auctorem esse Aristobulum illum, quem Eusebius introduxit, hominem sive Judaeum sive Christianum, Clementis certe temporibus posteriorem."

τὴν θεολογίαν παλινῳδίαν ἀληθείας εἰσάγει τὸν ἱερὸν ὄντως ὀψέ ποτε, ὅμως δ' οὖν, ᾄδων λόγον·

Φθέγξομαι, οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι
πάντες ὁμῶς. σὺ δ' ἄκουε, φαεσφόρου ἔκγονε Μήνης,
Μουσαῖ· ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος· εὖ δ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα
ἀθάνατον· παλαιὸς δὲ λόγος περὶ τοῦδε φαείνει.
εἷς ἔστ', αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται·
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται, οὐδέ τις αὐτὸν
εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται.
αὐτὸς δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι φυτεύει
καὶ πόλεμον κρυόεντα καὶ ἄλγεα δακρυόεντα·
οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος.
αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται·
πᾶσιν γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις
μικραί, ἐπεὶ σάρκες τε καὶ ὀστέα ἐμπεφύασιν.
οὐ γάρ κέν τις ἴδοι θνητῶν μερόπων κραίνοντα,
εἰ μὴ μουνογενής τις ἀπορρὼξ φύλου ἄνωθεν
Χαλδαίων· ἴδρις γὰρ ἔην ἄστροιο πορείης,
καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει
κυκλοτερές, ἐν ἴσῳ τε κατὰ σφέτερον κνώδακα.
πνεύματι δ' ἡνιοχεῖ περί τ' ἠέρα καὶ περὶ χεῦμα.
αὐτὸς δ' αὖ μέγαν αὖτις ἐπ' οὐρανὸν ἐστήρικται
χρυσέῳ εἰνὶ θρόνῳ, γαίη δ' ὑπὸ ποσσὶ βέβηκε.
χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρμασιν ὠκεανοῖο
ἐκτέτακεν, ὀρέων δὲ τρέμει βάσις ἔνδοθι θυμῷ
οὐδὲ φέρειν δύναται κρατερὸν μένος. ἔστι δὲ πάντως
αὐτὸς ἐπουράνιος καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ,
ἀρχὴν αὐτὸς ἔχων ἅμα καὶ μέσον ἠδὲ τελευτήν.

---

22 *κυκλοτερής* codd. — Ceterum cf. fr. 6, 25—28. — 27 *θυμοῦ* codd. — 28 *πάντη* codd.

ἄλλως οὐ θεμιτόν σε λέγειν· τρομέω δέ τε γυῖα
ἐν νόῳ· ἐξ ὑπάτου κραίνει

καὶ τὰ ἐπὶ τούτοις.

6.

Euseb. Praep. Evang. XIII cap. 12. p. 191 Dind.: (Ὅπως καὶ πρὸ ἡμῶν ἐξ Ἑβραίων Ἀριστόβουλος ὁ Περιπατητικὸς ἐκ τῆς παρ' Ἑβραίοις φιλοσοφίας ὁμολογεῖ τοὺς Ἕλληνας ὡρμῆσθαι. ἐκ τῶν Ἀριστοβούλου βασιλεῖ Πτολεμαίῳ προσπεφωνημένων.)

. . . Ἔτι δὲ καὶ Ὀρφεὺς ἐν ποιήμασι τῶν κατὰ τὸν ἱερὸν λόγον αὐτῷ λεγομένων οὕτως ἐκτίθεται περὶ τοῦ διακρατεῖσθαι θείᾳ δυνάμει τὰ πάντα καὶ γενητὰ ὑπάρχειν, καὶ ἐπὶ πάντων εἶναι τὸν θεόν. λέγει δ' οὕτως·

Φθέγξομαι, οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι
φεύγοντες δικαίων θεσμούς, θείοιο τεθέντος
πᾶσι νόμου· σὺ δ' ἄκουε, φαεσφόρου ἔκγονε Μήνης,
Μουσαῖ'· ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος· εὖ δ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο τυπωτὴν
ἀθάνατον· παλαιὸς δὲ λόγος περὶ τοῦδε φαείνει.
εἷς ἔστ', αὐτοτελής, αὐτοῦ δ' ὕπο πάντα τελεῖται·
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται, οὐδέ τις αὐτὸν
εἰσοράᾳ ψυχῶν θνητῶν, νῷ δ' εἰσοράαται.
αὐτὸς δ' ἐξ ἀγαθῶν θνητοῖς κακὸν οὐκ ἐπιτέλλει
ἀνθρώποις· αὐτῷ δὲ χάρις καὶ μῖσος ὀπηδεῖ
καὶ πόλεμος καὶ λοιμὸς ἰδ' ἄλγεα δακρυόεντα·
οὐδέ τις ἔσθ' ἕτερος· σὺ δέ κεν ῥέα πάντ' ἐσαθρήσαις,
πρίν κεν ἴδῃς αὐτόν· πρὶν δή ποτε δεῦρ' ἐπὶ γαῖαν,

32 cf. Aristobuli recensionem.

Fr. 6, 2 *οὔασι φεύγοντες θεσμούς* coni. Mullach; *θνητῶν* pro *δικαίων* coni. Schenkl. — 14 *δὲ χάρις*] *δέ τ' ἔρις* coni. Schenkl. — 16 *ἐσαθρήσαις* Lobeck] *ἐσορήσαις*. — 17 *πρίν κεν* Lobeck] *αἴ κεν*. — Lobeck *πλήν* pro *πρίν* voluit.

τέκνον ἐμόν, δείξω σοι, ὁπηνίκα δέρκομαι αὐτοῦ
ἴχνια καὶ χεῖρα στιβαρὴν κρατεροῖο θεοῖο.
αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται
λεπτὸν ἐμοί, πᾶσιν δὲ δέκα πτυχαὶ ἀνθρώποισιν·
οὐ γάρ κέν τις ἴδοι θνητῶν μερόπων κραίνοντα,
εἰ μὴ μουνογενής τις ἀπορρὼξ φύλου ἄνωθεν
Χαλδαίων· ἴδρις γὰρ ἔην ἄστροιο πορείης,
καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει
κυκλοτερές γ' ἐν ἴσῳ, κατὰ δὲ σφέτερον κνώδακα.
πνεύματα δ' ἡνιοχεῖ περί τ' ἠέρα καὶ περὶ χεῦμα
νάματος· ἐκφαίνει δὲ πυρὸς σέλας ἰφιγενήτου.
αὐτὸς δὴ μέγαν αὖτις ἐπ' οὐρανὸν ἐστήρικται
χρυσέῳ εἰνὶ θρόνῳ, γαίη δ' ὑπὸ ποσσὶ βέβηκε,
χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρμασιν ὠκεανοῖο
ἐκτέτακεν, ὀρέων δὲ τρέμει βάσις ἔνδοθι θυμῷ
οὐδὲ φέρειν δύναται κρατερὸν μένος. ἔστι δὲ πάντως
αὐτὸς ἐπουράνιος καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ,
ἀρχὴν αὐτὸς ἔχων ἅμα καὶ μέσον ἠδὲ τελευτήν.
ὣς λόγος ἀρχαίων, ὣς ὑδογενὴς διέταξεν
ἐκ θεόθεν γνώμῃσι, λαβὼν κατὰ δίπλακα θεσμόν.
ἄλλως οὐ θεμιτόν σε λέγειν· τρομέω δέ γε γυῖα
ἐν νόῳ· ἐξ ὑπάτου κραίνει περὶ πάντ' ἐνὶ τάξει.
ὦ τέκνον, σὺ δὲ τοῖσι νόοισι πελάζεο, γλώσσης
εὖ μάλ' ἐπικρατέων· στέρνοισι δὲ ἔνθεο φήμην.

7.

Justinus Cohort. c. 15: *Καὶ αὖθις ἀλλαχοῦ που οὕτως λέγει·*

Εἷς Ζεύς, εἷς Ἀΐδης, εἷς Ἥλιος, εἷς Διόνυσος,
εἷς θεὸς ἐν πάντεσσι· τί σοι δίχα ταῦτ' ἀγορεύω;

---

21 λεπτόν Lobeck] λοιπόν. — πᾶσιν Hermann] στᾶσιν. — 29 αὖτις Abel] αὖθις. — 36 ὥς Gesner] ὡς. — ὥς Gesner] ὡς. — ὑδογενής Scaliger] ὑλογενής. — 37 γνώμῃσι Abel] γνώμαισι. — 40 γλώσσης *Dindorf*] γλώσσην.

IV. ΔΙΚΤΥΟΝ.[1])

8.

Aristot. de Gener. Anim. II 1. 613 C: Ἢ γάρ τοι ἅμα πάντα γίγνεται τὰ μόρια, οἷον καρδία πλεύμων ἧπαρ ὀφθαλμὸς καὶ τῶν ἄλλων ἕκαστον, ἢ ἐφεξῆς, ὥσπερ ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσιν· ἐκεῖ γὰρ ὁμοίως φησὶ γίγνεσθαι τὸ ζῷον τῇ τοῦ δικτύου πλοκῇ.

9.

Suidas s. v. Ἵππος Νισαῖος: Μεταξὺ τῆς Σουσιανῆς καὶ τῆς Βακτριανῆς τόπος ἐστὶ Καταστιγόνα, ὅπερ Ἑλλάδι γλώσσῃ Νῖσος καλεῖται· ἐνταῦθα ἵπποι διάφοροι γίνονται. οἱ δὲ ἀπὸ Ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος τῆς Μηδίας εἶναι τὸν τόπον Νίσαιον. ὁ δὲ Πολέμων κακῶς φησι λευκὸν ἵππον Νισαῖον. ἐν δὲ Δικτύῳ[2]) Ὀρφεὺς λέγει . . .

Ὅτι ἡ Νίσα τόπος ἐστὶν ἐν Ἐρυθρᾷ κείμενος.

V. ΕΠΙΓΡΑΜΜΑΤΑ.

10.

Dio Chrysost. (Anonymus) Or. XXXVII. p. 107 R: Ἐγένετο δὲ καὶ νεῶν ἅμιλλα· καὶ Ἀργὼ ἐνίκα, καὶ μετὰ ταῦτα οὐκ ἔπλευσεν, ἀλλ' αὐτὴν ἀνέθηκεν ὁ Ἰάσων ἐνταῦθα [ἐν Κορίνθῳ] τῷ Ποσειδῶνι καὶ τὸ ἐπίγραμμα ἐπέγραψεν, ὃ λέγουσιν Ὀρφέως εἶναι·

Ἀργὼ τὸ σκάφος εἰμί· θεῷ δ' ἀνέθηκεν Ἰήσων,
Ἴσθμια καὶ Νεμέοις στεψάμενον πίτυσιν.

---

[1]) Hoc carmine fortasse cosmogonia Orphica continebatur.
Fr. 9, [2]) Δικτύῳ Küster] δίκτυϊ. — Orphei verba exciderunt.
Fr. 10, 1 ἰάσων codd.

VI. ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.[1])

11.

Tzetzes Prooem. ad Hes. ἐκῆ p. 18 ed. Gaisf.: Ἡσιόδου Ἔργα καὶ Ἡμέραι τὸ βιβλίον ἐπιγέγραπται ἤτοι διδασκαλία γεωργίας καὶ ἡμερῶν, καθ' ἃς δεῖ τόδε καὶ τόδε ποιεῖν. οὕτω δὲ ἐπιγέγραπται πρὸς ἀντιδιαστολὴν τῶν ἑτέρων αὐτοῦ πεντεκαίδεκα βίβλων Ἀσπίδος, Θεογονίας, Ἡρωογονίας, Γυναικῶν καταλόγου καὶ λοιπῶν ἁπασῶν· ἔτι δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν τοῦ μεγάλου Ὀρφέως Ἔργων καὶ Ἡμερῶν, ὧν Ἔργων Ὀρφέως ἤτοι τοῦ περὶ Γεωργίας οὕτως ἐστὶν ἡ ἀρχή

Εἰ δὲ γεωπονίης σε φιλομβρότου ἵμερος αἱρεῖ
καί τ' ἐπὶ χρυσείης γενεῆς ἐντύνεαι ἔργα,
γαῖαν ἐπὶ ζείδωρον ἄγων εὐκαμπὲς ἄροτρον,
ἢ γύροις ἔνι κλῆμα Μεθυμναίου λελίησαι
κατθέμεναι, καὶ λαρὸν ὀπώρης εἶδαρ ἑλέσθαι
ἱμείρεις σκαπάνῃ τε λαχήμεναι ἄμβροτον αἶαν·
αὐτίκα δή τοι πᾶσαν ἐτητυμίην καταλέξω,
ὅππως ἂν πανδῖα Σεληναίη πεπίθοιτο
ὄμπνιά σοι Δήμητρος ἀερσινόοιό τε Βάκχου
δῶρ' ἀναπεμπέμεναι καὶ ἐπηετανὸν ὄλβον ὀπάζειν.

καὶ τῶν μὲν Ἔργων Ὀρφέως οὕτως ἐστὶν ἡ ἀρχή.

12.

Tzetzes Chil. IV 128: Μέμνηται ταύτης (τῆς Ἠριγόνης) καὶ Ὀρφεὺς ἐν Γεωργίᾳ γράφων·

---

[1]) Cf. Lobeck, Aglaoph. I p. 416: „Sic concludo, unum grandiusculum opus generatim Ὀρφέως Ἔργα καὶ Ἡμέραι inscriptum duo comprehendisse poemata, quorum prius Ἔργα et interdum a potiore parte Περὶ Γεωργίας nuncupatum Dodecaeterides sibi adiunctas haberet, posterius autem nominaretur Ἡμέραι sive Ἐφημερίδες, planeque simile esset Ephemeridi mathematicae, qualem Juvenalis VI 569. Plinius XXIX. 1. et Ammianus Marc. XXVIII. 4. 433 significant." — 1—10 Hi versus etiam in Maximi carmine περὶ καταρχῶν extant v. 456—465. Lobecki sententiam „carmen illud quod Tzetzae Orpheo tribuant, a Maximo non compositum sed exscriptum multis locis et *compilatum esse*" improbavit Ludwich.

Ἀστραίη κούρη δὲ πέλει πρὸς ἅπαντα φερίστη
σπέρματα, καὶ δὲ φυτοῖσιν ἐναίσιμος, ἔν τε βόθροισι
βάλλειν ἔρνεα πάντα, τά τε δρυὸς ἄκρα λέγονται,
οἴνας δ᾽ ἐξαλέασθαι, ἐπεὶ στυγέει περίαλλα
Ἰκαρίου κούρη ληνοὺς καὶ ἀδευκέας οἴνας,
μνωομένη, ὅσα λυγρὰ Διωνύσοιο ἕκητι
Ἀκταῖοι μήσαντο μέθῃ δεδμημένοι αἰνῇ
Ἰκάριον, καί μιν στυφελαῖς κορύνῃσι δάϊξαν
σφαλλόμενοι δώροισι χοροιμανέος Βάκχοιο.

Cf. Tzetzes ad Hes. ἐκῇ 568: *Καὶ οὕτως μὲν ὁ Ἡσίοδος τυχαίως καὶ ἁπλῶς φησιν ἀροτριᾶν τε καὶ φυτεύειν καὶ σπείρειν καὶ κλαδεύειν καὶ πλεῖν καὶ γαμεῖν καὶ τὰ ὅμοια. Ὀρφεὺς δὲ μαθηματικῶς πάντα παρακελεύεται δρᾶν. οἷον σελήνης τρεχούσης περὶ παρθένον πάντα φυτεύειν πλὴν μόνων ἀμπέλων· μισεῖ γὰρ ἡ παρθένος τὴν ἄμπελον διὰ τὸν πατέρα Ἰκάριον. Διὸς Ὑδροχόον περιπολεύοντος μὴ πλεύσῃς, χαλεπὴ γὰρ τότε λίαν ἐστὶν ἡ θάλασσα. τοῦ αὐτοῦ Διὸς ἐν Ἰχθύσιν ὄντος καλὸν γάμους ποιεῖν καὶ τὰ λοιπὰ ὁμοίως.*

13.

Tzetzes ad Hes. ἐκῇ v. 780: *Ὀρφεὺς δὲ ἐκεῖνος ὁ Θρᾴκιος ἐν τῷ περὶ Γεωργίας οὐ τὴν ἁπλῶς ἡμέραν τῆς σελήνης τὴν τοιάνδε λέγει λυσιτελῆ ἢ καὶ ἀνόνητον, ἀλλ᾽ ὅταν τοιῶσδε σχηματισθῇ καὶ συντρέχῃ ζῳδίοις τε καὶ τοῖς ἀστράσιν.*

14. 15.

Tzetzes Exeg. in Il. p. 26: *Εὑρίσκω γὰρ αὐτὸν [τὸν Ὅμηρον] ἃ μέν τινα τῶν Ὀρφέως ἐπῶν καθ᾽ ὁλοκληρίαν πρὸς τὴν αὐτοῦ μετοχετεύσαντα ποίησιν, ἕτερα δὲ πάλιν καθ᾽ ἡμίσειαν παρα-*

Fr. 12, 1—9 Hi versus etiam apud Maximum extant v. 488—496, apud quem v. 5 *κούρη ἐλίνους καί*, v. 8 *κορύναις ἐδάϊξαν* editur; v. 9 *χοροιμανηεος ἰοβάκχου* Maximi codex, *χοροιμανέοιο Βάκχοιο* Tzetzae codices; corr. Lobeck. — V. 3 Tzetzes ad Lycophr. 83 ex Dodecaeteribus affert: *δρύκαρπα πᾶσαν ὀπώραν σημαίνει, ὥς πού φησιν ἐν ταῖς Δωδεκαετηρίσιν Ὀρφεύς·*
βάλλειν ἔρνεα πάντα, τά τε δρυὸς ἄκρα . . .

σπάσαντα· ἔστι δ' ἃ καὶ μεταφράσαντα ἢ καὶ ἀλληνάλλως μεταστρέψαντα· ὡς τὸ

Σηκάζειν πυρούς τε καὶ ἀστάχυας κατ' ἀλωὰς
ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ
κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας.

— — καὶ τό·

Σμήνεα δ' εἰργάζοντο μελισσάων ἀδινάων.

16.

Tzetzes ad Hes. ἐκῇ v. 502: Τὰ δὲ ἔπη ἐκ τῶν Ὀρφέως μετεβλήθη. φησὶ γὰρ Ὀρφεύς·

Πολλαὶ δ' οὐρανόθεν καὶ ἐπαρτέες ἐκ νεφελάων
τῆμος ἐπόρνυνται φηγοῖς καὶ δένδρεσιν ἄλλοις
οὔρεσί τε σκοπέλοις τε καὶ ἀνθρώποις ἐριθύμοις
πηγυλίδες, καὶ ἔσονται ἀμειδέες· αἵδε γὰρ ὄντως
τρύουσιν καὶ θῆρας ἐν οὔρεσιν, οὐδέ τις ἀνδρῶν
προβλώσκειν μεγάρων δύναται κατὰ γυῖα δαμασθεὶς
ψύχεϊ λευγαλέῳ, πάχνῃ δ' ὑπὸ γαῖα μέμυκε.

17.

Tzetzes ad Lycophr. v. 410: Λείβηθρα καὶ Λειβηθρία πόλις Μακεδονίας, ὅθεν ἦν Ὀρφεύς, ὥς φησιν αὐτός·

νῦν δ' ἄγε μοι, κούρη Λειβηθριὰς ἔννεπε Μοῦσα.

18.

Tzetzes Exeg. in Il. p. 26, 24 (et Chil. II 610—612): Εὑρίσκω γὰρ αὐτὸν [τὸν Ὅμηρον] ἃ μέν τινα τῶν Ὀρφέως ἐπῶν καθ' ὁλοκληρίαν πρὸς τὴν αὐτοῦ μετοχετεύσαντα ποίησιν — — — καὶ κατὰ μετάφρασιν, ὡς τό·

Οὐδ' ἦν Ἰφίκλοιο θοώτερος αὐδάζοιο,

Fr. 15, 1 εἰργάζοντο Mullach] ἐργάζεο.

Fr. 16, 1 ἐπάρτεες codd. — 3 ἀνθρώποις Heinsius] ἀνθρώπων. — 4 ἀμείδεες codd. — αἱ δὲ codd. — 5 τρύουσιν Heinsius] τρύξουσιν.

Fr. 17. Habet hunc versum etiam Maximus v. 141, ubi πιμπληιάς corrector codicis in margine, quam scripturam Tzetzes ad Lycophr. 275 tuetur.

ὥστε καὶ ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδέ τι καρπὸν
σίνετ' ἀήσυρα γυῖα φέρων ἐπὶ λήιον αὖον.

19.

Tzetzes Exeg. in Il. p. 33, 14: *Καὶ ὁ Ὀρφεύς·*
Εἰ μὲν γὰρ στείχῃσιν ἐπ' Ἀρνειοῖο θοοῖο.

20.

Tzetzes Exeg. in Il. p. 28, 25: *Καὶ οἱ ἐν Διὸς ἀστέρος μοίρᾳ τεχθέντες βασιλικὰς ἢ ἡγεμονικὰς κληροῦνται γενέσεις, εἰ μὴ κακοποιὸς ἀνὴρ μαρτυρεῖ·*
ἢ Φαίνων δύστλητος ἢ Ἄρης ἐγρεκύδοιμος.

21.

Tzetzes Chiliad. XII 339: *Τῶν Δωδεκαετηρίδων δὲ ἡ καταρχὴ τοιάδε·*
Δεῦρό νυν οὔατά μοι καθαρὰς ἀκοάς τε πετάσσας
κέκλυθι τάξιν ἅπασαν ὅσην τεκμήρατο δαίμων
ἔκ τε μιῆς νυκτὸς ἠδ' ἐξ ἑνὸς ἤματος αὔτως.

22.

Tzetzes Exeg. in Il. p. 127: *Ὁ παλαιὸς γὰρ Ὀρφεὺς ἀφ' οὗπερ ὁ ἐμὸς χρυσοῦς Ὅμηρος ὡς ἀνθεμουργὸς μέλισσα πολλὰ ἄνθη ἐπῶν ἀπεδρέψατο, ἐν ταῖς ἑαυτοῦ Δωδεκαετηρίσιν οὐ νήδυμον φησίν, ἀλλὰ ἥδυμον, λέγων οὑτωσί·*
Ὧδε γὰρ ἂν μίμνοι καθαρός τε καὶ ἔμπεδος οἶνος,
ἥδυμος εὐώδης τε· καλὸν δ' ἔτος ἐστὶ φυτείῃ.

23.

Tzetzes ad Lycophr. v. 523: *Κοίρανος γὰρ ὁ διατάκτωρ λέγεται· τύραννος δὲ ὁ βιαίως μοναρχήσας· βασιλεὺς δὲ ὁ ἐννό-*

Fr. 18 etiam apud Maximum extat v. 422–424, ubi *εἴ κ'* pro *ἦν* Ludwich, *ἄκρον* pro *αὖον* Wakefield. Praeterea *αὐγάζοιο* pro *αὐδάζοιο* et *ἀνθερίκοισιν* pro *ἀνθερίκεσσιν* ibi legitur. Mullach *αἶψα γένηται* pro *αὐγάζοιο* (*αὐδάζοιο*) edidit.

Fr. 19 extat etiam apud Maximum v. 466.

Fr. 20 extat etiam apud Maximum v. 268.

Fr. 22, 1 *καί* Lobeck addidit. — ἔμπεδος Koechly] ἔμπλεος.

μως καὶ δικαίως κρατῶν. δείκνυσι δὲ καὶ Ὀρφεὺς τὴν τούτων διαφοράν, οὑτωσὶ λέγων ἐν ταῖς Δωδεκαετηρίσιν·

Ἔσται δ' οὗτος ἀνὴρ ἢ κοίρανος ἠὲ τύραννος,
ἢ βασιλεύς, ὃς τῆμος ἐς οὐρανὸν ἵξεται αἰπύν.

24.

Proclus ad Hes. ἐκῆ v. 763: *Αἱ περὶ τῆς τῶν ἡμερῶν ἐκλογῆς καὶ ἀπεκλογῆς παραινέσεις ἔχουσι μὲν τὰς ἀρχὰς ἐκ τῶν παρατηρήσεων, ἄλλαι δὲ παρ' ἄλλοις ἐκράτησαν, ἐπεὶ καὶ παρ' Ὀρφεῖ τινες αὐτῶν διακρίσεις καὶ ἐν τοῖς Ἀθηναίων πατρίοις διωρίσθησαν, καὶ αἱ μὲν ἀγαθαί τινες, αἱ δὲ φαῦλαι, μέσαι δέ τινες εἶναι. καὶ οὐχ ὅλας ἡμέρας μόνον ὑπέλαβόν τινες εὐκαιρίαν ἔχειν πρὸς καταρχάς τινων πράξεων, ἀλλὰ καὶ μόρια τῆς ἡμέρας, ὁτὲ μὲν τὰ ἑωθινὰ ἐπαινοῦντες, ὁτὲ δὲ τὰ περὶ δείλην ὀψίαν, ὅπου δὲ καὶ τοῖς μὲν θεοῖς οἰκεῖα τὰ πρὸς μεσημβρίαν εἰρήκασιν, ἥρωσι δὲ τὰ μετὰ μεσημβρίαν.* Cf. Proclus ad Hes. ἐκῆ v. 820: *Καὶ γὰρ Ὀρφεὺς εἶπε περὶ τῶν ἡμερῶν τούτων ἄλλας ἐπαινῶν καὶ ἄλλας ἐκβάλλων· καὶ Ἀθηναῖοι κατὰ τὴν παρατήρησιν ἴδια περὶ αὐτῶν ἐδόξασαν.* Tzetzes ad Hes. ἐκῆ v. 817: (*Ἡσίοδος*) *λέγει, αἵδε μὲν ἡμέραι ἀνύσιμοι, αἱ δὲ λοιπαὶ ἀποφράδες· ἄλλος δ' ἄλλην αἰνεῖ. τοῦτο δέ φησιν, ὅτι Ὀρφεὺς ἄλλας παραδίδωσιν ἡμέρας ἀνυσίμους καὶ ἀποφράδας, ἑτέρας δὲ ὁ Μελάμπους.*

25.

Tzetzes Prooem. ad. Hes. ἐκῆ p. 18 ed. Gaisf.: *Αἱ δὲ ἡμέραι ἤτοι αἱ Ἐφημερίδες αὐτοῦ* (*τοῦ Ὀρφέως*) *ἄρχονται οὕτως·*

Πάντ' ἐδάης, Μουσαῖε θεοφραδές· εἰ δέ σ' ἀνώγει
θυμὸς ἐπωνυμίας μήνης κατὰ μοῖραν ἀκοῦσαι,
ῥεῖά τοι ἐξερέω· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
οἵην τάξιν ἔχοντα κυρεῖ· μάλα γὰρ χρέος ἐστὶν
ἴδμεναι, ὡς αὕτη παρέχει κλέος ἄντυγι μηνός.

26.

Tzetzes ad Hes. ἐκῆ v. 763: *Κατάρχεται γοῦν καί φησιν ὁποία τούτων ποίῳ τῶν ἔργων καθέστηκε χρήσιμος, κἂν δεινῶς*

Fr. 23, 1 οὗτος Koechly] *αὖ τις.*

καὶ συγκεχυμένως καὶ κακοζήλως ἔτι δὲ καὶ ψευδῶς καὶ οὐχ, ὥσπερ ὁ μέγας Ὀρφεύς, διδασκαλικῶς τε καὶ τεταγμένως καὶ κατ᾽ εὐκρίνειαν καὶ τὸ πλέον τεχνικωτέρως καὶ ἀληθῶς. ἐκεῖνος μὲν γὰρ οὕτω φησί·

Πρῶτον μὲν πρώτῳ ἐνὶ ἤματι φαίνεται Ἄρης,
μήνη δ᾽ εἴς τ᾽ Ἄρην ἐπιτέλλεται. ἴσχεο δ᾽ ἔργων·
τήνδε γὰρ ἐξανύσασα φύσιν δίκερων ἀναφαίνει.
αὐτὰρ ἐπὴν τρίτον ἦμαρ ἀπόπροθεν ἠελίοιο,
πᾶσιν ἐπιχθονίοισι φυτοσπόρου αἰτίη ἀλκῆς.
τετράδι δ᾽ αὐξομένη πολυφεγγέα λαμπάδα τείνει.

καὶ καθεξῆς πέντε, ἕξ, ἑπτά, μέχρι τῆς τριακοστῆς. οὗτος δὲ (ὁ Ἡσίοδος) τριακοστὴν λέγει ἕνην.

27.

Proclus ad Hes. ἐκῆ v. 804: *Εἰ δέ, ὥς φησιν Ὀρφεύς, τῇ ἄτῃ ἀνεῖται ἡ ἑπτακαιδεκάτη καὶ διὰ τοῦτο τῇ τε τομῇ τῆς ὕλης ἐστὶν οἰκεία καὶ τῇ τοῦ καρποῦ γυμνώσει τῶν περικαρπίων, ὁ Ἡσίοδος οὐκ ἀμούσως τούτοις τοῖς ἔργοις ἀνῆκε τὴν ἡμέραν.*

28.

Tzetzes ad Hes. ἐκῆ v. 764: *Καὶ τὴν τριακοστὴν δὲ ἡμέραν οὗτος ἀγαθὴν λέγει, ἣν Ὀρφεὺς φαύλην πᾶσιν ἔργοις φησί, δοσοληψίαις δὲ μόναις ἐσθλήν.*

29.

Proclus ad Hes. ἐκῆ v. 767: *Τὴν μὲν τριακάδα πεποίηται ἀρχὴν (ὁ Ἡσίοδος) — — μετὰ δὲ ταύτην ἀπὸ τῆς νουμηνίας ἀρξάμενος ἐπαινεῖ τὰς τρεῖς, τὴν ἕνην οὕτως καλῶν τὴν νουμηνίαν παρὰ τὸ ἕν, τὴν τετράδα, τὴν ἑβδόμην. — — ἡ μὲν οὖν πρώτη, ἡ καὶ ἕνη ῥηθεῖσα, ὡς ἀρχή, θείων ἐστι· καὶ γὰρ πᾶσαν ἀρχήν φησι Πλάτων εἶναι θείαν· καὶ γενέθλιος αὕτη καλεῖται τοῦ μηνός. καὶ ὁ μὴν ἐν αὐτῇ παρ᾽ Ὀρφεῖ προσαγορεύεται μ ο ν ό κ ε ρ ω ς μ ό σ χ ο ς. ἁπλῶς μὲν γὰρ ὁ μὴν ὡς γενέσεως ἐργάτης λέγεται βοῦς, ὡς δὲ πρώτην ἔχων τότε τῆς οἰκείας οὐσίας τὴν ἔκφασιν μ ό σ χ ο ς, καὶ διὰ τὸ μοναδικὸν μ ο ν ό κ ε ρ ω ς.*

Fr. 26, 1. 2 *φαίνετ᾽ ἀραίη Μήνη, ὅτ᾽* εἰς Ἄρην coni. Lobeck.

Cf. Joh. Protospatharius ad Hes. ἐκῇ v. 768: *Ὁ δὲ μὴν παρ' Ὀρφεῖ μόσχος μονόκερως ὀνομάζεται, καὶ μόσχος μὲν ὡς πρώτην ἔχων τῇ νέᾳ τὴν ἔκφυσιν, μονόκερως δὲ διὰ τὸ μοναδικὸν αὐτοῦ.*

VII. ΘΕΟΓΟΝΙΑ (Θεολογία).

1. Antiquissima Theogonia.[1])

30.

Damascius, Quaestiones de primis principiis p. 382: *Ἡ δὲ παρὰ τῷ Περιπατητικῷ Εὐδήμῳ ἀναγεγραμμένη ὡς τοῦ Ὀρφέως οὖσα θεολογία πᾶν τὸ νοητὸν ἐσιώπησεν, ὡς παντάπασιν ἄρρητον καὶ ἄγνωστον τρόπῳ κατὰ διέξοδόν τε καὶ ἀπαγγελίαν· ἀπὸ δὲ τῆς Νυκτὸς ἐποιήσατο τὴν ἀρχήν, ἀφ' ἧς καὶ ὁ Ὅμηρος, εἰ καὶ μὴ συνεχῆ πεποίηται τὴν γενεαλογίαν, ἵστησιν· οὐ γὰρ ἀποδεκτέον Εὐδήμου λέγοντος, ὅτι (ὁ Ὅμηρος) ἀπὸ Ὠκεανοῦ καὶ Τηθύος ἄρχεται. φαίνεται γὰρ εἰδὼς καὶ τὴν Νύκτα μεγίστην οὕτω θεὸν ὡς καὶ τὸν Δία σέβεσθαι αὐτήν· ἅζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ῥέζοι* (Il. Ξ 261).

31.

Plato Tim. p. 40 D: *Περὶ δὲ τῶν ἄλλων δαιμόνων εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς, πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τούς γε αὐτῶν προγόνους εἰδόσιν· — οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ*

1) Cf. Paul Robert Schuster, De veteris Orphicae Theogoniae indole atque origine. Lipsiae. 1869. p. 79. 80: „Concludendum Orphicam Theogoniam ante medium saeculum octavum prima fere Olympiade scriptam esse . . . fortasse etiam Orphicae Theogoniae scriptor inter horum antiquissimorum Atticorum poetarum recensendus est numerum.“ Quae esti non omnino improbabilia, tamen nimis incerta sunt. Vetustissimae huius Theogoniae a Platone, Aristotele (?), Eudemo lectae secundum Schusterum (p. 12 sqq.) haec fuit summa: Noctem Coelus et Terra subsequuntur. Ex Coelo et Terra nascuntur Oceanus et Tethys. Ii Titanes procreant, quorum maximus natu fortasse Phorcus, princeps Saturnus erat. Saturni et Rheae filius Juppiter est, mox in patris locum regno successurus. A Jove tandem novissima deorum proles oritur. Ita quinque gentes sese excipiunt Coeli (simul cum Nocte aliquantum vetustiore et Terra), Oceani, Saturni, Jovis, filiorum Jovis. In celebrando sexto, i. e. heroum genere denique poeta subsistere iussit Musas.

λεγέσθω. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων, ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν πάντας ἀδελφοὺς λεγομένους αὐτῶν, ἔτι τε τούτων ἄλλους ἐκγόνους.

32.

Plato Cratyl. p. 402 B: Ὥσπερ αὖ Ὅμηρος Ὠκεανόν τε θεῶν γένεσίν φησι καὶ μητέρα Τηθύν· οἶμαι δὲ καὶ Ἡσίοδος. λέγει δέ που καὶ Ὀρφεύς, ὅτι

Ὠκεανὸς πρῶτος καλλίρροος ἦρξε γάμοιο,
ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν.

33.

Plato Legg. IV 715 D: Ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται Δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός[1]). Cf. Schol. ad h. l. apud Bekkerum III 2. p. 451: Θεὸν μὲν τὸν δημιουργὸν σαφῶς, παλαιὸν δὲ λόγον λέγει τὸν Ὀρφικόν, ὅς ἐστιν οὗτος· Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται. Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος. καὶ ἀρχὴ μὲν οὗτος ὡς ποιητικὸν αἴτιον, τελευτὴ δὲ ὡς τελικόν, μέσσα δὲ ὡς ἐξ ἴσου πᾶσι παρών, κἂν πάντα διαφόρως αὐτοῦ μετέχῃ.

34.

Plato Phileb. p. 66 C: Ἕκτῃ δ' ἐν γενεῇ (φησὶν Ὀρφεύς) καταπαύσατε κόσμον ἀοιδῆς. ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος ἐν ἕκτῃ καταπεπαυμένος εἶναι κρίσει.

2. Theogonia ab Apollonio Rhodio servata.[2])

35.

Apoll. Rhod. I 494—512:

ἂν δὲ καὶ Ὀρφεὺς
λαιῇ ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.

---

[1]) Versus quos Plato respicit (Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται et τῷ δὲ Δίκη πολύποινος ἐφέσπετο πᾶσιν ἀρωγός) auctor Theogoniae Rhapsodicae recepit.

Fr. 34. γενεῇ ex Plutarcho Abel] γενεᾷ.

[2]) Et ab *eodem fortasse* supposita tantum Orpheo.

ἤειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῇ συναρηρότα μορφῇ,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
οὔρεά θ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
αὐτῇσιν νύμφῃσι καὶ ἑρπετὰ πάντ' ἐγένοντο.
ἤειδεν δ' ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο·
ὥς τε βίῃ καὶ χερσὶν ὃ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
ἡ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνι κύμασιν Ὠκεανοῖο·
οἱ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδὼς
Δικταῖον ναίεσκεν ὑπο σπέος, οἳ δέ μιν οὔπω
Γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῷ
βροντῇ τε στεροπῇ τε· τὰ γὰρ Διὶ κῦδος ὀπάζει.
ἦ καὶ ὃ μὲν φόρμιγγα συν ἀμβροσίῃ σχέθεν αὐδῇ.

3. Hellanici et Hieronymi Theogonia.[1])

36.

Damascius, Quaest. de primis principiis p. 387: *Τοιαύτη μὲν ἡ συνήθης Ὀρφικὴ θεογονία. ἡ δὲ κατὰ τὸν Ἱερώνυμον φε-*

[1]) Cf. Schuster p. 81 sqq.: „Puto igitur illum Hellanicum a Damascio adhibitum Phoenicem fuisse post medium saeculum secundum a. Chr. natum. [Fuit is pater Sandonis philosophi, qui Suida teste *ὑποθέσεις εἰς Ὀρφέα* scripsit] . . . iure coniicere mihi videor, auctorem nostrae Theogoniae Stoicum fuisse. Eundem vero Phoeniceum fuisse, ex eis quae nunc proponam, colligendum puto.“ Hieronymum autem eundem fuisse, qui a Josepho commemoretur, putat Schuster, qui p. 100 haec dicit: „Ant. I, 3, 6: *Μέμνηται δὲ τούτων* (h. e. cataclysmi) *καὶ Ἱερώνυμος ὁ τὴν ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμενος* et I, 3, 9: *Μῶχός τε καὶ Ἑστιαῖος καὶ πρὸς αὐτοῖς ὁ Αἰγύπτιος Ἱερώνυμος* . . . Non veri dissimile igitur est, Hellanicum quidem ipsum scripsisse Theogoniam, sed primae partis materiam ex Hieronymi libro in patria sua vulgato et lectitato deprompsisse, ita ut argumentum Hieronymi, versus Hellanici esse videantur.“ Confer etiam „Sine titulo brevem notitiam“ quam ex cod. Matritensi Iriarte (Bibl. Matrit. p. 346) traxit: *Σαγχωνιάθων ὁ Βηρύτιος τὴν Φοινίκων θεολογίαν ἐξέδωκεν, ἣν Ὀρφεὺς μετήνεγκεν εἰς τὴν Ἑλλάδα φωνὴν καὶ τὰς Αἰγυπτίων τελετάς.*

ρομένη καὶ Ἑλλάνικον, εἴπερ μὴ καὶ ὁ αὐτός ἐστιν οὕτως ἔχει· ὕδωρ ἦν, φησίν, ἐξ ἀρχῆς καὶ ἰλύς[1]), ἐξ ἧς ἐπάγη ἡ γῆ, δύο ταύτας ἀρχὰς ὑποτιθέμενος πρῶτον, ὕδωρ καὶ γῆν· ταύτην μὲν ὡς φύσει σκεδαστήν, ἐκεῖνο δὲ ὡς ταύτης κολλητικόν τε καὶ συνεκτικόν, τὴν δὲ μίαν πρὸ τῶν δυοῖν ἄρρητον ἀφίησι· αὐτὸ γὰρ τὸ μηδὲ φάναι περὶ αὐτῆς ἐνδείκνυται αὐτῆς τὴν ἀπόρρητον φύσιν· τὴν δὲ τρίτην ἀρχὴν μετὰ τὰς δύο γεννηθῆναι μὲν ἐκ τούτων, ὕδατος φημὶ καὶ γῆς, δράκοντα δὲ εἶναι κεφαλὰς ἔχοντα προσπεφυκυίας ταύρου καὶ λέοντος, ἐν μέσῳ δὲ θεοῦ πρόσωπον, ἔχειν δὲ καὶ ἐπὶ τῶν ὤμων πτερά, ὠνομάσθαι δὲ Χρόνον ἀγήρατον[2]) καὶ Ἡρακλῆα τὸν αὐτόν· συνεῖναι δὲ αὐτῷ τὴν Ἀνάγκην, φύσιν οὖσαν, τὴν αὐτὴν καὶ Ἀδράστειαν ἀσώματον διωργυιωμένην[3]) ἐν παντὶ τῷ κόσμῳ τῶν περάτων αὐτοῦ ἐφαπτομένην. ταύτην οἶμαι λέγεσθαι τὴν τρίτην ἀρχὴν κατὰ τὴν οὐσίαν ἑστῶσαν, πλὴν ὅτι ἀρσενόθηλυν αὐτὴν ὑπεστήσατο πρὸς ἔνδειξιν τῆς πάντων γεννητικῆς αἰτίας. καὶ ὑπολαμβάνω τὴν ἐν ταῖς ῥαψῳδίαις θεολογίαν ἀφεῖσαν τὰς δύο πρώτας ἀρχὰς μετὰ τῆς μιᾶς πρὸ τῶν δυῶν τῆς τῇ σιγῇ παραδοθείσης ἀπὸ τῆς τρίτης μετὰ τὰς δύο ταύτης ἐνστήσασθαι τὴν ἀρχήν, ὡς πρώτης ῥητόν τι ἐχούσης καὶ σύμμετρον πρὸς ἀνθρώπων ἀκοάς. οὗτος γὰρ ἦν ὁ πολυτίμητος ἐν ἐκείνῃ Χρόνος ἀγήρατος καὶ Αἰθέρος καὶ Χάους πατήρ. ἀμέλει καὶ κατὰ ταύτην (scil. Hieronymi Theogoniam in hac re non diversam ab Rhapsodiis) οὗτος ὁ δράκων γεννᾷ τὴν τριπλῆν γονήν, Αἰθέρα φημὶ νοτερὸν[4]) καὶ Χάος ἄπειρον, καὶ τρίτον ἐπὶ τούτοις Ἔρεβος ὀμιχλῶδες τὴν δευτέραν ταύτην τριάδα ἀνάλογον τῇ πρώτῃ παραδίδωσι δυναμικὴν οὖσαν ὡς ἐκείνην πατρικήν· διὸ καὶ τὸ τρίτον αὐτῆς Ἔρεβός ἐστιν ὀμιχλῶδες, καὶ τὸ πατρικόν τε καὶ ἄκρον αἰθὴρ οὐχ ἁπλῶς ἀλλὰ νοερῶς· τὸ δὲ μέσον αὐτόθεν χάος ἄπειρον. ἀλλὰ μὴν ἐν τούτοις, ὡς λέγει (Hieronymus?), ὁ Χρόνος ᾠὸν ἐγέννησεν, τοῦ Χρόνου ποιοῦσα γέννημα καὶ αὕτη ἡ παράδοσις (scil. Hieronymi relatio),

---

[1]) sic Creuzer pro ὕλη. — [2]) ἀγήραον poeticam formam praetulit Lobeck. — [3]) διωργανωμένην coni. Kopp. — [4]) φημὶ νοτερόν Lobeck] φησὶ νοερόν.

καὶ ἐν τούτοις φαινόμενον, ὅτι καὶ ἀπὸ τούτων ἡ τρίτη πρόεισι νοητὴ τριάς. τίς οὖν αὕτη ἐστί; τὸ ᾠόν, ἡ δυὰς τῶν ἐν αὐτῷ φύσεων, ἄρρενος καὶ θηλείας καὶ τῶν ἐν μέσῳ παντοίων σπερμάτων τὸ πλῆθος· καὶ τρίτον ἐπὶ τούτοις θεὸς ἀσώματος πτέρυγας ἐπὶ τῶν ὤμων ἔχων χρυσᾶς, ὃς ἐν μὲν ταῖς λαγόσι προσπεφυκυίας εἶχε ταύρων κεφαλάς, ἐπὶ δὲ τῆς κεφαλῆς δράκοντα πελώριον παντοδαπαῖς μορφαῖς θηρίων ἰνδαλλόμενον. τοῦτον μὲν οὖν ὡς νοῦν τῆς τριάδος ὑποληπτέον, τὰ δὲ μέσα γένη τά τε πολλὰ καὶ τὰ δύο τὴν δύναμιν, αὐτὸ δὲ τὸ ᾠὸν ἀρχὴν πατρικὴν τῆς τρίτης τριάδος· ταύτης δὲ τῆς τρίτης τριάδος τὸν τρίτον θεὸν καὶ ἥδε ἡ θεολογία *Πρωτόγονον* ἀνυμνεῖ καὶ *Δία* καλεῖ *πάντων διατάκτορα* καὶ ὅλου τοῦ κόσμου, διὸ καὶ *Πᾶνα* καλεῖσθαι. τοσαύτη καὶ αὕτη περὶ τῶν νοητῶν ἀρχῶν ἡ γενεαλογία παρίστησιν.

37.

Apio apud Clement. Rom. Homil. VI 4. 671: Καὶ Ὀρφεὺς δὲ τὸ Χάος ᾠῷ παρεικάζει, ἐν ᾧ τῶν πρώτων στοιχείων ἦν ἡ σύγχυσις. τοῦτο Ἡσίοδος Χάος ὑποτίθεται, ὅπερ Ὀρφεὺς ᾠὸν λέγει γεννητὸν ἐξ ἀπείρου τῆς ὕλης προβεβλημένον, γεγονὸς δὲ οὕτω· τῆς τετραγενοῦς ὕλης ἐμψύχου οὔσης καὶ ὅλου ἀπείρου τινὸς βυθοῦ ἀεὶ ῥέοντος καὶ ἀκρίτως φερομένου καὶ μυρίας ἀτελεῖς κράσεις εἰς ἄλλοτε ἄλλως ἐπαναχέοντος καὶ διὰ τοῦτο αὐτὰς ἀναλύοντος τῇ ἀταξίᾳ καὶ κεχηνότος καὶ εἰς γέννησιν ζῴου δεθῆναι μὴ δυναμένου, συνέβη ποτὲ αὐτοῦ τοῦ ἀπείρου πελάγους ὑπὸ ἰδίας φύσεως περιωθουμένου κινήσει φυσικῇ εὐτάκτως ῥυῆναι ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτό, ὥσπερ ἴλιγγα, καὶ μῖξαι τὰς οὐσίας καὶ οὕτως ἐξ ἑκάστου τῶν πάντων τὸ νοστιμώτατον, ὅπερ πρὸς γέννησιν ζῴου ἐπιτηδειότατον ἦν, ὥσπερ ἐν χώνῃ κατὰ μέσου ῥυῆναι τοῦ παντὸς καὶ ὑπὸ τῆς πάντα φερούσης ἴλιγγος χωρῆσαι εἰς βάθος καὶ τὸ περικείμενον πνεῦμα ἐπισπάσασθαι καὶ ὡς εἰς γονιμώτατον συλληφθὲν ποιεῖν κριτικὴν σύστασιν. ὥσπερ γὰρ ἐν ὑγρῷ φιλεῖ γίνεσθαι πομφόλυξ, οὕτως σφαιροειδὲς πανταχόθεν συνειλήθη κύτος. ἔπειτα ἐν ἑαυτῷ κυηθὲν ὑπὸ τοῦ κατειληφότος θειώδους πνεύματος ἀναφερόμενον προέκυψεν εἰς φῶς μέγιστόν τι τοῦτο ἀποκύημα, ὡς ἂν ἐκ

παντὸς τοῦ ἀπείρου βυθοῦ ἀποκεκυημένον ἔμψυχον δημιούργημα καὶ τῇ περιφερείᾳ τῶν ᾠῶν προσεοικὸς καὶ τῷ τάχει τῆς πτήσεως.

38.

Apion apud Clem. Rom. Homil. VI 4. p. 672: *Κρόνον οὖν τὸν χρόνον μοι νόει, τὴν δὲ Ῥέαν τὸ ῥέον τῆς ὑγρᾶς οὐσίας· ὅτι χρόνῳ φερομένη ἡ ὕλη ἅπασα ὥσπερ ᾠὸν τὸν πάντα περιέχοντα σφαιροειδῆ ἀπεκύησεν οὐρανόν· ὅπερ κατ᾽ ἀρχὰς τοῦ γονίμου πλῆρες ἦν, ὡς ἂν στοιχεῖα καὶ χρώματα παντοδαπὰ ἐκτεκεῖν δυνάμενον καὶ ὅμως παντοδαπὴν ἐκ μιᾶς οὐσίας τε καὶ χρώματος ἑνὸς ἔφερε τὴν φαντασίαν. ὥσπερ γὰρ ἐν τῷ τοῦ ταὼ γεννήματι ἓν μὲν τοῦ ᾠοῦ χρῶμα δοκεῖ, δυνάμει δὲ μυρία ἔχει ἐν ἑαυτῷ τοῦ μέλλοντος τελεσφορεῖσθαι χρώματα, οὕτως καὶ τὸ ἐξ ἀπείρου ὕλης ἀποκυηθὲν ἔμψυχον ᾠὸν ἐκ τῆς ὑποκειμένης καὶ ἀεὶ ῥεούσης ὕλης κινούμενον παντοδαπὰς ἐκφαίνει τροπάς. ἔνδοθεν γὰρ τῆς περιφερείας ζῷόν τι ἀρρενόθηλυ εἰδοποιεῖται προνοίᾳ τοῦ ἐνόντος ἐν αὐτῷ θείου πνεύματος, ὃν Φάνητα Ὀρφεὺς καλεῖ, ὅτι αὐτοῦ φανέντος τὸ πᾶν ἐξ αὐτοῦ ἔλαμψε τῷ φέγγει τοῦ διαπρεπεστάτου τῶν στοιχείων πυρὸς ἐν τῷ ὑγρῷ τελεσφορουμένου. καὶ οὐκ ἄπιστον, ὅτι καὶ ἐπὶ λαμπυρίδων, δείγματος ἕνεκα, ἡ φύσις ἡμῖν ὁρᾶν ὑγρὸν φῶς ἐδωρήσατο. τὸ μὲν οὖν πρωτοσύστατον ᾠὸν ὑποθερμανθὲν ὑπὸ τοῦ ἔσωθεν ζῴου ῥήγνυται, ἔπειτα δὲ μορφωθὲν προέρχεται ὁποῖόν τι καὶ Ὀρφεὺς λέγει·*

Ἀρχαίου σχισθέντος ὑπὲκ πολυχανδέος ᾠοῦ·[1])

καὶ οὕτω μεγάλῃ δυνάμει αὐτοῦ τοῦ προεληλυθότος φανέντος[2]) *τὸ μὲν κύτος τὴν ἁρμονίαν λαμβάνει καὶ τὴν διακόσμησιν ἴσχει, αὐτὸς δὲ ὥσπερ ἐπ᾽ ἀκρωρείας οὐρανοῦ προκαθέζεται καὶ ἐν ἀπορρήτοις τὸν ἄπειρον περιλάμπει αἰῶνα. ἡ δὲ τοῦ κύτους ἔνδοθεν γόνιμος ὑποληφθεῖσα ὕλη, ὡς ἐν πολλῷ τῷ χρόνῳ ὑποκειμένη ἕως φυσικῶς ὑποζέουσα ἡ θερμότης τὰς πάντων διέκρινεν οὐσίας. τὸ μὲν κατώτερον αὐτῆς πρῶτον ὥσπερ ὑπο-*

---

1) *Ἀρχαίου* Düntzer] *κραναίου* (*κραμαίου*). — ὑπὲκ Lobeck addidit. —
2) *Φάνητος* coni. Schenkl.

στάθμη ὑπὸ τοῦ βάρους εἰς τὰ κάτω ὑποκεχώρηκεν ὃ διὰ τὴν ὁλκότητα καὶ διὰ τὸ ἐμβριθὲς καὶ πολὺ τῆς ὑποκειμένης οὐσίας πλῆθος Πλούτωνα προσηγόρευσαν ᾅδου τε καὶ νεκρῶν βασιλέα εἶναι ἀποφηνάμενοι. Ad quae Clemens haec respondet p. 163: *Παρίημι νῦν ἐπ᾽ ἀκριβὲς λέγειν τὸ ἐκ τῆς ἀπείρου ὕλης κατ᾽ ἐπιτυχίαν κράσεως ἀποκυηθὲν ἔμψυχον ᾠόν, οὗ ῥαγέντος κατά τινας ἀρρηνόθηλυς ἐξέθορεν Φάνης· καὶ πάντ᾽ ἐκεῖνα ἐπιτέμνομαι μέχρις οὗ τὸ ῥαγὲν κύτος τὴν ἁρμονίαν ἔλαβεν ὑπολειφθείσης αὐτοῦ μυελώδους ὕλης· καὶ τὸν λόγον τῶν ὑπ᾽ αὐτῆς ἔνδοθεν γενομένων ἐπικεφαλαιῶν μετὰ τῶν ἀκολούθων ἐπιτρέχω* etc. — Cf. Clemens Rom. Recogn. X c. 30: „Omnis sermo apud Graecos, qui de antiquitatis origine conscribitur, cum alios multos tum duos praecipuos auctores habet, Orpheum et Hesiodum. — Orpheus igitur est, qui dicit primo fuisse Chaos sempiternum, immensum, ingenitum, ex quo omnia facta sunt; hoc sane ipsum Chaos non tenebras dixit esse, non lucem, non umidum, non aridum, non calidum, non frigidum, sed omnia simul mista et semper unum fuisse, informe, aliquando tamen quasi ad ovi immanis modum per immensa tempora effectum peperisse ac protulisse ex se duplicem quandam speciem, quam illi masculofeminam vocant ex contraria admixtione huiusmodi diversitatis speciem concretam; et hoc esse principium omnium, quod primum ex materia puriore processerit, quodque procedens discretionem quattuor elementorum dederit et ex duobus quae prima sunt elementis fecerit coelum, ex aliis autem terram, ex quibus iam omnia participatione sui invicem nasci dicit et gigni. Haec quidem Orpheus.“ Idem X 7. 316: „Aiunt ergo qui sapientiores sunt inter gentiles primo omnium Chaos fuisse; hoc per multum tempus exteriores sui solidans partes fines sib et fundum quendam fecisse tanquam in ovi immanis modum formamque collectum; intra quod multo nihilominus tempore quasi intra ovi testam fotum vivifactumque esse animal quoddam disruptoque post haec immani illo globo processisse speciem quandam hominis duplicis formae, quam illi masculofeminam vocant. Hunc etiam Phaneta nominarunt ab apparendo, quia quum apparuisset, inquiunt, tunc etiam lux effulsit, et ex hoc

dicunt progenitam esse substantiam, prudentiam, motum, coitum. Ex his factum Coelum et Terram; ex Coelo sex progenitos mares, quos et Titanas appellant, similiter et de Terra sex feminas, quas Titanidas vocitarunt; et sunt nomina eorum quidem, qui ex Coelo orti sunt, haec: Oceanus, Coeus, Crios, Hyperion, Iapetos, Cronos, qui apud nos Saturnus nominatur; similiter et earum, quae e Terra ortae sunt, nomina sunt haec: Theia, Rhea, Themis, Mnemosyne, Thetis, Phoibe. Ex his omnibus qui primum fuerat e Coelo natus primam Terrae filiam accepit uxorem, secundus secundam, et ceteri similiter per ordinem; primus ergo qui primam duxerat, propter eam deductus est deorsum; secunda vero propter eum cui nupserat, ascendit sursum, et ita singuli per ordinem facientes manserunt in his qui eis nuptiali sorte obvenerant locis. Ex istorum coniunctionibus alios quoque innumeros adserunt progenitos. Sed de illis sex maribus unus, qui dicitur Saturnus, qui in coniugium acceperat Rheam, et cum responso quodam commonitus esset, quod qui ex eo nasceretur fortior ipso futurus esset regnoque eum depelleret, omnes qui ei nascerentur filios devorare instituit. Huic ergo primus nascitur filius, quem *Ἀίδην* appellarunt, qui apud nos Orcus nominatur, quem devorat pater. Post hunc secundum genuit, quem Neptunum dicunt, quemque simili modo devoravit. Novissimum genuit eum quem Iovem appellant. Sed hunc mater miserans Rhea per artem devoratori subtrahit patri et primo quidem ne vagitus pueri innotesceret, Corybantes quosdam cymbala fecit ac tympana percutere, ut obstrepente sonitu vagitus non audiretur infantis."

39.

Athenagoras, Legatio pro Christianis p. 294 C: *Οὐκ ἐξ ἀρχῆς, ὥς φασιν, ἦσαν οἱ θεοί, ἀλλ' οὕτως γέγονεν αὐτῶν ἕκαστος, ὡς γινόμεθα ἡμεῖς· καὶ τοῦτο πᾶσιν αὐτοῖς ξυμφωνεῖ· Ὁμήρου μὲν γὰρ λέγοντος* (Il. Ξ 201. 302) *Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν, Ὀρφέως δέ* (*ὃς καὶ τὰ ὀνόματα αὐτῶν πρῶτος ἐξεῦρε, καὶ τὰς γενέσεις διεξῆλθε, καὶ ὅσα ἑκάστοις πέπρακται εἶπε, καὶ πεπίστευται παρ' αὐτοῖς ἀληθέστερον θεολογεῖν*,

ᾧ καὶ Ὅμηρος τὰ πολλὰ καὶ περὶ θεῶν μάλιστα ἕπεται) καὶ αὐτοῦ τὴν πρώτην γένεσιν αὐτῶν ἐξ ὕδατος συνιστάντος·

Ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται.

ἦν γὰρ ὕδωρ ἀρχὴ κατ᾽ αὐτὸν τοῖς ὅλοις, ἀπὸ δὲ τοῦ ὕδατος ἰλὺς κατέστη, ἐκ δὲ ἑκατέρων ἐγεννήθη ζῷον δράκων προσπεφυκυῖαν ἔχων κεφαλὴν λέοντος καὶ ἄλλην ταύρου[1]), διὰ μέσου δὲ αὐτῶν θεοῦ πρόσωπον, ὄνομα Ἡρακλῆς καὶ Χρόνος. οὗτος ὁ Ἡρακλῆς ἐγέννησεν ὑπερμέγεθες ᾠόν, ὃ συμπληρούμενον ὑπὸ βίας τοῦ γεγεννηκότος ἐκ παρατριβῆς εἰς δύο ἐρράγη. τὸ μὲν οὖν κατὰ κορυφὴν αὐτοῦ οὐρανὸς εἶναι ἐτελέσθη, τὸ δὲ κατενεχθὲν γῆ. προῆλθε δὲ καὶ θεὸς Γῆ διὰ σώματος. Οὐρανὸς δὲ Γῇ μιχθεὶς γεννᾷ θηλείας μὲν Κλωθώ, Λάχεσιν, Ἄτροπον· ἄνδρας δὲ ἑκατόγχειρας, Κόττον, Γύγην, Βριάρεων· καὶ Κύκλωπας, Βρόντην καὶ Στερόπην καὶ Ἄργον[2])· οὓς καὶ δήσας κατεταρτάρωσεν, ἐκπεσεῖσθαι αὐτὸν ὑπὸ τῶν παίδων τῆς ἀρχῆς μαθών. διὸ καὶ ὀργισθεῖσα ἡ Γῆ τοὺς Τιτᾶνας ἐγέννησε·

Κούρους δ᾽ οὐρανίωνας ἐγείνατο πότνια Γαῖα,
οὓς δὴ καὶ Τιτῆνας ἐπίκλησιν καλέουσιν,
οὕνεκα τισάσθην μέγαν Οὐρανὸν ἀστερόεντα.

40.

Etymol. Magnum p. 787, 31 s. v. Φάνης: Φάνητος·

Τὸν δή τοι πρώτιστα μέγαν θεόν, ὅν ῥα Φάνητα
κικλήσκουσ᾽, ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς ἔγεντο.

Ὀρφεύς· οὕτως Ὧρος.

41.

Athenagoras, Leg. pro Christ. p. 295 C —296 B: Ἐπὶ τὰ λοιπὰ ἂν παρεγενόμην τῶν ἐγκλημάτων. ἐπεὶ δὲ τοῦτο μὲν διατεθείκασιν αὐτῶν τὰ σώματα, τὸν μὲν Ἡρακλέα, ὅτι θεὸς δράκων ἑλικτός, τοὺς δὲ ἑκατόγχειρας εἰπόντες· καὶ τὴν θυγατέρα τοῦ Διός, ἣν ἐκ τῆς μητρὸς Ῥέας ἢ Δήμητρος αὐτῆς ἐπαιδοποιήσατο, δύο μὲν κατὰ φύσιν εἶπεν ἔχειν ὀφθαλμοὺς καὶ ἐπὶ τῷ μετώπῳ δύο καὶ προτομὴν κατὰ τὸ ὄπισθεν τοῦ τραχήλου μέρος, ἔχειν δὲ καὶ κέρατα· διὸ καὶ τὴν Ῥέαν

[1]) καὶ ἄλλην ταύρου Zoëga addidit. — [2]) Legendum Ἀργην. — 2 κικλήσκουσ᾽ Miller] καλέουσιν.

φοβηθεῖσαν τὸ παιδὸς τέρας φυγεῖν, οὐκ ἐφεῖσαν αὐτῇ τὴν θηλήν· ἔνθεν μυστικῶς μὲν Ἀθηλᾶ, κοινῶς δὲ Φερσεφόνη καὶ Κόρη κέκληται, οὐχ ἡ αὐτὴ οὖσα τῇ Ἀθηνᾷ τῇ ἀπὸ τῆς κόρσης γενομένῃ. τοῦτο δὲ τὰ πραχθέντα ἐπ' ἀκριβὲς αὐτοῖς, ὡς οἴονται, διεξεληλύθασι. Κρόνος μὲν ὡς ἐξέτεμε τὰ αἰδοῖα τοῦ πατρὸς καὶ κατέρριψεν αὐτὸν ἀπὸ τοῦ ἅρματος, καὶ ὡς ἐτεκνοκτόνει καταπίνων τῶν παίδων τοὺς ἄρρενας, Ζεὺς δέ, ὅτι τὸν μὲν πατέρα δήσας κατεταρτάρωσε, καθὰ καὶ τοὺς υἱεῖς ὁ Οὐρανός· καὶ πρὸς Τιτᾶνας περὶ τῆς ἀρχῆς ἐπολέμησε· καὶ ὅτι τὴν μητέρα Ῥέαν ἀπαγορεύουσαν αὐτοῦ τὸν γάμον ἐδίωκε· δρακαίνης δ' αὐτῆς γενομένης καὶ αὐτὸς εἰς δράκοντα μεταβαλὼν συνδήσας αὐτὴν τῷ καλουμένῳ Ἡρακλειωτικῷ ἅμματι ἐμίγη· τοῦ σχήματος τῆς μίξεως τὸ σύμβολον ἡ τοῦ Ἑρμοῦ ῥάβδος· εἶθ' ὅτι Φερσεφόνῃ τῇ θυγατρὶ ἐμίγη, βιασάμενος καὶ ταύτην ἐν δράκοντος σχήματι, ἐξ ἧς παῖς Διόνυσος αὐτῷ· ἀνάγκη κἂν τοσοῦτον εἰπεῖν. τί τὸ σεμνὸν ἢ χρηστὸν τῆς τοιαύτης ἱστορίας, ἵνα πιστεύσωμεν θεοὺς εἶναι τὸν Κρόνον, τὸν Δία, τὴν Κόρην, τοὺς λοιπούς; αἱ διαθέσεις τῶν σωμάτων; καὶ τίς ἂν ἄνθρωπος κεκριμένος καὶ ἐν θεωρίᾳ γεγονὼς ὑπὸ θεοῦ γεννηθῆναι πιστεύσαι ἔχιδναν; (Ὀρφεύς·

Σὺν δὲ Φάνητ' ἄλλην γενεὴν τεκνώσατο δεινὴν
νηδύος ἐξ ἱερῆς, προσιδεῖν φοβερωπὸν ἔχιδναν,
ἧς χαῖται μὲν ἀπὸ κρατός, καλὸν δὲ πρόσωπον
ἦν ἐσιδεῖν, τὰ δὲ λοιπὰ μέρη φοβεροῖο δράκοντος
αὐχένος ἐξ ἄκρου.)

ἢ αὐτὸν τὸν Φάνητα δέξαιτο θεὸν ὄντα πρωτόγονον (οὗτος γάρ ἐστιν ὁ ἐκ τοῦ ᾠοῦ προχυθείς) ἢ σῶμα ἢ σχῆμα ἔχειν δράκοντος ἢ καταποθῆναι ὑπὸ τοῦ Διός, ὅπως ὁ Ζεὺς ἀχώρητος[1]) γένοιτο;

42.

Gaudentius Isag. Harmon. initio: *Τῶν ἁρμονικῶν λόγων ἁπτόμενος δικαίως ἄν τις προοιμιάσαιτο·*

Fr. 41, 1 *Σὺν δὲ Φάνητ(ι)* Schuster] *τὸν (τὴν) δὲ Φάνης.* — [1]) *ἀχώριστος* coni. Lobeck, *ἀλόχευτος* coni. Schenkl.

Ἀείδω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι.

Cf. Plutarchus Symp. II 3, 2: *Ἐξ ἐνυπνίου τινὸς ἀπειχόμην ᾠῶν πολὺν ἤδη χρόνον — — ὑπόνοιαν μέντοι παρέσχον ἐνέχεσθαι δόγμασιν Ὀρφικοῖς ἢ Πυθαγορικοῖς καὶ τὸ ᾠὸν (ὥσπερ ἔνιοι καρδίαν καὶ ἐγκέφαλον) ἀρχὴν ἡγούμενος γενέσεως ἀφοσιοῦσθαι. — Ἀείσω συνετοῖσι τὸν Ὀρφικὸν καὶ ἱερὸν λόγον, ὃς οὐκ ὄρνιθος μόνον τὸ ᾠὸν ἀποφαίνει πρεσβύτερον, ἀλλὰ καὶ συλλαβὼν ἅπασαν αὐτῷ τὴν ἁπάντων ὁμοῦ πρεσβυγένειαν ἀνατίθησι — — ὅθεν οὐκ ἀπὸ τρόπου τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ὡς μίμημα τοῦ τὰ πάντα γεννῶντος καὶ περιέχοντος ἐν ἑαυτῷ συγκαθωσίωται.*

43.

Clemens Alex. Strom. VI p. 259: *Ὅ τε Ὀρφεύς·*

Ἓν κράτος, εἷς δαίμων γένετο, μέγας Οὐρανὸς αἴθων,
ἓν δὲ τὰ πάντα τέτυκται, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ καὶ ὕδωρ καὶ γαῖα

καὶ τὰ ἐπὶ τούτοις.

44.

Etymol. Magnum p. 231, 21 s. v. *Γίγας: Παρὰ τὸ γῶ, τὸ χωρῶ, γίνεται γάς· καὶ κατὰ ἀναδιπλασιασμὸν γίγας· ἢ παρὰ τὸ ἐκ τῆς γῆς ἰέναι*[1]), *οἷον·*

Οὓς καλέουσι Γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν,
οὕνεκα Γῆς ἐγένοντο καὶ αἵματος Οὐρανίοιο.

οὕτως Ὀρφεὺς ἐν τῷ ὀγδόῳ τοῦ Ἱεροῦ λόγου.[2])

Fr. 42, 1. Versus a Pythagora in usum suum conversus etiam sub Pythagorae nomine citatur.

Fr. 44. [1]) *γεγονέναι* coni. Struve. — [2]) Sacer Orphei Sermo ex viginti quattuor rhapsodiis constans olim *Διαθήκας*, Hieronymi Theogoniam, Carmen de numero (cuius fragmenta infra sub *Ἱερὸς Λόγος* posui) et fortasse alia in se continuisse videtur. Postea Hieronymi Theogonia expulsa est et seorsum ferebatur (cf. Suidam); in huius locum Theogonia a Platonicis lecta successit, librorum in Sacro Sermone ordine paullum mutato; nam Hieronymi Theogonia octavum librum et fortasse etiam proxime antecedentes et sequentes libros occupabat. Rhapsodica Theogonia a duodecimo Sacri Sermonis libro incepisse videtur.

45.

Clemens Alex. Strom. VI. p. 266: *Ἔν τε τῇ θεογονίᾳ ἐπὶ τοῦ Κρόνου Ὀρφεῖ πεποίηται·*

Κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος
ᾕρει πανδαμάτωρ·

ταῦτα δὲ Ὅμηρος ἐπὶ τοῦ Κύκλωπος (Od. IX 372) *μετέθηκεν.*

46.

Pseudo-Aristot. de mundo c. 7 p. 401 a: *Οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυμος ὢν φύσεώς τε καὶ τύχης ἅτε πάντων αὐτὸς αἴτιος ὤν· διὸ καὶ ἐν τοῖς Ὀρφικοῖς οὐ κακῶς λέγεται·*

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος·
Ζεὺς κεφαλή, Ζεὺς μέσσα· Διὸς δ' ἐκ πάντα τέτυκται·
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος·
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος ἔπλετο νύμφη·
Ζεὺς πνοιὴ πάντων, Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή·
Ζεὺς πόντου ῥίζα, Ζεὺς ἥλιος ἠδὲ σελήνη·
Ζεὺς βασιλεύς, Ζεὺς ἀρχὸς ἁπάντων ἀργικέραυνος·
πάντας γὰρ κρύψας αὖθις φάος ἐς πολυγηθὲς
ἐξ ἱερῆς κραδίης ἀνενέγκατο μέρμερα ῥέζων.

47.

Athenagoras, Leg. pro Christ. p. 309 A: *Χρὴν δ' αὐτούς, εἰ δεινὸν τὸ ἐπ' ἀδείας καὶ ἀδιαφόρως μίγνυσθαι κρίνειν ἔμελλον, ἢ τὸν Δία μεμισηκέναι, ἐκ μητρὸς μὲν Ῥέας, θυγατρὸς δὲ Κόρης πεπαιδοποιημένον, γυναικὶ δ' ἰδίᾳ ἀδελφῇ χρώμενον· ἢ τὸν τούτων ποιητὴν Ὀρφέα, ὅτι καὶ ἀνόσιον ὑπὲρ τὸν Θυέστην καὶ μιαρὸν ἐποίησε τὸν Δία.* Cf. Tatianus Oratio adv. Graecos cap. 6 p. 251: *Ζεὺς θυγατρὶ συγγίνεται καὶ ἡ θυγάτηρ ἀπ' αὐτοῦ κύει· μαρτυρήσει μοι Ἐλευσὶς καὶ δράκων ὁ μυστικὸς καὶ Ὀρφεὺς θύρας δ' ἐπίθεσθε βέβηλοι λέγων.*

Fr. 46, 2. Hic versus e vetustissima Orphei Theogonia sumptus esse videtur. Noverunt eum Plato, Archytas, Aristoxenus, Demosthenes alii.

4. Ἡ ἐν ταῖς ῥαψῳδίαις Θεογονία.[1])

48.

Damascius Quaest. de primis principiis p. 380: Ἐν μὲν τοίνυν ταῖς φερομέναις ταύταις ῥαψῳδίαις Ὀρφικαῖς θεολογία δή τίς ἐστιν ἡ περὶ τὸ νοητόν, ἣν καὶ οἱ φιλόσοφοι διερμηνεύουσιν, ἀντὶ μὲν τῆς μιᾶς τῶν ὅλων ἀρχῆς τὸν χρόνον τιθέντες, ἀντὶ δὲ τοῖν δυοῖν αἰθέρα καὶ χάος, ἀντὶ δὲ τοῦ ὄντος ἁπλῶς τὸ ᾠὸν ἀπολογιζόμενοι καὶ τριάδα ταύτην πρώτην ποιοῦντες· εἰς δὲ τὴν δευτέραν τελεῖν ἤτοι τὸ κυούμενον καὶ τὸ κύον ᾠὸν τὸν θεὸν ἢ τὸν ἀργῆτα χιτῶνα ἢ τὴν νεφέλην, ὅτι ἐκ τούτων ἐκθρώσκει ὁ Φάνης· ἄλλοτε γὰρ ἄλλα περὶ τοῦ μέσου φιλοσοφοῦσι· τοῦτο μὲν ὁποῖον ἂν ᾖ, ὡς τὸν νοῦν, ὡς δὲ πατέρα καὶ δύναμιν, ἄλλα τινὰ προσεπινοοῦντες οὐδὲν τῷ Ὀρφεῖ προσήκοντα. εἰς δὲ τὴν τρίτην τὴν Μῆτιν ὡς νοῦν, τὸν Ἠρικεπαῖον ὡς δύναμιν, τὸν Φάνητα ὡς πατέρα.[2]) — (Post descriptionem Theogoniae κατὰ τὸν Ἱερώνυμον καὶ Ἑλλάνικον p. 381:) Καὶ ὑπολαμβάνω τὴν ἐν ταῖς ῥαψῳδίαις θεολογίαν ἀφεῖσαν τὰς δύο πρώτας ἀρχὰς [in Hieronymi et Hellanici Theogonia obvias] μετὰ τῆς μιᾶς πρὸ τῶν δυοῖν τῆς τῇ σιγῇ παραδοθείσης ἀπὸ τῆς τρίτης μετὰ τὰς δύο ταύτης ἐνστήσασθαι τὴν ἀρχὴν ὡς πρώτης ῥητόν τι ἐχούσης καὶ σύμμετρον πρὸς ἀνθρώπων ἀκοάς. οὗτος γὰρ ἦν ὁ πολυτίμητος ἐν ἐκείνῃ Χρόνος ἀγήρατος καὶ Αἰθέρος καὶ Χάους πατήρ. ἀμέλει καὶ κατὰ ταύτην οὗτος ὁ δράκων γεννᾷ τὴν τριπλῆν γονήν, Αἰθέρα φημὶ νοτερὸν[3]) καὶ Χάος ἄπειρον καὶ Ἔρεβος ὀμιχλῶδες — — ἀλλὰ μὴν ἐν τούτοις, ὡς λέγει (Hieronymus?), ὁ Χρόνος ᾠὸν ἐγέννησεν, τοῦ Χρόνου ποιοῦσα γέννημα καὶ αὕτη ἡ παράδοσις (scil. Hieronymi relatio), καὶ ἐν τούτοις τικτόμενον, ὅτι καὶ ἀπὸ τούτων ἡ τρίτη πρόεισι νοητὴ τριάς. τίς οὖν αὕτη ἐστί; τὸ ᾠόν, ἡ δυὰς τῶν ἐν αὐτῷ φύσεων ἄρρενος καὶ θηλείας, καὶ τῶν ἐν μέσῳ παντοίων σπερμάτων τὸ πλῆθος· καὶ τρίτον ἐπὶ

[1]) „Carmen subditicium quod ineunte saeculo p. Chr. n. secundo praesertim inter Platonicos harum rerum capidissimos inclaruit.“ Schuster p. 35. — [2]) Sic Lobeck pro τὴν δὲ τρ. τὸν Μ. τὸν Ἠρ. ὡς δύν. κτλ. (om. εἰ δέ). — [3]) φημὶ νοτερόν Lobeck pro φησὶ νοερόν.

τούτοις θεὸς ἀσώματος[1]) πτέρυγας ἐπὶ τῶν ὤμων ἔχων χρυσᾶς, ἃς ἐν μὲν ταῖς λαγόσι προσπεφυκυίας εἶχε ταύρων κεφαλάς, ἐπὶ δὲ τῆς κεφαλῆς δράκοντα πελώριον παντοδαπαῖς μορφαῖς θηρίων ἰνδαλλόμενον. τοῦτον μὲν οὖν ὡς νοῦν τῆς τριάδος ὑποληπτέον, τὰ δὲ μέσα γένη τά τε πολλὰ καὶ τὰ δύο τὴν δύναμιν, αὐτὸ δὲ τὸ ᾠὸν ἀρχὴν πατρικὴν τῆς τρίτης τριάδος· ταύτης δὲ τῆς τρίτης τριάδος τὸν τρίτον θεὸν καὶ ἥδε ἡ θεολογία Πρωτόγονον ἀνυμνεῖ καὶ Δία καλεῖ πάντων διατάκτορα καὶ ὅλου τοῦ κόσμου, διὸ καὶ Πᾶνα καλεῖσθαι. τοσαύτη καὶ αὕτη περὶ τῶν νοητῶν ἀρχῶν ἡ γενεαλογία παρίστησιν.

49.

Joannes Malala, Chronographiae lib. IV p. 72. 73: Μετὰ δὲ βραχὺ ἡγήσατο τοῦ Ἰσραὴλ Γεδεών. ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἦν Ὀρφεύς, ὅστις ἐξέθετο θεογονίαν καὶ κόσμου κτίσιν καὶ ἀνθρώπων πλαστουργίαν, εἰρηκὼς ἐν τῇ ἀρχῇ τοῦ συντάγματος αὐτοῦ, ὅτι ἐκ τῆς ἰδίας αὐτοῦ ἐνθυμήσεως οὐκ ἐξέθετό τί ποτε περὶ θεοῦ ἢ τῆς κοσμικῆς κτίσεως, ἀλλ' εἶπεν ὅ τι αἰτησαμένου διὰ ἰδίας αὐτοῦ εὐχῆς μαθεῖν παρὰ τοῦ Φοίβου Τιτᾶνος ἡλίου τὴν θεογονίαν καὶ τὴν τοῦ κόσμου κτίσιν καὶ τίς ἐποίησεν αὐτήν. ἐμφέρεται γὰρ ἐν τῇ αὐτοῦ ἐκθέσει διὰ ποιητικῶν στίχων οὕτως·

Ὦ ἄνα, Λητοῦς υἱ', ἑκατηβόλε, Φοῖβε, κραταιέ,
πανδερκές, θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσων,
Ἠέλιε, χρυσέῃσιν ἀειρόμενε πτερύγεσσι,
δωδεκάτην δὴ τήνδε παραί σεο ἔκλυον ὀμφὴν
σεῦ φαμένου, σὲ δέ γ' αὐτόν, ἑκηβόλε, μάρτυρα θείμην.

Cf. Malalae paraphrasim: Ὦ δέσποτα, ἡμέρας υἱέ, ὁ τὰ πάντα πόρρωθεν ταῖς ἀκτῖσί σου τοξεύων, ἀμίαντε καὶ δυνατέ, ὁ τὰ πάντα ἐπιβλέπων, θνητῶν καὶ ἀθανάτων βασιλεύων, Ἥλιε τιμίαις εἰς τὸν ἀέρα ὑψούμενε πτέρυξι· δωδεκάτην δὴ ταύτην παρά σου ἤκουσα θείαν φωνήν, σοῦ εἰρηκότος μοι, σὲ δ' αὐτὸν τὸν ἀπὸ μακρόθεν λάμποντα μάρτυρα τίθημι.

[1]) διασώματος coni. Lobeck.

Fr. 49, 3 χρυσέῃσιν Abel] χρυσέαισιν (χρυσησιν Tzetzes). — 4 παραί σεο Bentley] παρὰ σεῖο. — 5 σεῖο φαμένου σὲ δὲ αὐτόν codd., corr. Bentley. — θείμην Herwerden] θείην.

50.

Proclus in Plat. Crat. p. 64 Boiss.: *Ἀναλογεῖ γὰρ αὐτῇ (τῇ μιᾷ τῶν πάντων αἰτίᾳ ὁ Κρόνος) μόνον, ὡς καὶ Ὀρφεὺς τὴν πρώτην πάντων αἰτίαν Χρόνον καλεῖ ὁμωνύμως σχεδὸν τῷ Κρόνῳ· αἱ δὲ θεοπαράδοτοι φῆμαι τὴν θεότητα ταύτην τῷ Ἅπαξ χαρακτηρίζουσιν λέγουσαι ἅπαξ ἐπέκεινα· τὸ γὰρ ἅπαξ τῷ ἑνὶ συγγενές.* Idem in Plat. Tim. I 86 B: *Οἱ δέ γε θεολόγοι — — Χρόνον τὸ πρῶτον ἐπωνύμασαν, ὡς δέοντος, ὅπου γένεσίς ἐστιν, ἐκεῖ προηγεῖσθαι τὸν χρόνον, καθ᾽ ὃν ἡ γένεσις καὶ δι᾽ ὅν.* Idem in Theol. Plat. I 28, 68: *τοῖς μὲν γὰρ Ὀρφικοῖς καὶ διὰ τοῦτο τὸ πρώτιστον αἴτιον χρόνος προσείρηται.* Idem in Plat. Parm. L. VII 230: *Μή ποτε οὖν, φαίη ἄν τις, χρόνου μὲν οὐδαμῶς ἐστι μετέχον τὸ ἕν, χρόνος δέ ἐστιν αὐτό· καὶ γὰρ οἱ Πυθαγόρειοι καιρὸν αὐτὸ προσηγόρευον, καὶ Ὀρφεὺς χρόνον ἀποκαλεῖ τὸ πρώτιστον. — Χρόνος δὲ ὑπὸ Ὀρφέως ὀνομάζεται κατὰ δή τινα θαυμαστὴν ἀναλογίαν· γενέσεις γὰρ ὁ θεολόγος τῶν ἀγεννήτων μυστικὰς παραδούς, κατὰ τὸ αἴτιον τῆς ἐκφάνσεως τῶν θείων Χρόνον συμβολικῶς ὠνόμασεν· ὅπου γὰρ γένεσις, ἐκεῖ καὶ χρόνος.* Idem in Plat. Crat. p. 71 Boiss.: *Ὅτι ὁ μὲν Ὀρφεὺς πολὺ τῆς τῶν μύθων ἐξουσίας ἀπολέλαυκε· καὶ πάντα τὰ πρὸ τοῦ Οὐρανοῦ μέχρι τῆς πρωτίστης αἰτίας ὀνόμασιν ἐδήλωσε· καὶ αὐτὸ τὸ ἄρρητον καὶ τῶν νοητῶν ἑνάδων ἐκβεβηκὸς Χρόνον προσείρηκεν· εἶθ᾽ ὅτι πάσης γενέσεως αἴτιον προϋπάρχων, εἶθ᾽ ὅτι τὰ ὄντως ὄντα γινόμενα παραδιδούς, ἵνα τὴν τάξιν ἐνδείξηται αὐτῶν καὶ τὴν τῶν ὁλικωτέρων πρὸς τὰ μερικώτερα ὑπεροχήν, ἵνα ᾖ ταὐτὸν τὸ κατὰ χρόνον τῷ κατ᾽ αἰτίαν, ὥσπερ ἡ γένεσις τῇ τεταγμένῃ προόδῳ. ὁ δέ γε Ἡσίοδος καὶ σιγῇ πολλὰ σέβει, καὶ τὸ πρῶτον ὅλως οὐκ ὠνόμασεν, ἀλλ᾽ ὅτι μὲν τὸ μετ᾽ ἐκεῖνο ἀπ᾽ ἄλλου προῆλθε, δηλοῖ διὰ τοῦ ἤτοι μὲν πρώτιστα Χάος ἐγένετο.* Damascius Quaest. de pr. princ. I 198: *τί δὲ ὁ θεῖος Ὀρφεύς; οὐ πολλοὺς θεοὺς ὑφίστησιν ἀπὸ τοῦ Χρόνου μέχρι τοῦ πρωτογόνου Φάνητος;*

51.

Simplicius in Aristotelis librum I de Coelo p. 132 ed. Karsten: *Καὶ γὰρ περὶ μὲν τὸ γεγονέναι τὸν κόσμον πάντας ὁμογνωμονεῖν φησι τούς τε θεολόγους καὶ τοὺς φυσικούς· τῶν*

δὲ γεγονέναι λεγόντων αὐτὸν οἱ μὲν ἀίδιον λέγουσιν ὡς Ὀρφεὺς καὶ Ἡσίοδος καὶ μετ' αὐτοὺς ὁ Πλάτων, ὥς φησιν Ἀλέξανδρος. Idem in Aristotelis de Coelo locum L. III c. 1. (εἰσὶ γάρ τινες, οἵ φασιν οὐθὲν ἀγένητον εἶναι τῶν πραγμάτων, ἀλλὰ πάντα γίγνεσθαι, γενόμενα δὲ τὰ μὲν ἄφθαρτα διαμένειν, τὰ δὲ πάλιν φθείρεσθαι, μάλιστα μὲν οἱ περὶ Ἡσίοδον εἶτα καὶ τῶν ἄλλων οἱ πρῶτοι φυσιολογήσαντες) p. 251 ed. Karsten: Τῶν δὲ ἄλλων τοὺς πρώτους φυσιολογήσαντας τοὺς περὶ Ὀρφέα καὶ Μουσαῖον λέγειν εἰκός, οἵτινες πλὴν τοῦ πρώτου πάντα γενέσθαι λέγουσιν.

52.

Simplicius in L. IV Aristotelis Auscult. p. 528 ed. Diels: Δηλοῖ δὲ (Chaos Hesiodium) οὐ χώραν ἀλλὰ τὴν ἀπειροειδῆ καὶ πεπληθυσμένην τῶν θεῶν αἰτίαν, ἣν Ὀρφεὺς χάσμα πελώριον ἐκάλεσε. μετὰ γὰρ τὴν μίαν τῶν πάντων ἀρχήν, ἣν Ὀρφεὺς Χρόνον ἀνυμνεῖ ὡς μέτρον οὖσαν τῆς μυθικῆς τῶν θεῶν γενέσεως, αἰθέρα καὶ τὸ πελώριον χάσμα προελθεῖν φησι, τὸν μὲν τῆς περατοειδοῦς προόδου τῶν θεῶν αἴτιον, τὸ δὲ τῆς ἀπειροειδοῦς. καὶ λέγει περὶ αὐτοῦ·

Οὐδέ τι πεῖραρ ὑπῆν, οὐ πυθμήν, οὐδέ τις ἕδρη.[1])

Cf. Proclus in Plat. Tim. I 54 D: Ἀλλ' ἐπεὶ καὶ μετὰ τὴν μίαν αἰτίαν ἡ δυὰς τῶν ἀρχῶν ἀνεφάνη καὶ ἐν ταύταις ἡ μονὰς κρείττων τῆς δυάδος, ἤ, εἰ βούλοιο λέγειν Ὀρφικῶς, ὁ Αἰθὴρ τοῦ Χάους κτλ. — Idem II 117 C: Ὥσπερ γὰρ ὁ Πλάτων διττὰς παρήγαγεν αἰτίας ἀπὸ τοῦ ἑνός, τὸ πέρας καὶ τὴν ἀπειρίαν, οὕτω δὴ καὶ ὁ θεολόγος ἀπὸ τοῦ Χρόνου τόν τε Αἰθέρα καὶ τὸ Χάος ὑπέστησε, τοῦ μὲν πανταχοῦ πέρατος αἴτιον τὸν Αἰθέρα, τῆς δὲ ἀπειρίας τὸ Χάος, καὶ ἀπὸ τούτων τῶν δυοῖν ἀρχῶν τούς τε θείους γεννᾷ διακόσμους καὶ τοὺς ἐμφανεῖς, ἀπὸ μὲν τῆς κρείττονος πᾶν τὸ μόνιμον καὶ ταὐτοποιὸν καὶ μετρητικὸν καὶ συνεκτικόν, ἀπὸ δὲ τῆς λοιπῆς πᾶσαν τὴν κινητικὴν καὶ ἑτεροποιὸν καὶ ἀνέκλειπτον πρόοδον καὶ τὴν ὑπ' ἄλλων ὁριζομένην καὶ τὴν ὑπ' ἄλλων συνεχομένην φύσιν καὶ τελευταίαν τὴν ἐσχάτην ἀπειρίαν, ἀφ' ἧς καὶ ἡ ὕλη περιέχεται, διὸ καὶ ἀνομοίως ὁμοίωται πρὸς ἑαυτήν. χώρισμα μὲν γάρ ἐστιν, ὡς χώρα

[1]) πεῖρας habet Proclus. — ἕδρα Simpl.

τῶν εἰδῶν καὶ τόπος, οὔτε δὲ πέρας οὔτε πυθμὴν οὔτε ἕδρα περὶ αὐτήν ἐστιν, ὡς ἄπειρον καὶ ἄστατον καὶ ἀόριστον οὖσαν. ἀζηχὲς δὲ αὖ σκότος καὶ αὐτὴ ὡς ἀνείδεον λαχοῦσα τὴν φύσιν ὀνομάζοιτο ἄν· ὥστε καὶ Ὀρφεὺς κατὰ τοῦτον τὸν λόγον ἀπὸ τῆς πρωτίστης τῶν νοητῶν ὑποστάσεως παράγει τὴν ὕλην. ἐκεῖ γὰρ τὸ ἀζηχὲς σκότος καὶ τὸ ἄπειρον, καὶ ταῦτα μὲν κρειττόνως τῶν ἐφεξῆς, τῇ δὲ ὕλῃ τὸ ἀλαμπὲς δι᾽ ἔνδειαν καὶ τὸ ἄπειρον οὐ κατὰ δυνάμεως περιουσίαν, ἀλλὰ κατ᾽ ἔλλειψιν. — Proclus in Plat. Parmen. VII. p. 168: Ἀδιακρίτων πάντων ὄντων κατὰ σκοτόεσσαν ὁμίχλην φησὶν ὁ θεολόγος. — Proclus in Plat. Parmen. VI p. 102: Δύο γὰρ ταύτας αἰτίας ἅμα παρήγαγεν ὁ θεός, πέρας καὶ ἄπειρον· ἢ ἐπεὶ βούλει λέγειν ἡμᾶς Ὀρφικῶς, Αἰθέρα καὶ Χάος. τὸ μὲν γὰρ ἄπειρον χάος ἐστὶν ὡς χωρητικὸν πάσης δυνάμεως καὶ πάσης ἀπειρίας καὶ ὡς περιληπτικὸν τῶν ἄλλων καὶ οἷον τῶν ἀπείρων τὸ ἀπειρότατον· τὸ δὲ πέρας, ὁ αἰθήρ, ὅτι καὶ οὗτος ὁ αἰθὴρ τὰ πάντα περατοῖ καὶ μετρεῖ. Syrianus in Arist. Metaph. I p. 859 b: Μέγα μὲν αὐτὸν προσειπὼν ὥσπερ ὁ Ὀρφεὺς τὸ χάος Καὶ μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθα[1]), καὶ ὁ Πυθαγόρας ἀόριστον τὴν δυάδα. — Idem p. 842 a: Ἀλλὰ κἂν μίαν λέγωμεν εἶναι τὴν πάντων ἀρχὴν καὶ θεὸν αὐτὴν ἢ τἀγαθὸν ἢ ἓν προσαγορεύωμεν, κἂν δύο, πέρας καὶ ἀπειρίαν, ὡς ἐν Φιλήβῳ Πλάτων καὶ πρὸ αὐτοῦ Φιλόλαος, αὐτὰς ὀνομάζοντες, ἢ μονάδα καὶ δυάδα, ὡς οἱ πλεῖστοι τῶν Πυθαγορείων, ἢ Αἰθέρα καὶ Χάος, ὡς Ὀρφεύς, ἢ πρατέα καὶ δυάδα, ὡς αὐτὸς ὁ Πυθαγόρας ἐν τῷ Ἱερῷ λόγῳ. — Damascius Quaest. de primis princ. p. 133: Φέρε οὖν ἤδη, τί καὶ περὶ ταύτης διαλεχθῶμεν· ἆρα γὰρ ὡς ἅπαντες ὀλίγου τι οἱ φιλόσοφοι καὶ ἔτι τῶν θεολόγων ἔνιοι μετὰ τὴν μίαν ὑμνουμένην ἀρχὴν δυάδα τίθεσθαι δοκοῦσιν, οὕτω καὶ ἡμῖν θετέον ἀκριβολογουμένοις, ὡς νῦν πειρώμεθα ἀκριβολογεῖσθαι; καὶ τί γὰρ οὐχί; φαίη τὶς ἄν· τί γὰρ ἔδει μετὰ τὸ ἓν προελθεῖν ἢ τὰ δύο; καὶ μετὰ τὴν μονάδα τὴν δυάδα καὶ οὕτω γε τὸν λοιπὸν ἀριθμὸν προελθεῖν. οὕτω γοῦν Ὀρφεὺς μὲν Αἰθέρα καὶ Χάος μετὰ τὸν Χρόνον παράγει· οἱ δὲ θεοὶ μετὰ τὸν ἕνα θεὸν πατέρα καὶ δύνα-

[1]) Αἰθὴρ κ. μ. χ. π. ἔ. κ. ἔ. coni. Lobeck.

μιν, ὡς δυάδα μόνον ἐκφαίνουσι καὶ πᾶσαι ὁμοῦ τι αἱ θεολογίαι ταὐτὸν ποιοῦσαι παραδέδονται. — Pseudo-Apuleius de orthogr. p. 137 ed. Mai: Orpheus, Linus et Hesiodus deos ex chao ab initio erupisse dixerunt. — Joannes Malala, Chronogr. lib. IV p. 73. 74., Suidas s. v. *Ὀρφεύς*, Cedrenus I. p. 57 et 84: *Καὶ ἄλλους δὲ πολλοὺς περὶ τούτου εἶπε στίχους ὁ αὐτὸς Ὀρφεύς. ἔφρασε δὲ ὡς ἐκ τῶν προειρημένων στίχων ποιητικῶν ἐξέθετο· καὶ οὐκ ἐνεδέχετο ἐντάξαι τὸ πλῆθος τῶν στίχων ἐν τῇ συγγραφῇ ταύτῃ. ἔστι δὲ ἅπερ ἐξέθετο Ὀρφεὺς ταῦτα, ὅτι ἐξ ἀρχῆς ἀνεδείχθη τῷ Χρόνῳ ὁ Αἰθὴρ ὑπὸ τοῦ θεοῦ δημιουργηθεὶς καὶ ἐντεῦθεν κἀκεῖθεν τοῦ Αἰθέρος ἦν Χάος, καὶ Νὺξ ζοφερὰ πάντα κατεῖχε καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν αἰθέρα, σημαίνων τὴν νύκτα πρωτεύειν, εἰρηκὼς ἐν τῇ αὐτοῦ ἐκθέσει ἀκατάληπτόν τινα καὶ πάντων ὑπέρτατον εἶναι καὶ προγενέστερον δὲ καὶ δημιουργὸν ἁπάντων καὶ τοῦ Αἰθέρος αὐτοῦ καὶ τῆς Νυκτὸς καὶ πάσης τῆς ὑπὸ τὸν αἰθέρα οὔσης καὶ καλυπτομένης κτίσεως, τὴν δὲ γῆν εἶπεν ὑπὸ τοῦ σκότους ἀόρατον οὖσαν.*

53.

Damasc. Quaest. de primis princ. p. 147: *Καὶ γὰρ Ὀρφεύς·*

ἔπειτα δ' ἔτευξε μέγας Χρόνος[1]) *αἰθέρι δίῳ*
ὠεὸν ἀργύφεον.

τὸ γὰρ ἔτευξε δηλοῖ τὸ τεχνητὸν ἀλλ' οὐ γέννημα.

Cf. Achilles Tatius Isag. ad Arati Phaenom. p. 76: *Τὴν δὲ τάξιν, ἣν δεδώκαμεν τῷ σφαιρώματι, οἱ Ὀρφικοὶ λέγουσι παραπλησίαν εἶναι τοῖς ᾠοῖς. ὃν γὰρ ἔχει λόγον τὸ λέπυρον ἐν τῷ ᾠῷ, τοῦτον ἔχειν ἐν τῷ παντὶ τὸν οὐρανόν· καὶ ὡς ἐξήρτηται τοῦ οὐρανοῦ κυκλοτερῶς ὁ αἰθήρ, οὕτω τοῦ λεπύρου ὁ ὑμήν.* Idem p. 77: *Σχῆμα δὲ κόσμου οἱ μὲν κωνοειδές, οἱ δὲ ᾠοειδές· ἧς δόξης ἔχονται οἱ τὰ Ὀρφικὰ μυστήρια τελοῦντες.* Proclus in Plat. Tim. II 130: *Ἦν δὲ τὸ ᾠὸν ἐκεῖνο τοῦ τε αἰθέρος ἔγγονον καὶ τοῦ χάους, ὧν ὁ μὲν κατὰ τὸ πέρας ἵδρυται τῶν νοητῶν, τὸ δὲ κατὰ τὸ ἄπειρον. ὁ μὲν γάρ ἐστι ῥίζωμα τῶν πάντων, τῷ δὲ οὐδὲ πεῖραθ' ὑπῆν. εἰ οὖν τὸ πρῶτον πέρατος καὶ ἀπείρου τὸ πρώτως ἐστὶν ὄν, εἴη ἂν ταὐ-*

1) *Χρόνος* Lobeck] *Κρόνος*.

τὸν τό τε Πλάτωνος ὂν καὶ τὸ Ὀρφικὸν ᾠόν· εἰ δὲ ἐκ τούτου ὁ Φάνης, κατὰ τὸ αὐτόζῳον τεταγμένος, δεῖ ζητεῖν καὶ[1]) τὸν αἰῶνα παρὰ τῷ Ὀρφεῖ μέσον ὄντα τοῦ αὐτοζῴου παρὰ Πλάτωνι καὶ τοῦ ὄντος. ἀλλὰ τοῦτο μὲν ἐν ἄλλοις· νῦν δὲ τὰ περὶ τοῦ Φάνητος, εἰ οὗτός ἐστι τὸ αὐτόζῳον τρανέστερα ποιητέον καὶ λεκτέον.

54.

Proclus in Plat. Tim. III 160 D.: *Καὶ γὰρ τῷ παντὶ τὸ σφαιρικὸν συγγενές — προγονικὸν οὖν τὸ σχῆμα τοῦτό ἐστι τῷ κόσμῳ, φανὲν μὲν καὶ ἐν αὐτῷ τῷ κρυφίῳ διακόσμῳ· τὸ γὰρ ἀπειρέσιον κατὰ κύκλον ἀτρύτως ἐφορεῖτο κατ᾽ ἐκείνην εἴρηται τὴν τάξιν· ἐναργέστερον δὲ ὀφθὲν καὶ ἐν τῷ παντελεῖ ζῴῳ· τὸ γὰρ*

Ὡρμήθη δ᾽ ἀνὰ κύκλον ἀθέσφατον

περὶ ταύτης εἴρηται τῷ θεολόγῳ τῆς θεότητος (de Sole).

55.

Proclus in Plat. Cratyl. p. 79: *Ὁ δ᾽ Ὀρφεὺς περὶ τοῦ κρυφίου διακόσμου τῶν θεῶν οὕτως ἔφη·*

τὸ δ᾽ ἀπειρέσιον κατὰ κύκλον
ἀτρύτως ἐφορεῖτο.

56.

Joannes Malala, Chronogr. lib. IV. p. 74, Suidas et Cedrenus: *Ἔφρασε δὲ ὅτι τὸ φῶς ῥῆξαν τὸν αἰθέρα ἐφώτισε τὴν γῆν καὶ πᾶσαν τὴν κτίσιν, εἰπὼν ἐκεῖνο εἶναι τὸ φῶς τὸ ῥῆξαν τὸν αἰθέρα τὸ προειρημένον τὸν ὑπέρτατον πάντων· οὗ ὄνομα ὁ αὐτὸς Ὀρφεὺς ἀκούσας ἐκ τῆς μαντείας ἐξεῖπε, Μῆτιν, Φάνητα, Ἠρικεπαῖον, ὅπερ ἑρμηνεύεται τῇ κοινῇ γλώσσῃ βουλή, φῶς, ζῳοδοτήρ*[2])· *εἰπὼν ἐν τῇ αὐτοῦ ἐκθέσει ταύτας τὰς τρεῖς θείας τῶν ὀνομάτων δυνάμεις μίαν εἶναι δύναμιν καὶ ἓν κράτος τοῦ μόνου θεοῦ, ὃν οὐδεὶς ὁρᾷ, ἧστινος δυνάμεως οὐδεὶς δύναται γνῶναι ἰδέαν ἢ φύσιν, ἐξ αὐτῆς δὲ τῆς δυνάμεως τὰ πάντα γεγενῆσθαι, καὶ ἀρχὰς ἀσωμάτους καὶ ἥλιον καὶ σελήνην ἐξουσίας καὶ ἄστρα πάντα καὶ γῆν καὶ θάλασσαν, τὰ ὁρώμενα ἐν αὐτοῖς πάντα καὶ τὰ ἀόρατα.*

[1]) *καί* Schneider] *κατά*. [2]) *ζωή* Suidas.

57.

Lactantius Instit. I 5: Orpheus — deum verum et magnum *Πρωτόγονον*, primogenitum, appellat, quod ante ipsum nihil sit genitum, sed ab ipso sint cuncta generata. Eundem etiam *Φάνητα* nominat, quod cum adhuc nihil esset primus ex infinito apparuerit et exstiterit. Cuius originem atque naturam quia concipere animo non poterat, ex aere immenso natum esse dixit:

Πρωτόγονος Φαέθων περιμήκεος αἰθέρος υἱός.

Aliud enim amplius quod diceret non habebat.

58.

Proclus in Plat. Tim. II 132: *Ἀλλὰ διὰ τί τῶν νοουμένων κάλλιστον εἶπε τὸ αὐτόζῳον καίτοι πέρας ὂν τῶν νοητῶν; ἢ καὶ εἰ πρὸ αὐτοῦ νοηταὶ τάξεις εἰσίν, ἀλλ' ἐκείνων ὑφεῖται τὸ κάλλιστον. οὐ γὰρ μετέχουσι τοῦ κάλλους, ἀλλ' ἐν αὐταῖς ἐστιν ἡ καλοποιὸς αἰτία καὶ τὸ πρώτιστον κάλλος καὶ ἡ καλλονή. διὸ καὶ παρ' Ὀρφεῖ κατὰ ταύτην τὴν τάξιν νοερῶς ἐκφαίνεται, καὶ ὡς τοῦ κάλλους ἤδη προόντος ἐν τοῖς νοητοῖς τοῖς πρώτοις ἡνωμένως καὶ συνεχῶς ὁ Φάνης περικαλλέος αἰθέρος υἱὸς ὀνομάζεται καὶ ἁβρὸς Ἔρως, ὅτι δὴ τῆς κρυφίου καὶ ἀρρήτου καλλονῆς πρῶτος οὗτος ὁ θεὸς πεπλήρωται. διὸ καὶ κάλλιστος ὀνομάζεται, τῶν μετεχόντων τὸ πρώτιστον ὄν, καὶ εἰ πάντα τὰ νοητὰ ἥνωται ἀλλήλοις. — — ἔτι ζῷον μέν ἐστιν ὁ κόσμος ὡς εἰκὼν τούτου τοῦ νοητοῦ ζῴου καὶ τῆς παντότητος τῆς νοητῆς. ὁρατὸν δὲ ὡς ὁμοιούμενον τῷ φανῷ τοῦ παραδείγματος. ὃ γάρ ἐστιν ὁ ἐκεῖ χρώς, τοῦτό ἐστι τὸ ἐνταῦθα ὁρατόν·*

Θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον·
τοῖον ἀπέστιλβε χροὸς ἀθανάτοιο Φάνητος.

Cf. Proclus in Plat. Theol. III 20. 161: *τοῦτο γάρ ἐστι τὸ φανότατον τῶν νοητῶν ὁ νοῦς ὁ νοητὸς καὶ τὸ ἀποστίλβον τὸ φῶς τὸ νοητόν, ὃ καὶ τοὺς νοεροὺς θεοὺς ἐκπλήττει φανὲν καὶ ποιεῖ θαυμάζειν τὸν πατέρα, καθάπερ φησὶν ὁ Ὀρφεύς.* Proclus in Plat. Tim. IV p. 264 C: *Διχῶς ἄρα θεωρήσομεν τὸν ἥλιον, καὶ ὡς ἕνα τῶν ἑπτὰ καὶ ὡς ἡγεμόνα τῶν ὅλων, καὶ ἐγκόσμιον καὶ ὡς ὑπερκόσμιον, καθὸ καὶ προσλάμπει τὸ θεῖον φῶς, ὡς τἀγαθὸν τὴν ἀλήθειαν τὴν ἐκθεοῦσαν τούς τε νοητοὺς καὶ τοὺς νοεροὺς διακόσμους, ὡς ὁ*

Φάνης παρὰ τῷ Ὀρφεῖ προΐησι τὸ νοητὸν φῶς, ὃ πληροῖ νοήσεως πάντας τοὺς νοεροὺς θεούς, ὡς ὁ Ζεὺς νοερὸν καὶ δημιουργικὸν ἀνάπτει φῶς εἰς πάντας τοὺς ὑπερκοσμίους. Proclus in Plat. Tim. II p. 130 C: *Νῦν δὲ τὰ περὶ τοῦ Φάνητος, εἰ οὗτός ἐστι τὸ αὐτόζῳον τρανέστερα ποιητέον καὶ λεκτέον. τὸ αὐτόζῳον οὐκ ἄλλο τί ἐστιν ἢ ὁ παρὰ τῷ θεολόγῳ Φάνης. εἰ γὰρ πρῶτος ἀπὸ τοῦ ᾠοῦ πρόεισιν ὅπερ ἐκεῖνος δηλοῖ τὸν πρώτιστον νοητὸν νοῦν, τὸ δὲ ἐξ ᾠοῦ προϊὸν πρῶτον καὶ μόνον οὐκ ἄλλο ἐστὶν ἐξ ἀνάγκης, ἢ ζῷον, δῆλον ὅτι καὶ ὁ μέγιστος Φάνης οὐκ ἄλλο τί ἐστιν ἢ τὸ πρώτιστον ζῷον καί, ὡς φαίη Πλάτων, τὸ αὐτόζῳον.*

59.

Hermias in Plat. Phaedr. p. 141: *Καὶ πρῶτος καταλάμπεται ὁ οὐρανὸς ὑπὸ τοῦ θείου φωτὸς τοῦ Φάνητος· τὴν γὰρ Νύκτα ἡνῶσθαι αὐτῷ φησι·*

Πρωτόγονόν γε μὲν οὔτις ἐσέδρακεν ὀφθαλμοῖσιν,
εἰ μὴ Νὺξ ἱερὴ μούνη· τοὶ δ᾽ ἄλλοι ἅπαντες
θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον·
τοῖον ἀπέστιλβε χροὸς ἀθανάτοιο Φάνητος.

Cf. Wolfii Anecd. III p. 209: *Ὅ τε γὰρ Ἑλλήνων θεολόγος Ὀρφεὺς πρῶτον ἐποίησε τὸν Φάνητα καθορώμενον ὑπὸ τῶν θεῶν.*

60.

Proclus in Plat. Tim. IV p. 266 AB: *Καὶ γὰρ τῆς νυκτὸς καὶ τῆς ἡμέρας τάξεις πολλαί, νοητὰ καὶ νοεραὶ καὶ ὑπερκόσμιοι καὶ οὐράνιοι καὶ ὑπὸ σελήνην, ὡς καὶ ἡ Ὀρφικὴ διδάσκει θεολογία, καὶ αἱ μὲν πρὸ τῆς δημιουργίας, αἱ δὲ ἐν αὐτῇ περιεχόμεναι, αἱ δὲ ἀπ᾽ αὐτῆς προϊοῦσαι, καὶ αἱ μὲν ἀφανεῖς, αἱ δὲ ἐμφανεῖς* etc. Cf. Hermias in Plat. Phaedr. p. 144: *Τριῶν γὰρ παραδιδομένων Νυκτῶν παρ᾽ Ὀρφεῖ τῆς μὲν ἐν αὐτῷ μενούσης τῆς πρώτης, τῆς δὲ τρίτης ἔξω προελθούσης, τῆς δὲ μέσης τούτων, τὴν μὲν πρώτην μαντεύειν φησίν, ὅ ἐστι τῆς ἐπιστήμης, τὴν δὲ μέσην αἰδοίαν καλεῖ, ὅ ἐστι σωφροσύνης, τὴν δὲ τρίτην ἀποτίκτειν φησὶ τὴν δικαιοσύνην.*

Fr. 59, 2 *τοί* Koechly] οἱ. — 4 ἀπέστραπτε varians lectio.

61.

εὐδαίμονα, σεμνόν,
Μῆτιν, σπέρμα φέροντα θεῶν, κλυτόν, ὅν τε Φάνητα
πρωτόγονον μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον.

Cf. Proclus in Plat. Crat. p. 36: *Καὶ Ὀρφεὺς πρώτην ταύτην (τὴν τῶν νοητῶν φύσιν) ὀνόματί φησιν ὑπὸ τῶν ἄλλων καλεῖσθαι θεῶν· τὸ γὰρ ἀπ' αὐτῆς προϊὸν φῶς γνωστὴν αὐτὴν τοῖς νοεροῖς καὶ ὀνομαστὴν ἀπέφηνεν· λέγει δ' οὕτως· Μῆτιν, σπέρμα φέροντα θεῶν, κλυτόν, ὅν τε Φάνητα πρωτόγονον μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον.* Et in Plat. Tim. II 137 C: *Ἀεὶ ἄρα τὸ δημιουργικὸν αἴτιον ὁμοιοῦται μὲν τῷ παραδειγματικῷ, πρόεισι δὲ εἰς πλῆθος ἀπὸ τῆς νοητῆς ἑνώσεως. ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις· ὅτι δὲ τὸ αὐτόζῳον μονότητι χαίρει, δεδήλωται καὶ διὰ τῶν Ὀρφικῶν θεολογιῶν. κλύει γὰρ ὁ κατὰ τὸ ᾠὸν θεός, δῆλον ὅτι ζῷον ἀφ' ἑαυτοῦ, καλεῖ δὲ ὅμως αὐτὸν εὐδαίμονα σεμνόν, Μῆτιν, σπέρμα φέροντα θεῶν, κλυτόν.* Conf. II 137 B: *Εἰκότως ἄρα καὶ ὁ θεολόγος μόνον παράγει τὸν Φάνητα σπέρμα φέροντα θεῶν, κλυτὸν ἀπὸ τοῦ κρυφίως ὄντος θεοῦ τὰ πάντα καὶ ἀπὸ τούτου πάσας ὑφίστησι τὰς δευτέρας τάξεις τῶν θεῶν.* Et in Plat. Tim. V 303 B: *Πατὴρ μὲν ὁ πρῶτος ἀπὸ τοῦ ἑνὸς* (Chrono) *προελθὼν Αἰθήρ, πατὴρ δὲ καὶ ποιητὴς ὁ κατὰ παράδειγμα θεός, ὅν τε Φάνητα πρωτόγονον μάκαρες κάλεον· ποιητὴς δὲ καὶ πατὴρ ὁ Ζεύς, ὃς καὶ νῦν λέγεται δημιουργὸς ὑφ' ἑαυτοῦ· πατήρ τε ἔργων φαῖεν ἂν οἱ Ὀρφικοί· ποιητὴς δὲ μόνος ὁ τῆς μεριστῆς ἐστι δημιουργίας αἴτιος* (Zagreus), *ὡς ἂν οἱ αὐτοὶ φαῖεν. τῷ μὲν οὖν πατρὶ μόνως ὑπόκειται τὰ νοητὰ πάντα, τὰ νοερά, τὰ ὑπερκόσμια, τὰ ἐγκόσμια· τῷ δὲ πατρὶ καὶ ποιητῇ τὰ νοερὰ πάντα, τὰ ὑπερκόσμια, τὰ ἐγκόσμια· τῷ δὲ ποιητῇ μόνως τὰ ἐγκόσμια· καὶ ταῦτα πάντα ἡμᾶς ἡ Ὀρφέως ἐδίδαξεν ὑφήγησις· καθ' ἑκάστην γὰρ ἰδιότητα τῶν τεττάρων πλῆθος ὑποτέτακται τῶν θεῶν. τίνα δὲ τὰ ἔργα τοῦ δημιουργοῦ καὶ πατρός; ἢ δῆλον τά τε σώματα πάντα καὶ ἡ τῶν ζῴων σύστασις καὶ ὁ τῶν ψυχῶν τῶν μεθεκτῶν ἀριθμός. ταῦτα οὖν πάντα ἄλυτά ἐστι διὰ τὸ θέλημα τοῦ πατρός· τοῦτο*

γὰρ καὶ αὐτοῖς ἐνδέδωκε δύναμιν τῆς ἀτρέπτου διαμονῆς, συνεκτικὸν αὐτῶν καὶ φρουρητικὸν ὑπάρχον ἐξῃρημένως· οἱ δὲ νόες οἱ ταῖς ψυχαῖς ἄνωθεν ἐπιβεβηκότες οὐκ ἂν λέγοιντο ἔργα τοῦ πατρός. οὐδὲ γὰρ γένεσιν ἔσχον, ἀλλ᾽ ἀγεννήτως ἐξεφάνησαν, οἷον ἐντὸς ἀδύτων τεχθέντες καὶ οὐ προελθόντες ἐξ αὐτῶν. ἐκείνων γὰρ οὐδὲ παραδείγματά ἐστιν, ἀλλὰ τῶν μέσων τε καὶ τῶν τελευταίων. ψυχὴ γὰρ πρώτη τῶν εἰκόνων, τὰ δὲ ὅλα, οἷον τὰ ζῷα καὶ ἔμψυχα καὶ ἔννοα καὶ γεννητά, καὶ ἐκ τῶν νοητῶν ὑπέστη παραδειγμάτων, ὧν καὶ τὸ αὐτόζῳον ἦν περιληπτικόν. Damascius Quaest. de primis princ. p. 307: *Καὶ Ὀρφεὺς τὸν πολυτίμητον τοῦτον θεὸν ἀνυμνεῖ Μῆτιν, σπέρμα φέροντα θεῶν, κλυτὸν Ἠρικεπαῖον.* Confer p. 142: *Διὸ καὶ τὸν Μῆτιν πρῶτον ὁ θεολόγος ἀνυμνεῖ σπέρμα φέροντα θεῶν.* Et p. 346: *Εἰ δὲ ὁ παρ᾽ Ὀρφεῖ πρωτόγονος θεός, ὁ πάντων σπέρμα φέρων τῶν θεῶν, ἀπὸ τοῦ ᾠοῦ πρῶτος ἐξέθορε καὶ ἀνέδραμε, τίς μηχανὴ τὸ μὲν ᾠὸν ἐξηγεῖσθαι τὸ ὄν, τὸν δὲ ἀπὸ τοῦ ὄντος ἐκθορόντα πρωτόγονον θεὸν ἀνυμνεῖν;*

62.

Proclus in Plat. Tim. II 130 F: *Καὶ ἐν αὐτῷ πρώτῳ τὸ θῆλυ καὶ τὸ ἄρρεν, ὡς ζῴῳ πρώτῳ·*

Θῆλυς καὶ γενέτωρ κρατερὸς θεὸς Ἠρικεπαῖος,

φησὶν ὁ θεολόγος· αὐτῷ δὲ καὶ αἱ πτέρυγες πρῶτον. Cf. Lactantius Instit. IV 8, 4: Nisi forte existimabimus deum, sicut Orpheus putavit, et marem esse et feminam, quod aliter generare nequiverit, nisi haberet vim sexus utriusque: quasi aut ipse secum coierit aut sine coitu non potuerit procreare.

63.

Proclus in Plat. Tim. II 130 B: *Τοιαῦτα γὰρ περὶ αὐτοῦ καὶ Ὀρφεὺς ἐνδείκνυται περὶ τοῦ Φάνητος θεολογῶν. πρῶτος γοῦν ὁ θεὸς παρ᾽ αὐτῷ ζῴων κεφαλὰς φέρει*

πολλάς

κρίας, ταυρείας, ὄφιος χαροποῦ τε λέοντος

καὶ πρόεισιν ἀπὸ τοῦ πρωτογενοῦς ᾠοῦ, ἐν ᾧ σπερματικῶς τὸ

Fr. 63. Traditam scripturam *κεφ. φέρει πολλὰς κριὰς, ταυρείους, ὄφιας χαροποῦ τε λέοντος* corr. Herwerden.

ζῷόν ἐστι. Et p. 131 E: *Διὸ καὶ ὁλικώτατον ζῷον ὁ θεολόγος ἀναπλάττει κριοῦ καὶ ταύρου καὶ λέοντος καὶ δράκοντος αὐτῷ περιθεὶς κεφαλάς.*

64.

Hermias in Plat. Phaedr. p. 135: *Τετρὰς δὲ ὁ Φάνης, ὡς Ὀρφεύς φησι·*

Τετράσιν ὀφθαλμοῖσιν ὁρώμενος ἔνθα καὶ ἔνθα.

65.

Hermias in Plat. Phaedr. p. 137: *Πρώτῳ γὰρ τούτῳ (τῷ Φάνητι) ἡ θεολογία παρέχει τοὺς ἵππους ἅτε πρώτῳ ἐκφοιτήσαντι τῶν οἰκείων ἀρχῶν, ἐπεὶ καὶ πρῶτος ἐν τούτῳ γίνεται γάμος, καὶ ἁπλῶς ᾧ ἐνέργειαν δίδωσι τούτῳ καὶ ἵππους παρέχει, αὐτῷ δὲ τούτῳ πρώτῳ τῷ δεσπότῃ Φάνητι καὶ πτέρυγας δίδωσι·*

Χρυσείαις πτερύγεσσι φορεύμενος ἔνθα καὶ ἔνθα.

Cf. Hermias l. l. p. 125: *Οὐ πρῶτος δὲ ὁ Πλάτων ἡνίοχον καὶ ἵππους παρέλαβεν, ἀλλὰ καὶ πρὸ αὐτοῦ οἱ ἔνθεοι τῶν ποιητῶν, Ὅμηρος, Ὀρφεύς, Παρμενίδης.*

66.

Nonni Abbatis coll. et exp. hist. quibus Gregorius Nazianzenus in priore invectiva in Julianum usus est cap. 78 (Patr. Mign. vol. 36, p. 1027): *Περὶ τοῦ Φάνητος καὶ Ἠρικαπαίου. Ἐν τοῖς Ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα τὰ ὀνόματα μετὰ καὶ ἄλλων πολλῶν· ὧν τὸν Φάνητα εἰσάγει αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. λέγουσι δὲ αὐτὸν ἔφορον εἶναι τῆς ζῳογόνου δυνάμεως. ὁμοίως δὲ καὶ τὸν Ἠρικαπαῖον λέγουσιν ἑτέρας ἔφορον εἶναι δυνάμεως. περὶ δὲ τοῦ, Ὁ πάντας καταπίνων θεούς, οὐ λέγει περὶ τοῦ Ἠρικαπαίου, ἀλλὰ περὶ τοῦ Κρόνου. λέγεται γὰρ οὗτος οὓς ἔτεκεν υἱοὺς πάλιν καταπιεῖν καὶ ἐμέσαι οὓς ἤδη κατέπιε. λέγεται λίθον καταπιεῖν ἀντὶ τοῦ Διὸς καὶ λίθου κατελθόντος ἐμέσαι πάντας.*[1])

Fr. 65, *χρυσέαις* cod.

[1]) Pertinent haec ad Gregor. Nazianz. Or. III adv. Julianum p. 104 Παρίτω ἐπὶ πᾶσιν ὁ Φάνης τε καὶ ὁ Ἠρικαπαῖος καὶ ὁ πάντας καταπίνων τοὺς ἄλλους εἶτ' ἀναδιδοὺς θεούς, ἵνα γένηται πατὴρ ἀνδρῶν τε θεῶν τε.

67.

Schol. Apoll. Rhod. III 26: *Ὁ δὲ Ἡσίοδος ἐκ Χάους λέγει τὸν Ἔρωτα· ἐν δὲ τοῖς εἰς Ὀρφέα Χρόνου·*

Αὐτὰρ Ἔρωτα Χρόνος καὶ πνεύματα πάντ' ἐτέκνωσε.

68.

Proclus in Plat. Tim. IV 267 C: *Ἐπεὶ τόν γε νοητὸν νοῦν καὶ ἀνόμματον ὁ θεολόγος προσηγόρευσε· λέγει γοῦν περὶ αὐτοῦ·*

Ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν Ἔρωτα.

69. 70.

Proclus in Plat. Alcib. II p. 181: *Καί μοι δοκεῖ καὶ ὁ Πλάτων εὑρὼν παρ' Ὀρφεῖ τὸν αὐτὸν τοῦτον θεὸν καὶ Ἔρωτα καὶ δαίμονα μέγαν ἀποκαλούμενον ἀγαπῆσαι καὶ αὐτὸς ἐπὶ τοῦ ἔρωτος τὸν τοιοῦτον ὕμνον· περὶ μὲν γὰρ τοῦ νοητοῦ νοῦ λέγων ὁ θεολόγος*

Ἁβρὸς Ἔρως (φησί) καὶ Μῆτις ἀτάσθαλος,

καὶ πάλιν·

Οἷσιν ἐπεμβεβαὼς δαίμων μέγας αἰὲν ἐποιχνεῖ.

71.

Proclus in Plat. Tim. II 102 D. E: *Πάλαι γὰρ ὁ θεολόγος ἔν γε τῷ Φάνητι τὴν δημιουργικὴν αἰτίαν ἀνύμνησεν· ἐκεῖ γὰρ ἦν τε καὶ προῆν, ὥσπερ ἔφη καὶ αὐτός,*

Βρόμιός τε μέγας καὶ Ζεὺς ὁ πανόπτης,

ἵνα δὴ τῆς διττῆς δημιουργίας ἔχῃ τὰς οἱονεὶ πηγάς· καὶ ἐν τῷ Διὶ τὴν παραδειγματικήν. Μῆτις γὰρ αὖ καὶ οὗτός ἐστιν, ὥς φησι· Καὶ Μῆτις πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής. Αὐτός τε ὁ Διόνυσος καὶ Φάνης καὶ Ἠρικεπαῖος συνεχῶς ὀνομάζεται. Cf. Proclus in Plat. Alcib. III p. 88: *Ἐν γὰρ τῷ Διὶ ὁ Ἔρως ἐστί· καὶ γὰρ Μῆτίς ἐστι πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής, καὶ ὁ Ἔρως πρόεισιν ἐκ τοῦ Διὸς καὶ συνυπέστη τῷ*

Fr. 67, 1 *Χρόνος* et supra *Χρόνου* Zoëga pro *Κρόνος* et *Κρόνου*.
Fr. 70. *ἐποιχνεῖ* Lobeck] *ἐπ' ἴχνη* (*ἐπίσχνη*); Mullach *ἐπίσχει* coni.
Fr. 71. ἦν δὲ Φάνης Βρ. τ. μ. κ. Ζ. ὁ π. coni. Mullach.

Διὶ πρώτως ἐν τοῖς νοητοῖς· ἐκεῖ γὰρ ὁ Ζεὺς ὁ πανόπτης ἐστὶ καὶ ἁβρὸς Ἔρως, ὡς Ὀρφεύς φησιν.

72.

Proclus in Plat. Tim. V 291 C: Διότι καὶ πρὸ τοῦ κόσμου τῶν νοερῶν ἡγοῦνται (Nox et Phanes) θεῶν ἐν τῷ ἀδύτῳ διαιωνίως ἱδρυμένοι, καθά φησιν Ὀρφεύς, τὴν κρύφιον αὐτῶν τάξιν καὶ ἀνέκφαντον ἐκεῖνος ἄδυτον ἀποκαλῶν. Cf. Proclus in Plat. Parmen. l. IV p. 235: Ἐπὶ δὲ τούτων τῶν νοητῶν εἰδῶν ἀληθὲς καὶ τὸ μὴ πρὸς ἡμᾶς αὐτὰ τὴν δύναμιν ἔχειν μηδὲ ἡμᾶς πρὸς ἐκεῖνα· καὶ γὰρ ἡμῖν ἄγνωστά ἐστι καὶ ὑπὲρ τὴν ἡμετέραν ἵδρυται νόησιν, ἐν τῷ ἀδύτῳ κεκρυμμένα τοῦ πατρὸς καί, ὥς φησιν ὁ θεολόγος, μόνῃ γνώριμα τῇ προσεχῶς μετὰ ταῦτα τάξει τῶν θεῶν (id est Nocti).

73.

Proclus in Plat. Tim. II 137 B: Ὁ δέ γε Φάνης μόνος τε πρόεισιν, καὶ ὁ αὐτὸς ἀνυμνεῖται θῆλυς καὶ γενέτωρ, παράγει τε τὰς νύκτας καὶ τῇ μέσῃ σύνεστιν ὁ πατήρ·

αὐτὸς ἑῆς γὰρ παιδὸς ἀφείλετο κούριον ἄνθος.

Cf. Proclus in Plat. Tim. V 291 D: Τὸν δὲ κρατῆρα τὸν ζῳογόνον τῇ Νυκτὶ τῇ πᾶσαν ἐκ τῶν ἀφανῶν παραγούσῃ ζωὴν μετὰ τοῦ Φάνητος.

74.

Proclus in Plat. Tim. V 335 B: Ὥσπερ γὰρ αὐτὸς ὁ φανεὶς τῶν ὅλων δημιουργὸς τὸν σύμπαντα κόσμον κάλλιστον καὶ ἄριστον εἰς δύναμιν ἀπέφηνεν, οὕτω δὴ βούλεται καὶ τοὺς δευτέρους δημιουργοὺς κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῷον, κάλλος μὲν αὐτοῖς ἀπὸ τῶν νοητῶν ἐποχετεύων, ἀγαθοειδοῦς δυνάμεως ἀποπληρῶν αὐτοὺς καὶ βουλήσεως, οἵαν καὶ αὐτὸς ἔχων τὸν ὅλον ἐδημιούργησε κόσμον. Idem in Plat. Tim. II 93 E: καὶ ὁ μάλιστα παρ' αὐτῷ (Ὀρφεῖ) δημιουργὸς ὁ Φάνης ἐστίν.

Fr. 73. ἑῆς γάρ Gesner] γὰρ ἑῆς. — κούριον Schneider] κούριμον.

75.

Lactantius Instit. I. 6 p. 28: Hunc ait esse omnium deorum parentem, quorum causa caelum condiderit liberisque prospexerit, ut haberent habitaculum sedemque communem.

Ἔκτισεν ἀθανάτοις δόμον ἄφθιτον.

76.

Joannes Malalas IV p. 75. 76: *Τὸ δὲ τῶν ἀνθρώπων γένος εἶπεν ὑπ' αὐτοῦ τοῦ θεοῦ πλασθέντα ἐκ γῆς καὶ ψυχὴν ὑπ' αὐτοῦ λαβόντα λογικήν, καθὼς Μωσῆς ὁ πάνσοφος ἐξέθετο ταῦτα. ὁ δὲ αὐτὸς Ὀρφεὺς ἐν τῇ αὐτοῦ βίβλῳ συνέταξεν, ὅτι διὰ τῶν αὐτῶν τριῶν ὀνομάτων* (scil. *Μῆτις, Φάνης, Ἠρικεπαῖος*), *μιᾶς δὲ θεότητος τὰ πάντα ἐγένετο, καὶ αὐτός ἐστι τὰ πάντα. περὶ δὲ τοῦ ταλαιπώρου γένους τῶν ἀνθρώπων ὁ αὐτὸς Ὀρφεὺς ἐξέθετο ποιητικῶς στίχους πολλούς, ὧν μέρος εἰσὶν οὗτοι·*

Θῆρές τ' οἰωνοί τε βροτῶν τ' ἀλιτήρια φῦλα,
ἄχθεα γῆς, εἴδωλα τετυγμένα, μηδαμὰ μηδὲν
εἰδότες, οὔτε κακοῖο προσερχομένοιο νοῆσαι
φράδμονες, οὔτ' ἄποθεν μάλ' ἀποστρέψαι κακότητος,
οὔτ' ἀγαθοῦ παρεόντος ἐπιστρέψαι τε καὶ ἔρξαι
ἴδριες, ἀλλὰ μάτην ἀδαήμονες, ἀπρονόητοι.

καὶ ἄλλους δὲ πολλοὺς στίχους ἐξέθετο ὁ αὐτὸς σοφώτατος Ὀρφεύς. ταῦτα δὲ πάντα ἐξέθετο ὁ σοφώτατος Τιμόθεος ὁ χρονογράφος λέγων τὸν αὐτὸν Ὀρφέα πρὸ τοσούτων χρόνων εἰπόντα τριάδα ὁμοούσιον δημιουργῆσαι τὰ πάντα. Cf. Malalae periphrasim versuum supra prolatorum: *Θηρία ὄρνεά τε, τῶν ἀνθρώπων τὰ καταναλισκόμενα ἔθνη, τὸ βάρος τῆς γῆς, εἶδος κατεσκευασμένον, μηδὲ διὰ τί ἐγεννήθησαν, μηδὲ διὰ τί ἀποθνήσκουσι γινώσκοντες· οὔτε κακοῦ ἐρχομένου κατ' αὐτῶν αἰσθανόμενοι ἀσφαλίσασθαι, οὔτε ἀπὸ μακρόθεν πολὺ ἀποστρέψαι ἐκ τοῦ κακοῦ, οὔτε ἀγαθοῦ ἐρχομένου ὑποστρέψαι ἐκ τοῦ κακοῦ καὶ κρατῆσαι καλὸν ἔμπειροι, ἀλλ' ὡς ἔτυχεν ἀμαθεστάτως φέρονται*

Fr. 76, 1 *τ' ἀλιτήρια* Bentley] *δ' ἀλιτώσια* (*ταλεῖτε οἷα*). — 2 *μηδαμά* Bentley] *μὴ διὰ*. — 4 *οὔτ' ἄποθεν* Bentley] *οὔτε ποῖον*. — 5 *τε* omm. codd.

μηδὲν προεννοούμενοι. Cf. Suidas s. v. Ὀρφεύς: *Περὶ δὲ τοῦ γένους τῶν ἀνθρώπων εἶπεν, ὅτι καὶ αὐτὸ ὑπὸ τοῦ δημιουργοῦ πάντων καὶ θεοῦ ἐπλάσθη καὶ ψυχὴν ἔλαβε λογικήν, ἀκολουθήσας τοῖς Μωσέως· καὶ ταλαίπωρον εἰρηκὼς τὸ γένος τῶν ἀνθρώπων καὶ πολλοῖς ὑποκείμενον πάθεσι, ψυχικοῖς τε καὶ σωματικοῖς· δεκτικόν τε ἀγαθῶν καὶ πονηρῶν ἔργων καὶ τὰ πρὸς τὸ ζῆν ἀθλίως διακείμενον.*

77.

Proclus in Plat. Tim. I 381 A: *Καὶ γὰρ οὐ μόνον οἱ μαθηματικοὶ λέγουσι περὶ τοῦ μὴ πᾶν κλῖμα γῆς ἀνθρώπους ἔχειν, ἀλλὰ καὶ Ὀρφεὺς οὑτωσὶ διορίζων·*

διώρισε δ' ἀνθρώποισι
χωρὶς ἀπ' ἀθανάτων ναίειν ἕδος, ᾗ μέσος ἄξων
ἠελίου τρέπεται δινεύμενος, οὔτε τι λίην
ψυχρὸς ὑπὲρ κεφαλῆς οὔτ' ἔμπυρος, ἀλλὰ μεσηγύς.

78.

Simplicius in Aristot. l. IV Phys. Auscult. p. 641 ed. Diels *Καὶ γὰρ αἱ νοηταὶ τάξεις ὡς τόπους διαφόρους ἐκληρώσαντο τὰς τοῦ νοητοῦ κόσμου διαφόρους ὑποδοχάς· λέγει γοῦν Ὀρφεὺς περὶ ἐκείνου τοῦ τὰς τῶν λήξεων διαφορὰς ἔχοντος·*

Τοῖον ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον,
οὗ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος.

79.

Proclus in Plat. Tim. V 308 F: *τοῦτον γὰρ* (Solem) *ἐπέστησε τοῖς ὅλοις ὁ δημιουργός·*

Καὶ φύλακ' αὐτὸν ἔτευξε κέλευσέ τε πᾶσιν ἀνάσσειν,
ὥς φησιν Ὀρφεύς.

80.

Macrobius Sat. I 17, 42: Apollinem *πατρῷον* cognominaverunt, non propria gentis unius aut civitatis religione, sed ut auctorem progenerandarum omnium rerum, quod sol umoribus

---

Fr. 77, 2 *ἕδος* Stephanus] *ἔδος*. — 3 *δινεύμενος* Herwerden] *ποτινεύμενος* (*τινεύμενος*).

Fr. 78, 2 ex Syriani comm. ad Arist. Metaph. p. 935 A accessit.

exsiccatis, ad progenerandum omnibus praebuit causam, ut ait Orpheus

πατρὸς ἔχοντα νόον καὶ ἐπίφρονα βουλήν.

81.

Proclus in Plat. Tim. III. 154 A: *Οἱ δὲ Πυθαγόρειοι ἔλεγον ἐν τῷ οὐρανῷ θεωρεῖσθαι τὰ στοιχεῖα διχῶς, ἄλλως μὲν πρὸ ἡλίου, ἄλλως δὲ μετὰ ἥλιον. γῆ μὲν αἰθερία ἡ σελήνη· τοῦτο μὲν οὖν καὶ ὁ θεολόγος εἴρηκε σαφῶς·*

Μήσατο δ' ἄλλην γαῖαν ἀπείριτον, ἥν τε σελήνην
ἀθάνατοι κλῄζουσιν, ἐπιχθόνιοι δέ τε μήνην·
ἣ πόλλ' οὔρε' ἔχει, πόλλ' ἄστεα, πολλὰ μέλαθρα.

Cf. Proclus in Plat. Tim. IV p. 283 B: *Τὴν μὲν γὰρ σελήνην γῆν εἰώθασι καλεῖν, ὡς τοῦτον ἔχουσαν τὸν λόγον πρὸς τὸν ἥλιον, ὃν ἡ γῆ πρὸς τὸ πῦρ· Μήσατο δ' ἄλλην — μήνην, φησὶν Ὀρφεύς.* Idem in Plat. Tim. V 292 B: *οὐρανίαν γῆν τὴν σελήνην Ὀρφεὺς προσηγόρευσεν.*

82.

Proclus in Plat. Tim. IV 256 A: *Διὸ καὶ ὥσπερ τὸν ἥλιον κατὰ ὥραν καὶ κατὰ ζῴδιον εἰρήκασιν ἀμείβειν τὰς μορφάς, οὕτω καὶ τὴν σελήνην κατὰ ἑκάστην ἡμέραν,*

Ὄφρ' ἐν μηνὶ τρέπῃ ὅπερ ἥλιος εἰς ἐνιαυτόν,

ὥς φησιν ὁ θεολόγος.

83.

Proclus in Plat. Tim. I 29 D: *Οὕτω γὰρ καὶ παρ' Ὀρφεῖ τὰ τῆς φύσεως ἔργα κλυτὰ προσαγορεύεται·*

Καὶ φύσεως κλυτὰ ἔργα μένῃ καὶ ἀπείριτος αἰών.

84.

Proclus in Plat. Tim. II 95 D: *Καὶ περὶ ἐκείνου μὲν [Φάνητος] Ὀρφεύς φησι·*

Ταῦτα πατὴρ ποίησε κατὰ σπέος ἠεροειδές.

Fr. 81, 3 Huic fragmento duo versus proxime sequentes subnexos esse coni. Lobeck.

Fr. 82, 1 *ὅπερ ὁ ἥλιος* codd.

Fr. 83. *μένῃ* Lobeck] *μένει.*

85.

Syrianus in Arist. Met. XIV 301 (*οἱ ποιηταὶ οἱ ἀρχαῖοι ταύτῃ ὁμοίως, ᾗ βασιλεύειν καὶ ἄρχειν φασὶν οὐ τοὺς πρώτους οἷον Νύκτα καὶ Οὐρανὸν ἢ Χάος ἢ Ὠκεανὸν ἀλλὰ τὸν Δία· ἀλλὰ τούτοις μὲν διὰ τὸ μεταβάλλειν τοὺς ἄρχοντας τῶν ὄντων συμβαίνει τὰ τοιαῦτα λέγειν, ἐπεὶ οἱ μεμιγμένοι αὐτῶν καὶ τῷ μὴ μυθικῶς ἅπαντα λέγειν, οἷον Φερεκύδης καὶ ἕτεροί τινες τὸ γεννῆσαν πρῶτον ἄριστον τιθέασιν*) p. 935 a: *Οὐδὲ ταῦτα κατὰ τὸ ἀληθὲς ἱστόρηται περὶ τῶν θεολόγων· ἐκεῖνοι γὰρ Νύκτα μὲν καὶ Οὐρανόν φασι βασιλεύειν καὶ πρὸ τούτων τὸν μέγιστον αὐτῶν πατέρα· Τοῖον ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον, οὗ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος. μεθ' ὃν ἡ Νύξ· σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου. μεθ' ἣν ὁ Οὐρανός· ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα. τὸ δὲ Χάος ὑπὲρ τὴν τοῦ βασιλεύοντός ἐστι σχέσιν. τὸν δὲ Δία οὐ πρῶτον ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ πρὸς αὐτὸν παρὰ τῆς Νυκτὸς δοθέντες χρησμοί· Ἀθανάτων βασιλῆα θεῶν πέμπτον σε*[1]) *γενέσθαι. ἡ πρωτίστη οὖν ἀρχὴ καὶ παρ' αὐτοῖς ἓν καὶ τἀγαθόν, μεθ' ἣν ἡ δυὰς ἡ κρείττων τοῦ βασιλεύειν, Αἰθὴρ μὲν καὶ Χάος κατὰ τὸν Ὀρφέα, Πρωτεὺς δὲ καὶ Χάος*[2]) *κατὰ Πυθαγόραν. εἶτα τὰ πρώτιστα καὶ κρύφια τῶν θεῶν γένη, ἐφ' οἷς ὁ πρῶτος ἀναφανεὶς τῶν ὅλων πατὴρ καὶ βασιλεύς, ὃν διὰ τοῦτο Φάνητα προσεῖπον. οὔτ' οὖν οἱ ἄριστοι τῶν φιλοσόφων ἀφίστανται τῶν θεολόγων οὔθ' οἱ θεολόγοι τὰ δεύτερα δυνατώτερα καὶ ἀμείνω τῶν ἀρχηγικωτέρων φασὶν εἶναι, ἀλλὰ μία ἡ παρὰ πᾶσιν αὐτοῖς ἀλήθεια.* Alexander Aphrodisiensis in Aristot. Metaphys. I p. 800: *Εἰπών, ὅτι τινὲς τῶν νῦν θεολόγων διαρρήδην ἀνακηρύττουσιν, ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῆς τῶν ὄντων φύσεως, ἐπιφέρει, ὅτι παραπλησίως τούτοις περὶ τοῦ ἀγαθοῦ καὶ ἀρίστου λέγουσι καὶ οἱ ἀρχαῖοι ποιηταί. αἰνίττεται δὲ τὸν Ὀρφέα· καὶ οὗτος γάρ φησιν, ὅτι τὸ*

---

[1]) *ἀθανάτων* Lobeck] *ἀθάνατον.* — *σε* Lobeck] *τε.* — [2]) *κ. τ. Ὀ. Πρ. δ. κ. Χ.* Usener addidit.

ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῶν ἄλλων. ἐπεὶ γὰρ τὸ βασιλεῦον καὶ κρατοῦν τῆς τῶν ἁπάντων φύσεώς ἐστι τὸ ἀγαθὸν καὶ ἄριστον, ὁ δὲ Ζεὺς βασιλεύει καὶ κρατεῖ, ὁ Ζεὺς ἄρ᾽ ἐστὶ τὸ ἀγαθὸν καὶ ἄριστον. καὶ ἐπεὶ πρῶτον μὲν κατ᾽ Ὀρφέα τὸ Χάος γέγονεν, εἶθ᾽ ὁ Ὠκεανός, τρίτον Νύξ, τέταρτον ὁ Οὐρανός, εἶτ᾽ ἀθανάτων βασιλεὺς θεῶν ὁ Ζεύς, δῆλον ὅτι καὶ οὗτος τὸν Δία, ταὐτὸν δ᾽ εἰπεῖν τὸ ἀγαθὸν καὶ ἄριστον, ὕστερον νομίζει καὶ τοῦ Χάους καὶ τοῦ Ὠκεανοῦ καὶ τῆς Νυκτὸς καὶ τοῦ Οὐρανοῦ, ἤτοι τοῦ κόσμου. ἀλλ᾽ οὗτοι μέν, φησίν, οἱ ποιηταὶ διὰ τὸ μεταβάλλειν καὶ ἄλλοτε ἄλλους ποιεῖν τοὺς ἄρχοντας τῶν ὄντων (*πρῶτον μὲν γὰρ βασίλευσε περικλυτὸς Ἠρικεπαῖος*, φησὶν ἡ ποίησις, μεθ᾽ ὃν *Νὺξ σκῆπτρον ἔχουσ᾽ ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου*, μεθ᾽ ἣν Οὐρανός, *ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα*)· οὗτοι δὴ διὰ τὸ τοὺς ἄρχοντας μεταβάλλειν τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερον ποιοῦσιν. Cf. Proclus in Plat. Tim. V 291 A: *Τίνες οὖν αἱ Ὀρφικαὶ παραδόσεις, ἐπειδήπερ εἰς ταύτας ἀναφέρειν οἰόμεθα χρῆναι τὴν τοῦ Τιμαίου περὶ θεῶν διδασκαλίαν; θεῶν βασιλέας παραδέδωκεν Ὀρφεὺς κατὰ τὸν τέλειον ἀριθμὸν τῶν ὅλων προεστηκότας Φάνητα, Νύκτα, Οὐρανόν, Κρόνον, Δία, Διόνυσον. πρῶτος γὰρ ὁ Φάνης κατασκευάζει τὸ σκῆπτρον καὶ πρῶτος βασιλεὺς* (sic) *περικλυτὸς Ἠρικεπαῖος, δευτέρα δὲ ἡ Νὺξ δεξαμένη παρὰ τοῦ πατρός, τρίτος δὲ Οὐρανὸς παρὰ τῆς Νυκτός, καὶ τέταρτος ὁ Κρόνος, βιασάμενος, ὥς φασι, τὸν πατέρα, καὶ πέμπτος ὁ Ζεὺς κρατήσας τοῦ πατρός, καὶ μετὰ τοῦτον ἕκτος ὁ Διόνυσος.* Minus accurate Proclus in Plat. Tim. II 93 E: *Καὶ τοὺς παρὰ τῷ Πλάτωνι τρεῖς βασιλέας καὶ τοὺς παρ᾽ Ὀρφεῖ τρεῖς, Φάνητα καὶ Οὐρανὸν καὶ Κρόνον.* Et Hermias in Plat. Phaedr. p. 143: *τὰ τέσσαρα ταῦτα τὸ ἕν, τὸν Φάνητα, ὅπερ ἐστὶ πέρας τῶν νοητῶν θεῶν, ἀρχὴ δὲ τῶν νοερῶν ἐξηρημένη, τὸν Δία, ὅς ἐστι τῶν ὑπερκοσμίων θεῶν βασιλεύς, τὸν Ἥλιον, ὃς βασιλεύς ἐστι τῶν αἰσθητῶν.* Olympiodorus in Plat. Phaedr.: *Παρὰ τῷ Ὀρφεῖ τέσσαρες βασιλεῖαι παραδίδονται· πρώτη μὲν ἡ τοῦ Οὐρανοῦ, ἣν ὁ Κρόνος διεδέξατο ἐκτεμὼν τὰ αἰδοῖα τοῦ πατρός· μετὰ δὲ τὸν Κρόνον ὁ Ζεὺς ἐβασίλευσε καταταρταρώσας τὸν*

πατέρα· εἶτα τὸν Δία διεδέξατο ὁ Διόνυσος. Michael Ephesius in Arist. Met. XIV 301: αἰνίττεται τὸν Ὀρφέα· καὶ οὗτος γάρ φησιν, ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῶν ἄλλων — — καὶ ἐπεὶ πρῶτον μὲν κατ' Ὀρφέα τὸ Χάος, εἶθ' ὁ Ὠκεανός, τρίτον Νύξ, τέταρτον Οὐρανός, εἶτ' ἀθανάτων βασιλεὺς ὁ Ζεύς ...

86.

Proclus in Plat. Crat. p. 59: Καὶ γὰρ ἡ Νὺξ παρ' ἑκόντος αὐτὸ (τὸ σκῆπτρον) λαμβάνει τοῦ Φάνητος·

σκῆπτρον δ' ἀριδείκετον εἷο χέρεσσι
θῆκε θεᾶς Νυκτός, ἵν' ἔχῃ βασιληίδα τιμήν.

87.

Syrianus in Arist. Met. p. 935 a: Μεθ' ὃν (Φάνητα ἐβασίλευσεν) ἡ Νύξ·

σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου.

88.

Hermias in Plat. Phaedr. p. 140: Ὁ γάρ τοι Ὀρφεὺς περὶ τῆς Νυκτὸς λέγων, θεῶν γὰρ ἔχει φησὶ καὶ

Μαντοσύνην οἱ δῶκεν ἔχειν ἀψευδέα πάντη.

καὶ αὕτη λέγεται μαντεύειν τοῖς θεοῖς.

89.

Hermias in Plat. Phaedr. p. 144: Πρὸς δὴ τοῦτο εἶπεν, ὅτι γεννήματά ἐστι ταῦτα τῆς Νυκτὸς μένοντα ἐν αὐτῇ· ἔστι δὲ καὶ οὐρανὸς ὑπερουράνιος, καὶ ταῦτα πάντα μένει ἐν τῇ Νυκτί·

Ἡ δὲ πάλιν Γαῖάν τε καὶ Οὐρανὸν εὐρὺν ἔτικτε
δεῖξέν τ' ἐξ ἀφανῶν φανερούς, οἵ τ' εἰσὶ γενέθλην.

Cf. Hermias in Plat. Phaedr. p. 141: Ἦ σφόδρα παρηκολουθηκὼς ὁ Πλάτων τοῖς ὑπὸ τῶν θεολόγων εἰρημένοις κατ' ἐκείνους καὶ αὐτὸς διατίθησι τὸν λόγον; μετὰ γὰρ τὴν τῶν Νυκτῶν τάξιν τρεῖς εἰσι τάξεις τῶν θεῶν, Οὐρανοῦ, Κυκλώπων, Ἑκατογχείρων, ὧν αὐτὸς ἀποφάσκει τὰ οἰκεῖα τούτων ὀνόματα. ἐπειδὴ γὰρ

Fr. 86, 2 ἵν' ἔχῃ Lobeck addidit, sed plura excidisse videntur. Ceterum χέρεσιν ἔθηκεν θεᾶς extat in codd.

Fr. 88. post γὰρ ἔχει fort. excidit βασιληίδα τιμήν. — 1 δέ ante οἱ delevit Abel.

Fr. 89, 2 δεῖξέν τ' Lobeck] δεῖξαί τ'.

τῶν ἔνδον ἐν ταὐτῷ μεινάντων τῷ Φάνητι πρώτως φανερῶς ὁ Οὐρανὸς ἐξ αὐτοῦ γέγονεν — ἔξω γὰρ προῆλθον πρῶτοι ἀπ' αὐτοῦ Οὐρανὸς καὶ Γῆ· δεῖξαί τ' ἐξ ἀφανῶν φανερούς, οἵ τ' εἰσὶ γενέθλην — καὶ πρῶτος καταλάμπεται ὁ Οὐρανὸς ὑπὸ τοῦ θείου φωτὸς τοῦ Φάνητος.

90.

Achilles Tatius in Arat. p. 85: ὁ τοῦ Ὀρφέως Οὐρανὸς οὖρος καὶ πάντων φύλαξ εἶναι βούλεται.

91.

Proclus in Plat. Tim. V 293: Κατὰ μίαν ἕνωσιν καὶ συμπλοκὴν τῶν δυνάμεων ἀδιαίρετον, ὃν καὶ εἰώθασι γάμον οἱ θεολόγοι προσαγορεύειν· οἰκεῖος γὰρ καὶ ὁ γάμος τῇ τάξει ταύτῃ καθά φησιν ὁ θεολόγος. πρώτην γὰρ νύμφην ἀποκαλεῖ τὴν Γῆν καὶ πρώτιστον γάμον τὴν ἕνωσιν αὐτῆς τὴν πρὸς τὸν Οὐρανόν. οὐ γὰρ ἐν τοῖς μάλιστα ἡνωμένοις ὁ γάμος, διὸ Φάνητος οὐκ ἔστι γάμος καὶ Νυκτὸς ἡνωμένων ἀλλήλοις νοητῶς, ἀλλ' ἐν τοῖς μετὰ τῆς ἑνώσεως καὶ τὸ διῃρημένον τῶν δυνάμεων καὶ τῶν ἐνεργειῶν ἐπιδεικνυμένοις. καὶ ἔοικε διὰ ταῦτα καὶ Οὐρανῷ τούτῳ καὶ Γῇ προσήκειν ὁ γάμος ὡς ἐκεῖνον Οὐρανὸν καὶ Γῆν ἐκείνην ἐπεικονιζομένοις. ὃ δὴ καὶ οἱ θεσμοὶ τῶν Ἀθηναίων εἰδότες προσέταττον Οὐρανῷ καὶ Γῇ προτελεῖν τοὺς γάμους.

92.

Proclus in Plat. Tim. II 100 A: Ὡς γάρ φησιν ὁ θεολόγος οἱ πρῶτοι τεκτονόχειρες τῷ Διὶ τὰς δημιουργικὰς δυνάμεις ἔδοσαν πάσης τῆς ἐγκοσμίου ποιήσεως·

Οἳ Ζηνὶ βροντήν τε πόρον τεῦξάν τε κεραυνόν,
πρῶτοι τεκτονόχειρες, οἳ Ἥφαιστον καὶ Ἀθήνην
δαίδαλα πάντ' ἐδίδαξαν, ὅσ' οὐρανὸς ἐντὸς ἐέργει.

Cf. Hermias in Plat. Phaedr. p. 141: Ἐν γὰρ πρώτοις τούτοις τὸ σχῆμα ἐκφαίνεσθαι ἡ θεολογία φησὶ καὶ πρώτας ἀρχὰς καὶ αἰτίας τῶν πανταχοῦ σχημάτων τούτους εἶναι τοὺς θεοὺς Κύκλωπας· διὸ καὶ τεκτονόχειρας αὐτοὺς ἡ θεολογία φησίν — — — οὗτοι δὲ καὶ τὴν Ἀθηνᾶν καὶ Ἥφαιστον διδάσκουσι τὰ ποικίλα

Fr. 90. Hunc Achillis Tatii locum a Lobeckio citatum frustra quaesivi.

τῶν σχημάτων εἴδη, ὡς πρῶτοι αἴτιοι τῶν σχημάτων· πρῶτοι τεκτονόχειρες, οἳ Ἥφαιστον καὶ Ἀθήνην πάντ' ἐδίδαξαν.

93.

Proclus in Plat. Parmen. I 40: *Ἡ δὲ τῶν Ὀρφικῶν (ἐφερμήνευσις) τῆς Ἑλληνικῆς οὖσα θεολογίας ἰδία, Κρόνον, Δία καὶ Οὐρανὸν καὶ Νύκτα καὶ Κύκλωπας καὶ Ἑκατόγχειρας ἐπιφημίζουσα ταῖς ἀκροτάταις τῶν πάντων ἀρχαῖς.*

94.

Proclus in Plat. Tim. III 137 B: *Εἰκότως ἄρα καὶ ὁ θεολόγος μόνον παράγει τὸν Φάνητα σπέρμα φέροντα θεῶν κλυτὸν ἀπὸ τοῦ κρυφίως ὄντος θεοῦ τὰ πάντα, καὶ ἀπὸ τούτου πάσας ὑφίστησι τὰς δευτέρας τάξεις τῶν θεῶν. Οὐρανὸς μὲν γὰρ μετὰ Γῆς πρόεισιν· Ἣ δὲ πάλιν Γαῖάν τε καὶ Οὐρανὸν εὐρὺν ἔτικτε, καὶ Κρόνος μετὰ τῆς Ῥέας· κατὰ γὰρ τὴν τρίτην γονὴν ἡ Γῆ προήγαγεν*

Ἑπτὰ μὲν εὐειδεῖς κούρας, ἑλικώπιδας, ἁγνάς,
ἑπτὰ δὲ παῖδας ἄνακτας ἐγείνατο λαχνήεντας.

ὁ δὲ δημιουργὸς αὐτῆς, ὁ μέγιστος Ζεύς, συζυγεῖ τῇ Ἥρᾳ· διὸ καὶ ἰσοτελὴς αὐτῷ καλεῖται καὶ ἐκ τῶν αὐτῶν προεληλύθασι πατέρων. ὁ δέ γε Φάνης μόνος τε πρόεισι καὶ ὁ αὐτὸς ἀνυμνεῖται θῆλυς καὶ γενέτωρ, παράγει τὰς Νύκτας, καὶ τῇ μέσῃ σύνεστιν ὁ πατήρ· αὐτὸς γὰρ ἑῆς παιδὸς ἀφείλετο κούριον ἄνθος.

95.

Proclus in Plat. Tim. V 295 D: *Τίκτει γὰρ ἡ Γῆ λαθοῦσα τὸν Οὐρανόν, ὥς φησιν ὁ θεολόγος, ἑπτὰ μὲν εὐειδεῖς κούρας, ἑπτὰ δὲ παῖδας ἄνακτας·*

Θυγατέρας μὲν τίκτε Θέμιν καὶ ἐΰφρονα Τηθὺν
Μνημοσύνην τε βαθυπλόκαμον Θείαν τε μάκαιραν,
ἠδὲ Διώνην τίκτεν, ἀριπρεπὲς εἶδος ἔχουσαν,
Φοίβην τε Ῥείην τε, Διὸς γενέτειραν ἄνακτος.

παῖδας δὲ ἄλλους τοσούτους

Fr. 95, 1 *τίκτε* Mullach addidit. — *ἐΰφρονα* Eschenbach] *εὔφρονα*. — 5 *Κρῖον* Abel] *Κροῖον*. — *κραταιόν* Gesner] *καρτερόν*.

Κοῖόν τε Κρῖόν τε μέγαν Φορκύν τε κραταιὸν
καὶ Κρόνον Ὠκεανόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε.

Cf. Chalcidius in Plat. Tim. (p. 41 A: *Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων*) c. **126** p. **326**: Simul exposuit ea, quae Orpheus et Linus et Musaeus de divinis potestatibus vaticinati sunt, non quo delectaretur aut crederet, sed quod tanta esset auctoritas vaticinantium, ut iis adseverantibus parcius credi non oporteret.

96.

Syrianus in Arist. Metaph. p. 935 a: *Μεθ' ἣν (Νύκτα ἐβασίλευσεν) ὁ Οὐρανός·*

ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα.

Cf. Proclus in Plat. Crat. p. 59: *Καὶ ὁ Οὐρανὸς παρὰ τῆς Νυκτὸς ἑκούσης ὑποδέχεται τὴν ἐπικράτειαν τῶν ὅλων, καὶ ὁ Διόνυσος τελευταῖος θεῶν βασιλεὺς παρὰ τοῦ Διός.*

97.

Proclus in Plat. Tim. V 295 F: *Ὡς γὰρ ἐνόησε, φησίν, αὐτοὺς ὁ Οὐρανὸς*

ἀμείλιχον ἦτορ ἔχοντας
καὶ φύσιν ἐκνομίην . . . .
ῥῖπτε βαθὺν γαίης ἐς τάρταρον.

98. 99.

Damascius Quaest. de primis princ. p. 186: *Ἔοικε δὲ καὶ ὁ Ὀρφεὺς τὸν Κρόνον εἰδὼς νοῦν, ὡς δηλοῖ ὅ τε σύμπας μῦθος ὁ περὶ αὐτοῦ καὶ ὁ ἀγκυλομήτης. καὶ τὴν Νύκτα, ὡς πρώτην οὐσίαν καὶ τροφὸν πάντων διὰ τοῦτο ἀνυμνουμένην αὐτὸν μάλιστα τὸν Κρόνον πεποίηκε τρέφουσαν, ὡς τοῦ νοῦ οὖσαν τὸ νοητόν, ἐπειδὴ τῷ νοοῦντι τροφὴ τὸ νοούμενόν ἐστι κατὰ τὸ λόγιον. λέγει γοῦν ὁ θεολόγος·*

Fr. 97. *ὡς ἐνόησ' αὐτοὺς παναμείλιχον ἦτορ ἔχοντας* erat secundum Lobeckium, *ὡς δ' αὐτοὺς ἐνόησεν ἀμ. ἦτορ ἔχ.* secundum Koechlyum, *Οὐρανὸς ὡς ἐνόησεν ἀμείλιχον ἦτορ ἔχοντας* secundum Mullachium.

Ἐκ πάντων δὲ Κρόνον Νὺξ ἔτρεφεν ἠδ' ἀτίταλλεν.

Proclus in Plat. Crat. p. 97: *Ὅτι ἡ Δημήτηρ ὥσπερ πᾶσαν ζωὴν προχέει, οὕτω καὶ πᾶσαν τροφήν· ἔχει δὲ παράδειγμα τὴν Νύκτα· θεῶν γὰρ τροφὸς ἀμβροσίη Νὺξ λέγεται.*

100.

Proclus in Plat. Tim. V 296 A: *Ῥίπτε βαθὺν γαίης ἐς Τάρταρον· κρύπτων οὖν ἐν ἀφανεῖ δι' ὑπεροχὴν δυνάμεως· τὰ δὲ καὶ μένει καὶ πρόεισιν, ὥσπερ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς. τῶν γὰρ ἄλλων Τιτάνων εἰς τὴν κατὰ τοῦ πατρὸς ἐπιβουλὴν ἱεμένων ὁ Ὠκεανὸς ἀπαγορεύει τε πρὸς τὰς τῆς μητρὸς ἐπιτάξεις καὶ ἐνδοιάζει περὶ τῆς πράξεως·*

Ἔνθ' οὖν Ὠκεανὸς μὲν ἐνὶ μεγάροισιν ἔμιμνεν
ὁρμαίνων, ποτέρωσε νόον τράποι, ἢ πατέρα ὃν
γυμνώσῃ τε βίης καὶ ἀτάσθαλα λωβήσαιτο
σὺν Κρόνῳ ἠδ' ἄλλοισιν ἀδελφοῖς, οἳ πεπίθοντο
μητρὶ φίλῃ, ἢ τούς γε λιπὼν μένοι ἔνδον ἕκηλος.
πολλὰ δὲ πορφύρων μένεν ἥμενος ἐν μεγάροισι,
σκυζόμενος ᾗ μητρί, κασιγνήτοισι δὲ μᾶλλον.

μένει οὖν οὗτος ἅμα καὶ πρόεισι μετὰ τῆς Τηθύος· συνέζευκται γὰρ αὐτῷ κατὰ τὴν πρώτην ἀπογέννησιν· οἱ δὲ ἄλλοι Τιτᾶνες εἰς διάκρισιν ἐπείγονται καὶ πρόοδον, ἡγεῖται δὲ αὐτῶν ὁ μέγιστος Κρόνος, ὥς φησιν ὁ θεολόγος.

101.

Proclus in Plat. Crat. p. 116: *Παράγει οὖν αὐτὴν (τὴν πρωτίστην Ἀφροδίτην) ὁ Οὐρανὸς ἐκ τοῦ ἀφροῦ τῶν γονίμων ἑαυτοῦ μορίων ῥιφέντος εἰς τὴν θάλασσαν, ὥς φησιν Ὀρφεύς·*

Μήδεα δ' ἐς πέλαγος πέσεν ὑψόθεν, ἀμφὶ δὲ τοῖσι
λευκὸς ἐπιπλώουσιν ἑλίσσετο πάντοθεν ἀφρός.
ἐν δὲ περιπλομέναις ὥραις ἐνιαυτὸς ἔτικτε

Fr. 100, 1 τ' post *οὖν* Gesner delevit. — 2 *νόον* Gesner] *νόων*. — *ἢ* Gesner] *ἠέ*. — 3 *γυμνώσῃ* Gesner] *γνώσῃ*. — 4 *ἄλλοισιν* Gesner] *ἄλλοις*. — 5 *μένοι* Gesner] *μένει*. — 6 *ἥμενος* Hermann] ἥμερος.

Fr. 101, 1 *ἐς πέλαγος* Werfer] *ἐν πέλαγος* (εὐπέλαγος, δὲ πέλαγος).

παρθένον αἰδοίην, ἣν δὴ παλάμαις ὑπέδεκτο
γεινομένην τὸ πρῶτον ὁμοῦ Ζῆλός τ' Ἀπάτη τε.

102.

Proclus in Plat. Tim. I 54 B: *Ἐπεὶ παράδειγμα αὐτῶν διὰ τούτων παρὰ τῷ θεολόγῳ δηλοῦται τῶν ὀνομάτων·*
Τιτῆνες κακομῆται, ὑπέρβιον ἦτορ ἔχοντες.

103.

Proclus in Plat. Tim. I 57 F: *Οὕτω γὰρ ἡ δημιουργικὴ πέρας ἴσχει βούλησις καὶ τὰ χείρω κρατεῖται ὑπὸ τῶν ἀμεινόνων, ἐν μὲν τοῖς μερικοῖς Ἀτλαντῖνοι ὑπὸ τῶν Ἀθηναίων, ἐν δὲ τοῖς ὅλοις οἱ Τιτᾶνες ὑπὸ τῶν Ὀλυμπίων.*
Καὶ κρατεροί περ ἐόντες ἀμείνονος ἀντιάσαντες
ὕβριος ἀντ' ὀλοῆς καὶ ἀτασθαλίης ὑπερόπλου,
φησὶν ὁ θεολόγος. Cf. Schol. Hes. Theog. v. 209: (*Τιτᾶνες*) *παρὰ τὸ τετάσθαι καὶ ἐξαπλωθῆναι. ἢ ὅτι* (*ὡς λέγει οὗτος ἀπὸ τῆς δόξης τοῦ Ὀρφέως λαβὼν τοῦτο*) *πάλιν τιμωρῆσαι μέλλει ὁ Κρόνος τοὺς θεοὺς καὶ λαβεῖν τὴν βασιλείαν αὐτοῦ, ἤγουν πάλιν ἐπικρατῆσαι μέλλει τὸ σκότος ἐκεῖνο τὸ ἀρχαιότατον.*

104.

Proclus in Plat. Tim. V. 295: *Καίτοι γε ὅτι ὁ Κρόνος ὑπέρτερός ἐστι τοῦ Ὠκεανοῦ, δεδήλωκεν ὁ θεολόγος πάλιν λέγων τὸν μὲν Κρόνον αὐτὸν καταλαμβάνειν τὸν οὐράνιον Ὄλυμπον, κἀκεῖ θρονισθέντα βασιλεύειν τῶν Τιτάνων, τὸν δὲ Ὠκεανὸν τὴν λῆξιν ἅπασαν τὴν μέσην· ναίειν γὰρ αὐτὸν ἐν τοῖς* θεσπεσίοις ῥείθροις *τοῖς μετὰ τὸν Ὄλυμπον καὶ τὸν ἐκεῖ περιέπειν οὐρανόν, ἀλλ' οὐ τὸν ἀκρότατον, ὡς δέ φησιν ὁ μῦθος, τὸν ἐκπεσόντα τοῦ Ὀλύμπου καὶ ἐκεῖ τεταγμένον. τούτων δ' οὖν οὕτως ἐχόντων ὁ Ὠκεανὸς καὶ ἡ Τηθὺς καθ' ὅσον μένουσι καὶ ἥνωνται πρὸς τὸν Οὐρανόν, συμπαράγουσιν αὐτῷ τὴν τῶν προϊόντων βασιλείαν, Κρόνου τε καὶ Ῥέας, καὶ καθ' ὅσον ἵδρυνται τῇ μονίμῳ δυνάμει τῆς μητρός, κατὰ τοσοῦτον τὸν Φόρκυν μετ' αὐτῶν. αὕτη γὰρ αὐτὸν προάγει* Πόντου φιλότητι μιγεῖσα

μετὰ Νηρέως καὶ Θαύμαντος[1])· *οὐ γάρ ἐστιν ὁ Φόρκυς Οὐρανίδης ἀλλὰ Πόντου*[2]), *ὡς ἔστι δῆλον ἐκ τῆς Θεογονίας* (Hesiodi) . . . . . (Deinde p. 297 A enumerat eosdem Titanes et Titanides, quos ante) *καὶ τοὺς ἅμα τῷ Φόρκυνι προελθόντας, τὸν Νηρέα, τὸν Θαύμαντα, τὴν κινητικωτάτην Εὐρυβίαν καὶ τοὺς μάλιστα τὴν γένεσιν ὅλην συνέχοντας.*

105.

Proclus in Plat. Tim. II 121 A: *Διὸ καὶ μένει μὲν* (*ἡ Θέμις*) *παρθένος πρὸ τῆς τοῦ δημιουργοῦ προόδου κατὰ τοὺς χρησμοὺς τῆς Νυκτός·*

Ἔστ' ἂν Ῥείη παῖδα τέκῃ Κρόνῳ ἐν φιλότητι.

106.

Proclus in Plat. Crat. p. 96: *Ὅτι τὴν Δήμητραν Ὀρφεὺς μὲν τὴν αὐτὴν λέγων τῇ Ῥέᾳ εἶναι λέγει, ὅτι ἄνωθεν μὲν μετὰ Κρόνου οὖσα ἀνεκφοίτητος Ῥέα ἐστί, προβάλλουσα δὲ καὶ ἀπογεννῶσα τὸν Δία Δημήτηρ. λέγει γὰρ* Ῥείην τὸ πρὶν ἐοῦσαν ἐπεὶ Διὸς ἔπλετο μήτηρ *γεγονέναι Δήμητραν.*[1]) Cf. Proclus in Plat. Crat. p. 85: *Ὁ δ' Ὀρφεὺς τρόπον μέν τινα τὴν αὐτὴν εἶναι τὴν Δήμητρα τῇ ὅλῃ ζῳογονίᾳ, τρόπον δ' ἄλλον οὐ τὴν αὐτήν· ἄνω μὲν γὰρ οὖσα Ῥέα ἐστί, κάτω δὲ μετὰ τοῦ Διὸς Δημήτηρ· καὶ γὰρ τὰ παραγενόμενα* (l. *παραγόμενα*) *ὅμοιά εἰσι τοῖς παράγουσι καὶ σχεδὸν τὰ αὐτά.*

107.

Proclus in Plat. Crat. p. 97: *Ὅτι ἡ Δημήτηρ ὥσπερ πᾶσαν ζωὴν προχέει οὕτω καὶ πᾶσαν τροφήν· ἔχει δὲ παράδειγμα τὴν*

Fr. 104 [1]) *Θαύμαντος* C. E. Chr. Schneider] *Θαύμαντι.* — [2]) *Πόντου* Lobeck] *ὁ Φόρκυς.* Idem supra *Πόντῳ* pro *πόντων.*

Fr. 105, 1 *παῖδα τέκοι* Hermann] *τέκοι παῖδα.* — *τέκῃ* Herwerden scripsit.

Fr. 106 [1]) *γέγονε Δήμητραν* codd. Monacenses et Parisini (de cod. Vaticano non videtur constare), unde Boissonade *γέγονε Δημήτηρ* edidit, pro quo in notis *Δημήτηρ γέγονε* proposuit. Corr. Lobeck. Werfer hos versus procudit: *Ῥείη τὸ πρὶν ἐοῦσα* (*γ'* Mullach add.) *ἐπεὶ Διὸς ἔπλετο μήτηρ, Γίγνετο Δημήτηρ.*

Νύκτα· θεῶν γὰρ τροφὸς ἀμβροσίη Νὺξ λέγεται· ἀλλ' ἐκείνη μὲν νοητῶς· καὶ γὰρ τροφὴ τὸ νοητόν ἐστι κατὰ τὸ λόγιον ταῖς νοεραῖς διακοσμήσεσι τῶν θεῶν· ἡ δὲ Δημήτηρ πρώτη καὶ τὰς διττὰς τροφὰς διεῖλεν ἐν τοῖς θεοῖς, ὥς φησιν Ὀρφεύς·

μήσατο γὰρ προπόλους τε καὶ ἀμφιπόλους καὶ ὀπηδούς,
μήσατο δ' ἀμβροσίην καὶ ἐρυθροῦ νέκταρος ἀρδμόν,
μήσατο δ' ἀγλαὰ ἔργα μελισσάων ἐριβόμβων.

108.

Tzetzes ad Lycophr. v. 399: *Δίσκον τὸν Δία λέγει διὰ τὸν λίθον τὸν ἀντὶ Διὸς ὑπὸ Κρόνου καταποθέντα, ὥς φησιν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ τὴν Ὀρφέως ὑποκλέψας καὶ παραφθείρας Θεογονίαν.*

109. 110.

Hermias in Plat. Phaedr. p. 148: *Ἡ δὲ Ἀδράστεια μία ἐστὶ καὶ αὕτη θεὸς τῶν μενουσῶν ἐν τῇ Νυκτί, γενομένη ἐκ Μελίσσου καὶ Ἀμαλθείας. ὁ μὲν οὖν Μέλισσος κατὰ τὴν ἐπιμέλειαν τῶν δευτέρων καὶ πρόνοιαν εἴληπται, ἡ δὲ Ἀμαλθεία κατὰ τὸ ἀκλινὲς καὶ μὴ μαλθάσσεσθαι. ἐκ τῆς οὖν προνοίας τῆς ἀκλινοῦς γέγονεν ἡ Ἀδράστεια, ἥτις ἀδελφή ἐστι τῆς Εἴδης·*

Εἴδη τ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδράστεια.

ἡ πάντων ὁμοῦ τῶν νόμων τῶν τε ἐγκοσμίων καὶ ὑπερκοσμίων τῶν τε εἱμαρμένων καὶ Διίων (εἰσὶ γὰρ καὶ Δίιοι νόμοι καὶ Κρόνιοι θεῖοί τε καὶ ὑπερκόσμιοι καὶ ἐγκόσμιοι) ἡ πάντων οὖν τούτων τὰ κέντρα ἑνιαίως ἐν ἑαυτῇ συλλαβοῦσα καὶ συνέχουσα, αὕτη ἐστὶν ἡ θεός, Ἀδράστεια διὰ τοῦτο κεκλημένη, διὰ τὸ τὰ ὑπ' αὐτῆς τεθέντα καὶ νομοθετηθέντα ἀναπόδραστα εἶναι. διὸ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται·

παλάμησι δὲ χάλκεα ῥόπτρα
δῶκεν Ἀδραστείᾳ.

ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα τὰ αὐτῆς τῶν νόμων κατήκοα γένηται. ἔνδον μὲν γὰρ ἐν τῷ ἀδύτῳ τῆς Νυκτὸς κάθηται ὁ Φάνης· ἐν

Fr. 107, 1 *τε* Abel addidit. — *ὀπηδούς* Lobeck] *ὀπαδούς*. — 2 *ἀρδμόν* Koechly] *ἄρθρον*.

Fr. 109, 1 Fort. *Ἴδη* legendum.

μέσῳ δὲ ἡ Νὺξ μαντεύουσα τοῖς θεοῖς, ἡ δὲ Ἀδράστεια ἐν τοῖς προθύροις πᾶσι νομοθετοῦσα τοὺς θείους νόμους. διαφέρει δὲ τῆς ἐκεῖ Δίκης ὡς νομοθετικὴ δικαστικῆς· καὶ ἡ μὲν ἐκεῖ Δίκη θυγάτηρ λέγεται τοῦ ἐκεῖ Νόμου καὶ Εὐσεβείας. αὕτη ἡ Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας οὖσα περιεκτική ἐστι καὶ τοῦ Νόμου. αὗται δὴ καὶ λέγονται τρέφειν τὸν Δία ἐν τῷ ἄντρῳ τῆς Νυκτός, ἄντικρυς τοῦτο τοῦ θεολόγου λέγοντος. ὃ καὶ Πλάτων περὶ αὐτοῦ φησι· καὶ γὰρ δημιουργοῦντα αὐτὸν ποιεῖ καὶ διαθεσμοθετοῦντα. — Cf. Proclus in Plat. Tim. V 323 C: *Καὶ γὰρ ὁ δημιουργός, ὡς ὁ Ὀρφεύς φησι, τρέφεται μὲν ὑπὸ τῆς Ἀδραστείας, σύνεστι δὲ τῇ Ἀνάγκῃ, γεννᾷ δὲ τὴν Εἱμαρμένην.*

111.

Proclus Theol. Plat. IV 16. 206: *Παρ' Ὀρφεῖ δὲ καὶ φρουρεῖν λέγεται (ἡ Ἀδράστεια) τὸν τῶν ὅλων δημιουργὸν καὶ χάλκεα ῥόπτρα λαβοῦσα καὶ τύμπανα ἠχήεντα*[1]*) οὕτως ἠχεῖν, ὥστε πάντας ἐπιστρέφειν εἰς αὐτὴν τοὺς θεούς.*

112.

Proclus Theol. Plat. V 3. 253: *Καὶ γὰρ Ὀρφεὺς τοὺς Κουρῆτας φύλακας τῷ Διὶ παρίστησι τρεῖς ὄντας καὶ οἱ θεσμοὶ τῶν Κρητῶν καὶ ἡ Ἑλληνικὴ πᾶσα θεολογία τὴν καθαρὰν καὶ ἄχραντον ζωὴν καὶ ἐνέργειαν εἰς τὴν τάξιν ταύτην ἀναπέμπουσιν· οὐδὲν γὰρ ἄλλο τι τὸ κόρον ἢ τὸ καθαρὸν καὶ ἀκήρατον ἐνδείκνυται.* Cf. Proclus Theol. Plat. VI 13. 382: *Ἐπεὶ καὶ περιεστάναι λέγονται τὸν τῶν ὅλων δημιουργὸν καὶ περιχορεύειν ἀπὸ τῆς Ῥέας ἀναφανέντες. ἐν μὲν οὖν τοῖς νοεροῖς θεοῖς ἡ Κουρητικὴ τάξις ἡ πρωτίστη τὴν ὑπόστασιν ἔλαχεν.* Proclus in Plat. Tim. II 96 E: *Ὥσπερ γὰρ ὁ θεολόγος περὶ αὐτὸν (τὸν Δία) ἵστησι τὴν Κουρητικὴν τάξιν, οὕτω δὴ καὶ ὁ Πλάτων φυλακὰς φοβερὰς εἶναί φησι περὶ αὐτόν, καὶ ὡς ἐκεῖνος ἐπὶ τῆς τοῦ Ὀλύμπου κορυφῆς αὐτὸν ἱδρύει, οὕτω καὶ οὗτος τὴν ἀκρόπολιν ἀνῆκεν αὐτῷ, ἐν ᾗ διαιωνίως ἱδρυμένος διὰ τῶν*

Fr. 111 [1]) τύμπανα ἠχήεντα Lobeck] τύμπανον αἴγηκες.

μέσων τάξεων κοσμεῖ τὰ πάντα. τίς μὲν οὖν ὁ δημιουργός ἐστι, καὶ ὅτι νοῦς θεῖος τῆς ὅλης ποιήσεως αἴτιος, εἰρήσθω διὰ τούτων καὶ ὅπως ὑπό τε Ὀρφέως καὶ Πλάτωνος ὁ αὐτὸς ἀνυμνεῖται δημιουργὸς Ζεύς, ἀπὸ τούτων ὑπομεμνήσθω.

113.

Syrianus in Aristot. Metaph. p. 935 A: *Τὸν δὲ Δία οὐ πρῶτον ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ πρὸς αὐτὸν παρὰ τῆς Νυκτὸς δοθέντες χρησμοί·*

Ἀθανάτων βασιλῆα θεῶν πέμπτον σε γενέσθαι.

114.

Porphyrius De antro Nymph. p. 118 ed. Barnes.: *Παρὰ δὲ τῷ Ὀρφεῖ ὁ Κρόνος μέλιτι ὑπὸ Διὸς ἐνεδρεύεται· πλησθεὶς γὰρ μέλιτος μεθύει καὶ σκοτοῦται ὡς ὑπὸ οἴνου καὶ ὑπνοῖ —— οὔπω γὰρ οἶνος ἦν. φησὶ γὰρ παρ' Ὀρφεῖ ἡ Νὺξ τῷ Διὶ ὑποτιθεμένη τὸν διὰ μέλιτος δόλον·*

εὖτ' ἂν δή μιν ἴδηαι ὑπὸ δρυσὶν ὑψικόμοισιν
ἔργοισιν μεθύοντα μελισσάων ἐριβόμβων,
αὐτίκα μιν δῆσον,

ὃ καὶ πάσχει ὁ Κρόνος, καὶ δεθεὶς ἐκτέμνεται ὡς ὁ Οὐρανός. Cf. Proclus in Plat. Crat. p. 59: *Διὰ τί οὖν, εἰ καὶ ὑβριστικὸν ἦν τὸ τοιοῦτον ὄνομα (τοῦ Κρόνου), οὐκ εὐφήμως καὶ πρεπούσῃ θεοῖς σιγῇ τοῦτο παρέδραμεν; ἢ ὅτι τῆς βασιλικῆς τῶν θεῶν σειρᾶς ἀρχομένης μὲν ἀπὸ Φάνητος, καταντώσης δ' εἰς αὐτὸν τὸν δεσπότην ἡμῶν τὸν Διόνυσον, καὶ τὸ αὐτὸ σκῆπτρον ἄνωθεν ἄχρι τῆς ἐσχάτης βασιλείας προαγούσης, μόνος ὁ Κρόνος τὴν τετάρτην βασιλικὴν τάξιν κληρωσάμενος παρὰ πάντας τοὺς ἄλλους ὑβριστικῶς δοκεῖ κατὰ τὸ μυθικὸν πρόσχημα προσδέχεσθαι καὶ ἐκ τοῦ Οὐρανοῦ τὸ σκῆπτρον καὶ μεταδιδόναι τῷ Διί; — — — μόνος δ' ὁ Κρόνος καὶ ἀφαιρεῖται τὸν Οὐρανὸν τὴν βασιλείαν τελέως καὶ τῷ Διὶ παραχωρεῖ τῆς ἡγεμονίας τέμνων καὶ τεμνόμενος, ὥς φησιν ὁ μῦθος.* Proclus in Plat. Crat. p. 66: *Ὡς δ' Ὀρφεὺς ἐνθέῳ στόματι λέγει, — — — καὶ*

Fr. 113, 1 *ἀθανάτων* Lobeck] *ἀθάνατον*. — *σε* Lobeck] *τε*.

Κρόνος πάσης τῆς δημιουργίας ἐνδίδωσι τῷ Διὶ τὰς ἀρχὰς καὶ τῆς εἰς τὰ αἰσθητὰ προνοίας, καὶ ἑαυτὸν νοῶν ἥνωται τοῖς πρωτίστοις νοητοῖς καὶ πεπλήρωται τῶν ἐκεῖθεν ἀγαθῶν· διὸ καὶ τρέφεσθαί φησιν αὐτὸν ὁ θεολόγος ὑπὸ Νυκτός· ἐκ πάντων δὲ Κρόνον Νὺξ ἔτρεφεν ἠδ᾽ ἀτίταλλεν.

115.

Proclus in Plat. Polit. p. 388: *Τὸν πατέρα ζηλῶν· καὶ γὰρ ἐκεῖνος πρώτιστος παραδέδοται τῶν θεῶν·*

Ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν
κεῖτο μέγα ῥέγκων.

116.

Proclus in Plat. Crat. p. 57: *Καὶ γὰρ (ὁ Ζεὺς) διττοὺς ὑφίστησι διακόσμους, τόν τε οὐράνιον καὶ τὸν ὑπερουράνιον, ὅθεν αὐτοῦ καὶ τὸ σκῆπτρον εἶναί φησιν ὁ θεολόγος πισύρων καὶ εἴκοσι μέτρων, ὡς διττῶν ἄρχοντος δυοδεκάδων.* Cf. Proclus in Plat. Tim. II 137 C: *Ἀλλ᾽ ὁ μὲν Φάνης διττὰς ὑφίστησι τριάδας, ὁ δὲ Ζεὺς διττὰς δυοδεκάδας. καὶ γὰρ διὰ τοῦτο τὸ σκῆπτρον αὐτοῦ λέγεται πισύρων καὶ εἴκοσι μέτρων,* et Proclus in Plat. Crat. p. 65: *Ὡς δ᾽ ἂν οἱ Ὀρφικοὶ φαῖεν· ἄνωθεν μὲν ὁριζόμενος (ὁ ὑπερουράνιος τόπος) τῷ αἰθέρι, κάτωθεν δὲ τῷ Φάνητι.* Hermias in Plat. Phaedr. p. 247 C (*τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς οὔτε ποθ᾽ ὑμνήσει κατ᾽ ἀξίαν*) p. 140: *Τὸ πλῆθος τῶν τῇδε ἀνθρωπικῶν ποιητῶν, ὥστε ἐξαίρεσθαι τοῦ λόγου Ὅμηρον καὶ Ὀρφέα· εἴρηται γὰρ αὐτοῖς περὶ τοῦδε τοῦ τόπου καὶ Ἡσιόδῳ καὶ Μουσαίῳ.*

117. 118.

Proclus in Plat. Tim. II 63 E: *Πρὶν δὲ ἅψηται τῆς ὅλης πραγματείας, ἐπὶ θεῶν παρακλήσεις καὶ εὐχὰς τρέπεται, μιμούμενος καὶ ταύτῃ τὸν τοῦ παντὸς ποιητήν, ὃς πρὸ τῆς ὅλης δημιουργίας εἴς τε τὸ χρηστήριον εἰσιέναι λέγεται τῆς Νυκτός,*

Fr. 115, 2 ῥέγκων Lobeck] ἐλέγχων.

κἀκεῖθεν πληροῦσθαι τῶν θείων νοήσεων καὶ τὰς τῆς δημιουργίας ἀρχὰς ὑποδέχεσθαι καὶ ἀπορίας, εἰ θέμις εἰπεῖν, ἁπάσας διαλύειν καὶ δὴ καὶ τὸν πατέρα παρακαλεῖν εἰς τὴν τῆς δημιουργίας σύλληψιν. πρὸς μὲν τὴν Νύκτα πεποίηται τῷ θεολόγῳ λέγων·

Μαῖα, θεῶν ὑπάτη, Νὺξ ἄμβροτε, πῶς, τάδε φράζε,
πῶς χρή μ᾽ ἀθανάτων ἀρχὴν κρατερόφρονα θέσθαι;[1])

καὶ ἀκούει παρ᾽ αὐτῆς·

Αἰθέρι πάντα πέριξ ἀφάτῳ λάβε, τῷ δ᾽ ἐνὶ μέσσῳ
οὐρανόν.

καὶ περὶ πάσης ἑξῆς ἀναδιδάσκεται τῆς κοσμοποιίας· πρὸς δὲ τὸν Κρόνον πάλιν μετὰ τοὺς δεσμοὺς μόνον οὐκ εὐχόμενός φησιν·

Ὄρθου δ᾽ ἡμετέρην γενεήν, ἀριδείκετε δαῖμον·

καὶ διὰ πάντων τῶν ἐχομένων τὴν τοῦ πατρὸς εὐμένειαν προκαλούμενος. καὶ πῶς γὰρ ἄλλως ἔμελλε θεῶν πάντα πληρώσειν καὶ τῷ αὐτοζῴῳ ἀνομοιώσειν τὸ αἰσθητὸν ἢ πρὸς τὰς ἀφανεῖς αἰτίας τῶν ὅλων ἀνατεινόμενος, ἀφ᾽ ὧν αὐτὸς πεπληρωμένος ἔμελλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα ἔργα. Et Proclus in Plat. Crat. p. 30. 31: *Καὶ γὰρ ὁ μέγιστος Κρόνος ἄνωθεν τὰς τῶν νοήσεων ἀρχὰς ἐνδίδωσι τῷ δημιουργῷ καὶ ἐπιστατεῖ τῆς ὅλης δημιουργίας· διὸ καὶ δαίμονα αὐτὸν ὁ Ζεὺς καλεῖ παρ᾽ Ὀρφεῖ· ὄρθου δ᾽ ἡμετέρην γενεήν, ἀριδείκετε δαίμων. καὶ ἔοικε τῶν συναγωγῶν καὶ τῶν διαιρέσεων τὰς ἀκροτάτας αἰτίας ἔχειν παρ᾽ ἑαυτῷ ὁ Κρόνος — — ἐπεὶ καὶ ὁ δημιουργὸς Ζεὺς παρ᾽ αὐτοῦ προσεχῶς ὑποδέχεται τὴν ἀλήθειαν τῶν ὄντων· καὶ νοεῖ τὰ ἐν αὐτῷ πρώτως· μαντεύει μὲν γὰρ αὐτῷ καὶ ἡ Νύξ· ἀλλ᾽ ὁ πατὴρ προσεχῶς καὶ πάντα τὰ μέτρα τῆς ὅλης δημιουργίας αὐτῷ ἐνδίδωσιν.*

119.

Proclus in Plat. Tim. IV 267 C: *Διὸ δὴ καὶ Ὀρφεὺς Φάνητά τε τὸν θεὸν τοῦτον προσηγόρευσεν ὡς ἐκφαίνοντα τὰς νοητὰς ἑνάδας καὶ ζῴων αὐτῷ μορφὰς ἀνέθηκεν, ὡς ἐν αὐτ-*

[1]) Huic versui alter subiunctus fuisse videtur: *πῶς δέ μοι ἕν τε τὰ πάντ᾽ ἔσται καὶ χωρὶς ἕκαστον;* cf. fr. 122.

τῆς πρώτης αἰτίας τῶν νοητῶν ζῴων ἐκφανείσης, καὶ ἰδέας πολυειδεῖς, ὡς τῶν νοητῶν ἰδεῶν πρώτως περιληπτικῷ. καὶ κληῖδα νόου προσειπὼν κλεῖν τε αὐτὸν ἐκάλεσε τοῦ νοῦ, διότι περατοῖ πᾶσαν τὴν νοητὴν οὐσίαν καὶ συνέχει νοερὰν ζωήν. πρὸς δὴ τοῦτον τὸν τοσοῦτον θεὸν ὁ δημιουργὸς ἀνήρτηται τοῦ παντός, νοῦς μὲν καὶ αὐτὸς ὤν, ὥσπερ εἴπομεν πρότερον, ἀλλὰ νοερὸς νοῦς καὶ νοῦ διαφερόντως αἴτιος· διὸ καὶ ὁρᾶν λέγεται τὸ αὐτόζῳον. ἴδιον γὰρ τὸ ὁρᾶν τῶν νοερῶν θεῶν, ἐπεὶ τόν γε νοητὸν νοῦν καὶ ἀνόμματον ὁ θεολόγος προσηγόρευσε· λέγει γοῦν περὶ αὐτοῦ *Ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν Ἔρωτα*· ἔστι γὰρ αὐτοῦ τὸ ἐνέργημα νοητόν· νοῦς δὲ ὁ δημιουργὸς ὢν οὐκ ἔστι τῶν μετεχομένων, ἵνα τῶν ὅλων ᾖ δημιουργός, καὶ ἵνα δύνηται πρὸς τὸ αὐτόζῳον ὁρᾶν· ἀμέθεκτος δὲ ὢν ὄντως νοερός ἐστι νοῦς, καὶ διὰ μὲν τῆς ἁπλῆς νοήσεως συνήνωται πρὸς τὸ νοητόν, διὰ δὲ τῆς ποικίλης εἰς ἀπογέννησιν σπεύδει τῶν δευτέρων. ἐκείνην μὲν αὐτοῦ τὴν νόησιν ὅρασιν προσείρηκεν ὁ λόγος, ὡς ἀπλήθυντον καὶ ὡς τῷ νοητῷ φωτὶ καταλαμπομένην, τὴν δὲ δευτέραν ἐνέργειαν διανόησιν, ὡς διὰ τῆς ἁπλῆς νοήσεως προϊοῦσαν καὶ εἰς ἀπογέννησιν τῶν δημιουργικῶν ἔργων προχωροῦσαν. καὶ ὁ μὲν Πλάτων ὁρᾶν αὐτὸν εἰς τὸ αὐτόζῳον εἶπεν, ὁ δὲ Ὀρφεὺς καὶ ἐπιπηδᾶν αὐτῷ καὶ καταπίνειν δειξάσης μέντοι τῆς Νυκτός.

120.

Proclus in Plat. Tim. II 99 A: Ταῦτα δὲ καὶ Ὀρφεὺς ἐνδεικνύμενος καταπίνεσθαι τὸν νοητὸν θεὸν ἔφατο παρὰ τοῦ δημιουργοῦ τῶν ὅλων· καὶ ὁ μὲν Πλάτων βλέπειν εἰς τὸ παράδειγμα τὸν δημιουργὸν ὑπέθετο, τὴν νόησιν διὰ τῆς ὁράσεως ἐνδεικνύμενος, ὁ δὲ θεολόγος καὶ οἷον ἐπιπηδᾶν αὐτὸν τῷ νοητῷ καὶ καταπίνειν, ὡς ὁ μῦθος ἔφησεν. ἔστι γάρ, εἰ χρὴ διαρρήδην τὰ τοῦ καθηγεμόνος λέγειν, ὁ παρὰ τῷ Ὀρφεῖ πρωτόγονος θεὸς κατὰ τὸ πέρας τῶν νοητῶν ἱδρυμένος παρὰ τῷ Πλάτωνι τὸ αὐτόζῳον. διὸ καὶ αἰώνιόν ἐστι καὶ τῶν νοουμένων κάλλιστον· καὶ τοῦτό ἐστιν ἐν νοητοῖς ὅπερ ὁ Ζεὺς ἐν νοεροῖς· πέρας δὲ ἑκάτερος τῶνδε τῶν τάξεων. καὶ ὁ μὲν τῶν παραδειγματικῶν αἰτίων τὸ πρώτιστον, ὁ δὲ τῶν δημιουργικῶν τὸ μοναδικώτατον.

διὸ καὶ ἑνοῦται πρὸς ἐκεῖνον ὁ Ζεὺς διὰ μέσης τῆς Νυκτός, καὶ πληρωθεὶς ἐκεῖθεν γίγνεται κόσμος νοητός, ὡς ἐν νοεροῖς·

Ὣς τότε πρωτογόνοιο χανὼν μένος Ἠρικεπαίου
τῶν πάντων δέμας εἶχεν ἑῇ ἐνὶ γαστέρι κοίλῃ,
μῖξε δ' ἑοῖς μελέεσσι θεοῦ δύναμίν τε καὶ ἀλκήν.
τοὔνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη.

εἰκότως ἄρα καὶ νῦν ὁ Πλάτων εἰς τὸ παράδειγμα βλέποντά φησι δημιουργεῖν αὐτόν, ἵνα τῷ νοεῖν ἐκεῖνο πάντα γενόμενος τὸν αἰσθητὸν ὑποστήσηται κόσμον· τὸ μὲν γὰρ ἦν νοητῶς πᾶν, αὐτὸς δὲ νοερῶς πᾶν, ὁ δὲ κόσμος αἰσθητῶς πᾶν. διὸ καὶ ὁ θεολόγος φησί· πάντα τάδε κρύψας αὖθις φάος ἐς πολυγηθὲς μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα ῥέζων. Cf. Hermias in Plat. Phaedr. p. 141: Οὐδὲ οἱ ὑπὸ τὸν Δία θεοὶ λέγονται ἑνοῦσθαι τῷ Φάνητι, ἀλλὰ μόνος ὁ Ζεὺς καὶ αὐτὸς διὰ μέσης τῆς Νυκτός.

121. 122.

Proclus in Plat. Tim. II 95 E: Ὁ μὲν οὖν Πλάτων τοιοῦτον ὑποστησάμενος δημιουργὸν ἄρρητον αὐτὸν καὶ ἀκατονόμαστον εἴασεν, ὡς ἐν τἀγαθοῦ μοίρᾳ προτεταγμένον τῶν ὅλων. ἔστι γὰρ ἐν πάσῃ τάξει θεῶν τὸ ἀναλογοῦν τῷ ἑνί. τοιοῦτον γοῦν ἡ ἐν ἑκάστῳ κόσμῳ μονάς. ὁ δέ γε Ὀρφεὺς καὶ ὄνομα αὐτῷ προσήνεγκεν ἅτε ἐκεῖθεν κινούμενος· ᾧ καὶ αὐτὸς ὁ Πλάτων ἐν ἄλλοις ἠκολούθησεν. ὁ γὰρ παρ' αὐτῷ Ζεύς, ὁ πρὸ τῶν τριῶν Κρονιδῶν, οὗτός ἐστι τῶν ὅλων δημιουργός. μετὰ γοῦν τὴν κατάποσιν τοῦ Φάνητος αἱ ἰδέαι τῶν πάντων ἐν αὐτῷ πεφήνασιν, ὥς φησιν ὁ θεολόγος·

τοὔνεκα σὺν τῷ παντὶ Διὸς πάλιν ἐντὸς ἐτύχθη
αἰθέρος εὐρείης ἠδ' οὐρανοῦ ἀγλαὸν ὕψος,
πόντου τ' ἀτρυγέτου γαίης τ' ἐρικυδέος εὖρη,
ὠκεανός τε μέγας καὶ νείατα τάρταρα γαίης,

Fr. 120, 1 χανών Zoëga] χανόν. — 2 δέ post πάντων delevit, ἑῇ addidit Gesner. — 3 μίξε codd. — δ' ἑοῖς Gesner] δ' οἷς. — 4 vide fragm. 121.

Fr. 121, 2 αἰθέριος et ἢ δ' (ἤδ') codd., corr. Stephanus. — 4 νείατα Stephanus] νήατα.

καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος ἄλλα τε πάντα
πάντες τ᾽ ἀθάνατοι μάκαρες θεοὶ ἠδὲ θέαιναι
ὅσσα τ᾽ ἔην γεγαῶτα καὶ ὕστερον ὀππόσ᾽ ἔμελλεν,
ἐγγένετο· Ζηνὸς δ᾽ ἐνὶ γαστέρι σύρρα πεφύκει.

τῶν δὲ ἰδεῶν πλήρης ὢν διὰ τούτων ἐν ἑαυτῷ τὰ ὅλα περιείληφεν, ὡς καὶ τοῦτο ἐνδεικνύμενος ὁ θεολόγος ἐπήγαγε Ζεὺς πρῶτος γένετο ... τὰ τοίνυν ὅλα περιέχων ὁ Ζεὺς καὶ πάντα μοναδικῶς καὶ νοερῶς κατὰ τούτους τοὺς χρησμοὺς μετὰ τῆς Νυκτὸς ὑφίστησι, καὶ πάντα τὰ ἐγκόσμια, θεούς τε καὶ τὰς μοίρας τοῦ παντός. λέγει γοῦν πρὸς αὐτὸν ἡ Νὺξ ἐρωτήσαντα· πῶς δέ μοι ἕν τε τὰ πάντ᾽ ἔσται, καὶ χωρὶς ἕκαστον·

αἰθέρι πάντα πέριξ ἀφάτῳ λάβε· τῷ δ᾽ ἐνὶ μέσσῳ
οὐρανόν· ἐν δέ τε γαῖαν ἀπείριτον, ἐν δὲ θάλασσαν,
ἐν δέ τε τείρεα πάντα, τά τ᾽ οὐρανὸς ἐστεφάνωται.

καὶ δὴ καὶ περὶ τῶν ἄλλων ἁπάντων ὑποθεμένη δημιουργημάτων ἐπήνεγκεν·

αὐτὰρ ἐπὴν δεσμὸν κρατερὸν περὶ πᾶσι τανύσσῃς
σειρὴν χρυσείην ἐξ αἰθέρος ἀρτήσαντα.

εἰ τοίνυν ὁ Ζεύς ἐστιν ὁ τὸ ἓν κράτος ἔχων ὁ τὸν Φάνητα καταπιών, ἐν ᾧ πρώτως αἱ νοηταὶ τῶν ὅλων αἰτίαι, ὁ πάντα παράγων κατὰ τὰς ὑποθήκας τῆς Νυκτός, ὁ τοῖς θεοῖς τὰς ἐξουσίας παραδιδούς, οὗτός ἐστιν ὁ τοῦ κόσμου ποιητής, πέμπτην ἔχων ἐν τοῖς βασιλεῦσι τάξιν, ὡς ἀποδέδεικται τῷ ἡμετέρῳ καθηγεμόνι ἐν ταῖς Ὀρφικαῖς συνουσίαις. Cf. Proclus in Plat. Tim. III 146 E: *Καὶ οὗτός ἐστιν ὁ κρατερὸς δεσμός, ὥς φησιν ὁ θεολόγος, διὰ πάντων τεταμένος καὶ ὑπὸ τῆς χρυσῆς σειρᾶς συνεχόμενος· ἐπ᾽ αὐτῷ γὰρ ὁ Ζεὺς τὴν χρυσῆν ὑφίστησι σειρὰν κατὰ τὰς ὑποθήκας τῆς Νυκτός· αὐτὰρ ἐπὴν κτλ.* Proclus in Plat. Tim. III 173 F: *Κρατερὸς μὲν γὰρ καὶ ὁ δεσμὸς ὁ ἀπὸ νοῦ καὶ ψυχῆς, ὡς καὶ Ὀρφεύς φησιν, ἀλλὰ μείζων ἡ τῆς χρυσῆς σειρᾶς ἕνωσις καὶ μειζόνων τοῖς πᾶσιν ἀγαθῶν αἰτία.*

---

5 *ἀπείριτος* Stephanus] *ἀπείρητος*. — 7 *ὀππόσ᾽* Stephanus] *ὅπως*. — 8 *ἐγγένετο* Gesner] *ἐγένετο*.
Fr. 122, 4 *ἐστεφάνωται* Gesner] *ἐστεφάνωτο*.

123.

Eusebius Praep. Ev. III 9, Stobaeus Eclog. Phys I cap. 1, 23: *Ὅρα δὲ τὴν τῶν Ἑλλήνων σοφίαν οὑτωσὶ διασκοπούμενος. τὸν γὰρ Δία τὸν νοῦν τοῦ κόσμου ὑπολαμβάνοντες, ὃς τὰ ἐν αὐτῷ ἐδημιούργησεν ἔχων τὸν κόσμον, ἐν μὲν ταῖς θεολογίαις ταύτῃ περὶ αὐτοῦ παραδεδώκασιν οἱ τὰ Ὀρφέως εἰπόντες·*

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος, ἀργικέραυνος·
Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ᾽ ἐκ πάντα τέτυκται·
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος ἔπλετο νύμφη·
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος·
Ζεὺς πνοιὴ πάντων, Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή,
Ζεὺς πόντου ῥίζα, Ζεὺς ἥλιος ἠδὲ σελήνη·
Ζεὺς βασιλεύς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος.
ἓν κράτος, εἷς δαίμων γένετο, μέγας ἀρχὸς ἁπάντων,
ἓν δὲ δέμας βασίλειον, ἐν ᾧ τάδε πάντα κυκλεῖται,
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ,
καὶ Μῆτις, πρῶτος γενέτωρ, καὶ Ἔρως πολυτερπής·
πάντα γὰρ ἐν Ζηνὸς μεγάλῳ τάδε σώματι κεῖται.
τοῦ δή τοι κεφαλὴ μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα
οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι
ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται.
ταύρεα δ᾽ ἀμφοτέρωθε δύο χρύσεια κέρατα
ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων,
ὄμματα δ᾽ ἠέλιος καὶ παμφανόωσα σελήνη·
οὖς δέ οἱ ἀψευδὲς βασιλήιον ἄφθιτος αἰθήρ,
ᾧ δὴ πάντα κλύει καὶ φράζεται· οὐδέ τίς ἐστιν
αὐδὴ οὐδ᾽ ἐνοπὴ οὐδὲ κτύπος, οὐδὲ μὲν ὄσσα,
ἣ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος.
ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχει ἠδὲ νόημα·
σῶμα δέ οἱ περιφεγγές, ἀπείριτον, ἀστυφέλικτον,
ἄτρομον, ὀβριμόγυιον, ὑπερμενὲς ὧδε τέτυκται.

Fr. 123, 3 *ἄφθιτος* Eus. — 5 Pro *πάντων* Hermann recte *ἀνέμων* coni. — 5. 6 omm. Eus. et Proclus. — 12 *μεγάλῳ Ζηνός* Eus. — 13 *κεφαλὴν* Eus. — 18 *καὶ παμφανόωσα* Koechly] *τε καὶ ἀντιόωσα.* — 19 *οὖς δέ οἱ ἀψευδὲς βασιλήιον* Heringa] *νοῦς δέ οἱ ἀψευδὴς βασιλήιος.* — 20 *κυκλεῖ* *Eus.* — *21 οὔτ᾽ — οὔτε κτ.* Eus. — 25 ὄβριμον ὀβριμόγυιον Eus.

ὦμοι μὲν καὶ στέρνα καὶ εὐρέα νῶτα θεοῖο
ἀὴρ εὐρυβίης· πτέρυγες δέ οἱ ἐξεφύοντο,
ταῖς ἐπὶ πάντα ποτᾶθ'· ἱερὴ δέ οἱ ἔπλετο νηδὺς
γαῖά τε παμμήτειρ', ὀρέων τ' αἰπεινὰ κάρηνα,
μέσση δὲ ζώνη βαρυηχέος οἶδμα θαλάσσης
καὶ πόντου· πυμάτη δὲ βάσις χθονὸς ἔνδοθι ῥίζαι
τάρταρά τ' εὐρώεντα καὶ ἔσχατα πείρατα γαίης.
πάντα δ' ἀποκρύψας αὖτις φάος ἐς πολυγηθὲς
μέλλει ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα ῥέζων.

. . . (III 9, 10) τοιοῦτος μέν τις ὁ διὰ τῶν ἐπῶν ὑπογραφόμενος τυγχάνει Ζεύς. ὁ δὲ τῶν ἐπῶν ἐξηγητὴς ἀρξάμενος μὲν τοῖς ἔπεσιν ἀκολούθως λέγει· Ζεὺς οὖν ὁ πᾶς κόσμος, ζῷον ἐκ ζῴων, θεὸς ἐκ θεῶν· σαφῶς τὸν θεολογούμενον Δία οὐδὲ ἄλλον ἢ τὸν ὁρώμενον καὶ αἰσθητὸν κόσμον δηλοῦσθαι διὰ τῶν ἐπῶν ἑρμηνεύσας. Cf. Proclus in Plat. Alcib. III p. 88: *Ἐν γὰρ τῷ Διὶ ὁ Ἔρως ἐστί· καὶ γὰρ Μῆτίς ἐστι πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής, καὶ ὁ Ἔρως πρόεισιν ἐκ τοῦ Διὸς καὶ συνυπέστη τῷ Διὶ πρώτως ἐν τοῖς νοητοῖς· ἐκεῖ γὰρ ὁ Ζεὺς ὁ πανόπτης ἐστὶ καὶ ἁβρὸς Ἔρως, ὥς Ὀρφεύς φησι.* Proclus in Plat. Parmen. III p. 22: *Ὁ μὲν γὰρ Ὀρφεὺς μετὰ τὴν κατάποσιν τοῦ Φάνητος ἐν τῷ Διὶ τὰ πάντα γεγονέναι φησίν· ἐπειδὴ πρώτως μὲν καὶ ἡνωμένως ἐν ἐκείνῳ, δευτέρως δὲ καὶ διακεκριμένως ἐν τῷ δημιουργῷ τὰ πάντα ἀνεφάνη τῶν ἐγκοσμίων αἴτια. ἐκεῖ γὰρ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ οὐρανὸς αὐτὸς καὶ τὰ στοιχεῖα καὶ ὁ Ἔρως ὁ πολυτερπὴς καὶ πάντα ἁπλῶς ἓν γεγονότα Ζηνὸς ἐνὶ γαστέρι σύρρα πέφυκε.* — Idem in Plat. Crat. p. 66: *Ὡς δ' Ὀρφεὺς ἐνθέῳ στόματι λέγει, καὶ καταπίνει τὸν πρόγονον αὐτοῦ τὸν Φάνητα καὶ ἐγκολπίζεται πάσας αὐτοῦ τὰς δυνάμεις ὁ Ζεύς, καὶ γίνεται πάντα νοερῶς ὅσαπερ ἦν ἐκεῖνος νοητῶς.*

124.

Proclus in Plat. Parmen. IV: *Καὶ οὐκ ἂν θαυμάσαιμεν τῶν Ὀρφικῶν ἐπῶν ἀκούοντες, ἐν οἷς φησιν ὁ θεολόγος·*

33 *αὖθις* Eus. — 34 *μέλλεν* Eus.

Οὕτως δὲ Ζηνὸς καὶ ἐν ὄμμασι πατρὸς ἄνακτος
ναίουσ᾽ ἀθάνατοί τε θεοὶ θνητοί τ᾽ ἄνθρωποι
ὅσσα τ᾽ ἔην γεγαῶτα καὶ ὕστερον ὁππόσ᾽ ἔμελλε.

πάντων γάρ ἐστι πλήρης τῶν νοητῶν καὶ πάντων ἔχει τὰς διῃρημένας αἰτίας, ὥστε καὶ ἀνθρώπους καὶ τἄλλα πάντα γεννᾷ.

125.

Proclus Theol. Plat. VI 8. 363: *Ὁ δὲ Ὀρφεὺς καὶ διαρρήδην εἰς τὸν τῶν ὅλων ἀναπέμπει δημιουργὸν (τὴν Δίκην). ἤδη γὰρ αὐτῷ βασιλεύοντι καὶ διακοσμεῖν ἀρχομένῳ τὸ πᾶν ἕπεσθαί φησι τὴν ὅλην Δίκην·*

Τῷ δὲ Δίκη πολύποινος ἐφείπετο πᾶσιν ἀρωγός.

126.

Proclus in Plat. Tim. II 96 B C: *Καὶ τὸν Νόμον αὐτῷ συγκαθιδρύων, ὥσπερ καὶ Ὀρφεύς· κατὰ γὰρ τὰς ὑποθήκας τῆς Νυκτὸς καὶ παρ᾽ ἐκείνου πάρεδρον ποιεῖται τὸν νόμον· ἔτι δὲ τὴν δίκην ὅλην ὀπαδὸν αὐτοῦ τιθέμενος ἐν Νόμοις, ὥσπερ καὶ ὁ θεολόγος.* Cf. Proclus in Plat. Alcib. III p. 70: *Πρὸ τοῦ κόσμου Δίκη συνάπτεται τῷ Διί· πάρεδρος γὰρ ὁ Νόμος τοῦ Διός, ὥς φησιν Ὀρφεύς.*

127.

Proclus in Plat. Crat. p. 52. 53: *Τῆς τοίνυν νοερᾶς τῶν θεῶν διακοσμήσεως ἄνωθεν μὲν ὁριζομένης τῷ βασιλεῖ τῶν ὅλων θείων γενῶν καὶ πατρικὴν ἔχοντι πρὸς πάντας τοὺς νοεροὺς ὑπεροχήν· ὅντε Φάνητα, φησὶν Ὀρφεύς, πρωτόγονον μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον· προϊούσης δὲ διά τε τῶν τριῶν νυκτῶν καὶ τῶν οὐρανίων ὑποστάσεων εἰς τὴν Τιτανικὴν γενεάν, ἣ πρώτη τῶν πατέρων ἑαυτὴν διέκρινε καὶ τῆς συνοχικῆς βασιλείας τὴν διαιρετικὴν ἠλλάξατο τῶν ὅλων προστασίαν καὶ ἀναφαίνεται πᾶν τὸ δημιουργικὸν τῶν θεῶν γένος ἀπὸ πάντων μὲν τῶν προειρημένων ἀρχικῶν αἰτίων καὶ βασιλικῶν. προσεχῶς*

Fr. 124, 1 *οὕτως* Mullach] *αὕτη*. — 3 *ὁππόσ᾽* Gesner] *ὅπως*.
Fr. 125, 1 *πολύπονος ἐφέπετο* cod., corr. Aemilius Portus.

δ' ἀπὸ τοῦ ἑνὸς τῶν Τιτανικῶν διακόσμων ἡγεμόνος, καὶ πρὸ τῶν ἄλλων δημιουργῶν ὁ Ζεὺς τὸ ἑνιαῖον κράτος τῆς ὅλης δημιουργικῆς σειρᾶς κληρωσάμενος· καὶ τά τε ἀφανῆ πάντα καὶ τὰ ἐμφανῆ παράγων καὶ ὑφιστάς, νοερὸς μὲν αὐτὸς ὑπάρχων κατὰ τὴν τάξιν· τὰ δ' εἴδη τῶν ὄντων καὶ τὰ γένη προάγων εἰς τὴν τῶν αἰσθητῶν διακόσμησιν· καὶ τῶν μὲν ὑπὲρ ἑαυτὸν θεῶν πεπληρωμένος, τοῖς δ' ἐγκοσμίοις πᾶσιν ἀφ' ἑαυτοῦ τὴν εἰς τὸ εἶναι πρόοδον παρέχων. διὸ δὴ καὶ Ὀρφεὺς δημιουργοῦντα μὲν αὐτὸν τὴν οὐρανίαν πᾶσαν γενεὰν παραδίδωσι καὶ ἥλιον ποιοῦντα καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστρῴους θεούς, δημιουργοῦντα δὲ τὰ ὑπὸ σελήνην στοιχεῖα καὶ διακρίνοντα τοῖς εἴδεσιν ἀτάκτως ἔχοντα πρότερον, σειρὰς δ' ὑφιστάντα θεῶν περὶ ὅλον τὸν κόσμον εἰς αὐτὸν ἀνηρτημένας καὶ διαθεσμοθετοῦντα πᾶσι τοῖς ἐγκοσμίοις θεοῖς τὰς κατ' ἀξίαν διανομὰς τῆς ἐν τῷ παντὶ προνοίας. καὶ Ὅμηρος δ' ἑπόμενος Ὀρφεῖ πατέρα μὲν αὐτὸν ἀνυμνεῖ κοινῇ θεῶν τε καὶ ἀνθρώπων καὶ ἡγεμόνα καὶ βασιλέα καὶ ὕπατον κρειόντων....

128.

Proclus Theol. Plat. V 11. 267: *Κατ' Ὀρφέα τῷ μὲν Κρόνῳ συνοῦσα κατὰ τὴν ἀκρότητα τὴν ἑαυτῆς ἡ μέση θεὸς Ῥέα καλεῖται, τὸν δὲ Δία παράγουσα καὶ μετὰ Διὸς ἐκφαίνουσα τούς τε ὅλους καὶ τοὺς μερικοὺς διακόσμους τῶν θεῶν Δημήτηρ.*

129.

Proclus in Plat. Tim. II. 121 A: *Διὸ καὶ μένει μὲν (ἡ Θέμις) παρθένος πρὸ τῆς τοῦ δημιουργοῦ προόδου κατὰ τοὺς χρησμοὺς τῆς Νυκτὸς ἔστ' ἂν Ῥείη παῖδα τέκῃ Κρόνῳ ἐν φιλότητι* (cf. fragm. 105)· *συμπαράγει δὲ τῷ Διὶ τὴν τριάδα τῶν Ὡρῶν.*

130.

Proclus in Plat. Tim. II 137 B: *Ὁ δὲ δημιουργὸς αὐτῆς ὁ μέγιστος Ζεὺς συζυγεῖ τῇ Ἥρᾳ· διὸ καὶ ἰσοτελὴς αὐτῷ καλεῖται καὶ ἐκ τῶν αὐτῶν προεληλύθασι πατέρων.* Cf. Proclus in Plat. Tim. V. 315 D: *Ζῳοποιοῦσα καὶ τὸν ὅλον κόσμον, ἣν ὁ μὲν*

Ὀρφεὺς ἰσοτελῆ τῷ δημιουργῷ καλεῖ καὶ συνάπτει καὶ συζεύξας μίαν ποιεῖ μητέρα πάντων ὧν ὁ Ζεὺς πατήρ — — — καὶ οἱ μὲν βάρβαροι τὴν ζῳογονικὴν ταύτην αἰτίαν πηγαίαν ψυχὴν ἀποκαλοῦσι μετὰ τῆς πηγαίας ἀρετῆς ἀναφανεῖσαν ἀπὸ τῶν λαγόνων τῆς ὅλης ζῳογόνου θεότητος, ἐν ᾗ περιέχονται πάσης ζωῆς πηγαί, θείας, ἀγγελικῆς, δαιμονίας, ψυχικῆς, φυσικῆς· ὁ δὲ θεολόγος ὁ παρ' Ἕλλησιν Ἥραν αὐτὴν προσείρηκε μετὰ τῆς Ἑστίας ἀναφανεῖσαν ἀπὸ τῆς μεγίστης Ῥέας, ἣ περιείληφεν ἁπάσας τὰς ζῳογονικὰς δυνάμεις, ἐπὶ τέλει καὶ αὐτὴν ἀποτίκτουσα τὴν φύσιν, εἰ καὶ συντάττει τῷ δημιουργῷ τὴν Ἥραν ὡς μητέρα πατρί, καὶ πάσης τῆς Τιτανικῆς διαιρέσεως ἔξαρχον αὐτὴν παραδίδωσι τῆς τε ἐν ψυχαῖς θεωρουμένης κατὰ τὰς μοίρας καὶ διακρίσεως αἰτίαν.

131.

Proclus in Plat. Tim. I 52 B: *Λέγει οὖν καὶ ὁ θεολόγος, ὅτι παρήγαγεν αὐτὴν (τὴν Ἀθηνᾶν) ὁ πατήρ,*

Ὄφρ' αὐτῷ μεγάλων ἔργων κράντειρα πέλοιτο.

132.

Proclus in Plat. Tim. I. 51 D: *Διὸ καὶ Ὀρφεὺς περὶ αὐτῆς τικτομένης φησίν, ὅτι ἄρα αὐτὴν ὁ Ζεὺς ἀπεγέννησεν ἐκ τῆς κεφαλῆς,*

Ὅπλοις λαμπομένην χαλκήιον ἄνθος ἰδέσθαι.

133.

Proclus in Plat. Polit. p. 387: *Καὶ γὰρ οἱ πρώτιστοι Κουρῆτες τά γε ἄλλα τῇ τάξει τῆς Ἀθηνᾶς ἀνεῖνται, καὶ περιεστέφθαι λέγονται τῷ θαλλῷ τῆς ἐλαίας, ὥς φησιν Ὀρφεύς·*

Δεινὴ γὰρ Κρονίδαο νόου κράντειρα τέτυκται.

134.

Proclus in Plat. Crat. p. 118: *Τὴν οὖν εὔρυθμον χορείαν διὰ τῆς κινήσεως ὑποφαίνει (ἡ Ἀθηνᾶ), ἧς καὶ μετέδωκε πρώτῃ μὲν τῇ Κουρητικῇ τάξει, δευτέρως δὲ καὶ τοῖς ἄλλοις θεοῖς· ἔστι γὰρ ἡ θεὸς κατὰ ταύτην τὴν δύναμιν ἡγεμὼν τῶν Κουρήτων, ὥς φησιν Ὀρφεύς.*

135.

Proclus in Plat. Crat. p. 24: *Εἰ δέ τις αὐτὰς τὰς ποιητικὰς καὶ γονίμους δυνάμεις τῶν θεῶν, ἃς εἰς τὸ πᾶν προάγουσι τέχνας, προσαγορεύοι δημιουργικὰς καὶ νοερὰς καὶ γεννητικὰς καὶ τελεσιουργούς, οὐκ ἂν οὐδ' ἡμεῖς ἀποδοκιμάσαιμεν τὴν τοιαύτην προσηγορίαν· ἐπεὶ καὶ τοὺς θεολόγους εὑρίσκομεν διὰ τούτων τὰς θείας ποιήσεις ἐνδεικνυμένους, καὶ τοὺς μὲν Κύκλωπας ἁπάσης τεχνικῆς ποιήσεως αἰτίους λέγοντας, οἳ καὶ τὸν Δία καὶ τὴν Ἀθηνᾶν καὶ τὸν Ἥφαιστον ἐδίδαξαν· τὴν δ' Ἀθηνᾶν τῶν τ' ἄλλων τεχνῶν καὶ διαφερόντως τῆς ὑφαντικῆς προστατεῖν· τὸν δ' Ἥφαιστον ἄλλης ἰδίως ἔφορον τέχνης· αὐτὴν δὲ τὴν ὑφαντικὴν ἀρχομένην μὲν ἀπὸ τῆς δεσποίνης Ἀθηνᾶς·*

Ἥδε γὰρ ἀθανάτων προφερεστάτη ἐστὶν ἁπασέων
ἱστὸν ἐποίχεσθαι, ταλασήιά τ' ἔργα πινύσσειν,

φησὶν Ὀρφεύς· προϊοῦσαν δ' εἰς τὴν ζῳογόνον τῆς Κόρης σειράν (καὶ γὰρ αὕτη καὶ πᾶς αὐτῆς ὁ χορὸς ἄνω μενούσης ὑφαίνειν λέγονται τὸν διάκοσμον τῆς ζωῆς).

136.

Proclus in Plat. Tim. I 52 D: *Οἰκεῖον γὰρ τὸ τῆς ἀρετῆς γένος πρὸς τὴν μεγίστην ταύτην θεόν, ὡς καὶ αὐτὴν ἀρετὴν οὖσαν· ἐν γὰρ τῷ δημιουργῷ μένουσα σοφία καὶ νόησίς ἐστιν ἄτρεπτος, καὶ ἐν τοῖς ἡγεμονικοῖς θεοῖς ἐκφαίνει τὴν τῆς ἀρετῆς δύναμιν,*

ἀρετῆς τ' ὄνομ' ἐσθλὸν
κλήζεται,

φησὶν Ὀρφεύς. Cf. Proclus in Plat. Tim. I 57 B: *Ἵνα διὰ μὲν τῆς ἀρετῆς τὴν πρὸς τὸ φιλόσοφον τῆς Ἀθηνᾶς αὐτῆς οἰκείωσιν ἐνδείξηται (καὶ γὰρ ἄλλη θεολογία τις, οὐχ ἡ Ὀρφικὴ μόνον, ἀρετὴν αὐτὴν ἀπεκάλεσε), διὰ δὲ τῆς ῥώμης τὴν πρὸς τὸ φιλοπόλεμον.*

137.

Proclus in Plat. Crat. p. 112: *Ἐπεὶ ἥ γε Ἄρτεμις ἡ ἐν*

Fr. 135, 2 *ἐφήνασθαι* codd. Parisini, *ἐποίχεσθαι* Werferi codd.
Fr. 136, 1 *τ' ὄνομ'* Lobeck] *τε οὔνομα.*

αὐτῇ (τῇ Κόρῃ) καὶ ἡ Ἀθηνᾶ τὴν παρθενίαν ἀεὶ τὴν αὐτὴν διασῴζουσι· καὶ γὰρ ἡ μὲν κατὰ τὸ μόνιμον αὐτῆς, ἡ δὲ κατ ὰ τὸ ἐπιστρεπτικὸν χαρακτηρίζεται· τὸ δὲ γεννητικὸν μέσην ἐν αὐτῇ τάξιν ἔλαχεν· ἐπιθυμεῖν δ' αὐτὴν τῆς παρθενίας φασίν· ἐπειδὴ τὸ εἶδος αὐτῆς ἐν τῇ ζῳογόνῳ περιέχεται πηγῇ καὶ νοεῖ τὴν πηγαίαν ἀρετὴν καὶ ὑφίστησι τὴν ἀρχικὴν καὶ ἀναγωγόν, καὶ τὴν ἔνυλον ἀτιμάζει πᾶσαν μῖξιν, καίτοι ἐφορῶσα τοὺς καρποὺς τῆς τοιαύτης ἐνύλου μίξεως·

Ἀτελής τε γάμων καὶ ἄπειρος ἐοῦσα
παιδογόνου λοχίης πάσης ἀνὰ πείρατα λύει (sc. Artemis),

φησὶν Ὀρφεύς· καὶ ἔοικε τὰς μὲν γενέσεις καὶ τὰς προόδους τῶν πραγμάτων ἐκτρέπεσθαι, τὰς δὲ τελειότητας ἐπιφέρειν αὐτοῖς, καὶ τὰς μὲν ψυχὰς διὰ τῆς κατ' ἀρετὴν ζωῆς τελεσιουργεῖν, τοῖς δὲ θνητοῖς ζῴοις τὴν εἰς τὸ εἶδος ἀποκατάστασιν χορηγεῖν.

138.

Proclus in Plat. Crat. p. 111: Ὅτι τῆς δεσποίνης ἡμῶν Ἀρτέμιδος τρεῖς ὁ Πλάτων παραδίδωσιν ἰδιότητας, τήν τε ἄχραντον καὶ τὴν κόσμιον καὶ τὴν ἀναγωγόν· καὶ διὰ μὲν τὴν πρώτην παρθενίας ἐρᾶν λέγεται ἡ θεός, διὰ δὲ τὴν δευτέραν καθ' ἣν τελεσιουργὸς ὡς ἀρετῆς ἔφορος εἶναι λέγεται· διὰ δὲ τὴν τρίτην καθ' ἣν μισῆσαι λέγεται τὰς γενεσιουργοὺς ὁρμάς· καὶ μάλιστα τῶν τριῶν ἡ πρώτη ἐφαρμόζει τῇ τῆς[1]) θεοῦ προόδῳ καθ' ἣν ἐν τῇ ζῳογόνῳ τῶν ἀρχῶν τριάδι τὴν ὕπαρξιν ἔλαχεν· εἴτ' Ἑκατικὴ προσαγορευομένη θεότης ὡς οἱ θεουργοί φασιν, εἴτ' Ἄρτεμις, ὡς Ὀρφεύς· ἐκεῖ γὰρ ἱδρυμένη πεπλήρωται μὲν ἀχράντων δυνάμεων ἀπὸ τῶν ἀμειλίκτων θεῶν, εἰς δὲ τὴν τῆς ἀρετῆς βλέπει πηγὴν καὶ τὴν παρθενίαν αὐτῆς ἀσπάζεται. καὶ γὰρ ἐκείνη τὸ παρθένιον οὐ προΐησιν, ὥς φησι τὸ λόγιον· νοοῦσα δ' ἐκείνην ὑφίστησι καὶ τὴν ἀρχικὴν ἀρετὴν καὶ ἐξήρηται πάσης κοινωνίας καὶ συζεύξεως καὶ τῆς κατὰ τὴν γένεσιν προόδου.

139.

Proclus in Plat. Tim. III 156: Εἰ δὲ καὶ πρὸ τούτων

Fr. 137, 1 τε Werfer addidit. — [1]) τῆς Boissonade] τοῦ.

τὴν ὑπερκόσμιον αἰτίαν τῆς φιλίας ἐθέλοις σκοπεῖν, εὑρήσεις καὶ παρὰ τοῖς θεολόγοις αὐτὴν ὑμνουμένην. τὴν γὰρ Ἀφροδίτην παρήγαγεν ὁ δημιουργός, ἵνα κάλλος ἐπιλάμπῃ, τάξιν καὶ ἁρμονίαν καὶ κοινωνίαν πᾶσι τοῖς ἐγκοσμίοις καὶ τὸν Ἔρωτα ὀπαδὸν αὐτῆς, ἑνοποιὸν ὄντα τῶν ὅλων· ἔχει δὲ καὶ αὐτὸς ἐν ἑαυτῷ τὴν τοῦ Ἔρωτος αἰτίαν. ἔστι γὰρ Καὶ Μῆτις πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής. εἰκότως ἄρα φιλίας ἐστὶν αἴτιος τοῖς δημιουργήμασι καὶ ὁμολογίας.

140.

Proclus in Plat. Crat. p. 116: *Τὴν δὲ δευτέραν Ἀφροδίτην παράγει μὲν ὁ Ζεὺς ἐκ τῶν ἑαυτοῦ γεννητικῶν δυνάμεων, συμπαράγει δ᾽ αὐτῷ καὶ ἡ Διώνη, πρόεισι δ᾽ ἡ θεὸς ἐκ τοῦ ἀφροῦ κατὰ τὸν αὐτὸν τῇ πρεσβυτέρᾳ τρόπον· λέγει δ᾽ οὕτως καὶ περὶ ταύτης ὁ αὐτὸς θεολόγος·*

Τὸν δὲ πόθος πλέον εἷλ᾽, ἀπὸ δ᾽ ἔκθορε πατρὶ μεγίστῳ
αἰδοίων ἀφροῖο γονή, ὑπέδεκτο δὲ πόντος
σπέρμα Διὸς μεγάλου· περιτελλομένου δ᾽ ἐνιαυτοῦ
ὥραις καλλιφύτοις τέκ᾽ ἐγερσιγέλωτ᾽ Ἀφροδίτην
ἀφρογενῆ . . .

Cf. Proclus in Plat. Tim. II 101 D: *Διὰ δὴ ταῦτα καὶ οἱ θεολόγοι τῷ Ἡφαίστῳ τὴν Ἀφροδίτην συζεύξαντες οὕτως αὐτὸν χαλκεύειν εἰρήκασι τὸ πᾶν· καὶ αὖ ἐξ Ἡφαίστου καὶ Ἀγλαΐας Εὔκλειαν καὶ Εὐσθένειαν ἀπογεννῶσι καὶ Εὐφήμην καὶ Φιλοφροσύνην, αἳ καὶ αὐταὶ τὸ σωματοειδὲς τῷ κάλλει διαπρέπον ἀποτελοῦσι.*

VIII. *ΙΕΡΟΣ ΛΟΓΟΣ.*[1]

141.

Iamblichus Vit. Pythag. V 28, p. 304: *Ὡς τῆς Πυθαγορικῆς κατ᾽ ἀριθμὸν θεολογίας παράδειγμα ἐναργὲς ἔκειτό πως*

Fr. 140, 1 *μεγίστη* Boissonadii codices.

[1]) Sacer hic sermo, si quidem *Ἱερὸς Λόγος* aeque ac Pythagoreus liber similis argumenti inscribebatur, non is fuisse videtur, qui Suida teste e rhapsodiis quattuor et viginti constabat. Continebat autem numerorum rationem secundum Pythagorae doctrinam.

ἐν Ὀρφεῖ. οὐκ ἔτι δὴ οὖν ἀμφίβολον γέγονε τὸ τὰς ἀφορμὰς παρὰ Ὀρφέως λαβόντα Πυθαγόραν συντάξαι τὸν περὶ θεῶν λόγον, ὃν καὶ Ἱερὸν διὰ τοῦτο ἐπέγραψεν, ὡς ἂν ἐκ τοῦ μυστικωτάτου ἀπηνθισμένον παρὰ Ὀρφεῖ τόπου. Cf. Pythagoram apud Iamblichum Vit. Pythag. V 96, p. 306: *Δηλοῦται δὴ διὰ τοῦ Ἱεροῦ λόγου ἢ περὶ θεῶν λόγου (ἐπιγράφεται γὰρ ἀμφότερα) καὶ τίς ἦν ὁ παραδεδωκὼς Πυθαγόρᾳ τὸν περὶ θεῶν λόγον· λέγει γάρ· „Λόγος ὅδε περὶ θεῶν Πυθαγόρα τῶ Μνασάρχω, τὸν ἐξέμαθον ὀργιασθεὶς ἐν Λειβήθροις τοῖς Θρᾳκίοις Ἀγλαοφάμω τελετὰς μεταδόντος· ὡς ἄρα Ὀρφεὺς ὁ Καλλιόπας κατὰ τὸ Πάγγαιον ὄρος ὑπὸ τᾶς ματρὸς πινυσθεὶς ἔφα, τὰν ἀριθμῶ οὐσίαν ἀιδίαν ἔμμεν ἀρχὰν προμαθεστάταν τῶ παντὸς ὠρανῶ καὶ γᾶς καὶ τᾶς μεταξὺ φύσιος, ἔτι δὲ καὶ θείων καὶ θεῶν καὶ δαιμόνων διαμονᾶς ῥίζαν.“ ἐκ δὴ τούτων φανερὸν γέγονεν, ὅτι τῷ ἀριθμῷ ὡρισμένην οὐσίαν τῶν θεῶν παρὰ τῶν Ὀρφικῶν παρέλαβεν. ἐποιεῖτο δὲ διὰ τῶν αὐτῶν ἀριθμῶν καὶ θαυμαστὴν πρόγνωσιν καὶ θεραπείαν τῶν θεῶν, κατὰ τοὺς ἀριθμοὺς ὅτι μάλιστα συγγενεστάτην.*

142.

Syrianus in Arist. Metaph. p. 902 a: *Τὸ δὲ μόνων αὐτοῖς ἀνατιθέναι τῶν αἰσθητῶν ἀριθμῶν τὴν κατανόησιν, μὴ πρὸς τῷ καταγελάστῳ καὶ λίαν ἀσεβὲς ᾖ· τοὺς γὰρ ὑποδεξαμένους μὲν παρ᾽ Ὀρφέως τὰς θεολογικὰς ἀρχὰς τῶν νοητῶν καὶ νοερῶν ἀριθμῶν, ἐπὶ πλεῖστον δὲ αὐτὰς προαγαγόντας καὶ τὴν ἄχρι τῶν αἰσθητῶν ἐπικράτειαν αὐτῶν ἀναφήναντας καὶ πρόχειρον ἔχοντας ἐπίφθεγμα τὸ ἀριθμῷ δέ τε πάντ᾽ ἐπέοικε, πῶς οὐκ ἄτοπον περὶ τὰ σώματα μόνον καὶ τοὺς συνόντας τοῖς σώμασιν ἀριθμοὺς διατετριφέναι λέγειν;*

143.

Syrianus in Arist. Metaph. p. 893 a: *Πῶς οὖν κατ᾽ αὐτοὺς ὑφέστηκε τὰ εἴδη τοὺς τῆς ἀληθείας φιλοθεάμονας; νοητῶς μὲν καὶ τετραδικῶς ἐν τῷ αὐτοζῴῳ, νοερῶς δὲ καὶ δεκαδικῶς ἐν δημιουργικῷ νῷ· πρόεισι γὰρ ὁ θεῖος ἀριθμὸς Μουνάδος ἐκ*

κευθμῶνος ἀκηράτου, ἕς τ' ἂν ἵκηται Τετράδ' ἐπὶ ζαθέην· ἣ δὴ τέκε μητέρα πάντων, Πανδεχέα, πρέσβειραν, ὅρον περὶ πᾶσι τιθεῖσαν, Ἄτροπον, ἀκαμάτην· δεκάδα κλείουσί μιν ἁγνὴν Ἀθάνατοί τε θεοὶ καὶ γηγενέες ἄνθρωποι. λέλεκται μὲν οὖν πᾶν τὸ ἀληθὲς Πυθαγορείως τε καὶ Ὀρφικῶς.

144.

Lydus de mens. II 5: *Ὀρφεὺς δὲ τὸν ἕνα ἀριθμὸν Ἀγυιέα καλεῖ, τουτέστιν ἀμερῆ· οὐδὲν γὰρ τῶν μερῶν τοῦ ἀριθμοῦ περὶ αὐτόν, οὐχ ἡμιόλιον, οὐκ ἐπίτριτον· τέλειος ἐπεὶ ὅλος.*

145.

Lydus de mens. II 7: *Καὶ τῶν περιττῶν ἀριθμῶν ἀρχὴ ἡ τριάς — καὶ τρεῖς πρῶται κατ' Ὀρφέα ἐξεβλάστησαν ἀρχαί, νὺξ καὶ γῆ καὶ οὐρανός· θεῶν δὲ τῶν ἐν γενέσει τρία γένη, οὐράνιον, ἐπίγειον καὶ τὸ μεταξὺ τούτων· τρία δὲ καὶ τῆς ψυχῆς τὰ κυριώματα, λογικόν, θυμικὸν καὶ ἐπιθυμητικόν.*

146.

Iamblichus Theolog. Arithm. VI § 37: *Τὴν ἑξάδα ὁλομέλειαν*[1]) *προσηγόρευον οἱ Πυθαγορικοὶ κατακολουθοῦντες Ὀρφεῖ, ἤτοι παρόσον ὅλη τοῖς μέλεσιν ἢ μέρεσιν ἴση ἐστὶ μόνη τῶν ἐντὸς δεκάδος, ἢ ἐπειδὴ ὅλον καὶ τὸ πᾶν κατ' αὐτὴν διαμεμέρισται καὶ ἐμμελὲς ὑπάρχει.*

147.

Lydus de mens. II 11: *Ὅθεν καὶ Ὀρφεὺς περὶ ἑξάδος ταῦτά φησι·*

Ἴλαθι, κύδιμ' ἀριθμέ, πάτερ μακάρων, πάτερ ἀνδρῶν.[2])

---

[1]) *οὐλομέλεια* Nicom. ap. Phot. CLXXXVII 240.

[2]) Versum *Κέκλυθι, κύδιμ' ἀριθμέ, πάτερ μακάρων, πάτερ ἀνδρῶν* Pythagoras in Sacro Sermone non de senario numero, sed de numero in universum usurpavit.

148.

Lydus de mens. II 11: *Οἵ γε μὴν Πυθαγόρειοι τῷ ἡγεμόνι τοῦ παντὸς τὴν ἑβδόμην ἀνατίθενται, τουτέστι τῷ ἑνί· καὶ μάρτυς Ὀρφεὺς λέγων οὕτως·*

Ἑβδόμη, ἣν ἐφίλησεν ἄναξ ἑκάεργος Ἀπόλλων.

Cf. Proclus in Plat. Tim. III 168 C: *Καὶ γὰρ ἡ μονὰς καὶ ἑπτὰς ἀριθμοὶ νοεροί τινες· ἡ μέν γε μονὰς αὐτόθεν νοῦς, ἡ δὲ ἑπτὰς τὸ κατὰ νοῦν φῶς, καὶ διὰ τοῦτο καὶ ὁ περικόσμιος νοῦς μοναδικός τε καὶ ἑβδομαδικός ἐστιν, ὥς φησιν Ὀρφεύς.*

149.

Iamblichus Theolog. Arithm. IX § 59: *Κουρῆτιδα ἰδίως καὶ Ὀρφεὺς καὶ Πυθαγόρας τὴν ἐννεάδα ἐκάλουν ὡς Κουρήτων*[1] *ἱερὰν ὑπάρχουσαν τριῶν τριμερῆ ἢ Κόρην γε.*

150.

Syrianus in Aristot. Metaphys. p. 915 b: *Τῶν θείων ἀνδρῶν δεκάδα τὸν εἰδητικὸν εἰπόντων ἀριθμὸν ὡς κοσμικὸν παράδειγμα καὶ ὅρον περὶ πᾶσι τεθέντα καὶ ὅτι ὥσπερ ἡ δεκὰς ἐντὸς αὑτῆς ἔχει πάντα τὸν ἀριθμὸν οὐκέτι κρυφίως ὡς ἡ μονάς, οὐδ᾽ οὐσιωδῶς ὡς ἡ τετράς, ἀλλ᾽ ἤδη σὺν ἑτερότητι πλείονι καὶ διαιρέσει, τοῦτον τὸν τρόπον καὶ ἡ νοερὰ δημιουργία πάντα προείληφεν ἐν ἑαυτῇ τὰ τῶν κόσμων εἴδη, καὶ ταύτην τὴν δόξαν ἀπό τε Ὀρφέως καὶ Μουσαίου καὶ τῶν ἐκεῖθεν καταγομένων ὑποδεξαμένων ὁ Ἀριστοτέλης ὡς δέκα τῷ ἀριθμῷ ἰδέας αὐτῶν ὑποτιθεμένων, οὕτως εὐθύνει τὰς δόξας.*

151.

Lydus de mens. I 15: *Ὀρθῶς οὖν αὐτὴν ὁ Φιλόλαος δεκάδα προσηγόρευσεν ὡς δεκτικὴν τοῦ ἀπείρου, Ὀρφεὺς δὲ κλαδοῦχον, ἐξ ἧς ὡσεὶ κλάδοι τινὲς πάντες οἱ ἀριθμοὶ φύονται.*

---

[1]) *Κουρήτων* Lobeck] *Κυρῖτιν* (*Κουρῆτιδα*).

IX. *ΙΕΡΟΣΤΟΛΙΚΑ. ΚΑΤΑΖΩΣΤΙΚΟΝ.*[1])

152.

Macrobius Sat. I 18, 22: Item Orpheus Liberum atque Solem unum esse deum eundemque demonstrans de ornatu vestituque eius in sacris Liberalibus ita scribit:

Ταῦτά τε πάντα τελεῖν ἱερῇ σκευῇ πυκάσαντα
σῶμα θεοῦ, μίμημα περικλυτοῦ Ἠελίοιο·
πρῶτα μὲν οὖν φλογέαις ἐναλίγκιον ἀκτίνεσσι
πέπλον φοινίκεον πυρὶ εἴκελον ἀμφιβαλέσθαι·
αὐτὰρ ὕπερθε νεβροῖο παναίολον εὐρὺ καθάψαι
δέρμα πολυστίκτου θηρὸς κατὰ δεξιὸν ὦμον
ἄστρων δαιδαλέων μίμημ' ἱεροῦ τε πόλοιο.
εἶτα δ' ὕπερθε νεβρῆς χρύσεον ζωστῆρα βαλέσθαι,
παμφανόωντα, πέριξ στέρνων φορέειν μέγα σῆμα
εὐθὺς ὅτ' ἐκ περάτων γαίης Φαέθων ἀνορούων
χρυσείαις ἀκτῖσι βάλῃ ῥόον Ὠκεανοῖο,
αὐγὴ δ' ἄσπετος ᾖ, ἀνὰ δὲ δρόσῳ ἀμφιμιγεῖσα
μαρμαίρῃ δίνῃσιν ἑλισσομένη κατὰ κύκλον
πρόσθε θεοῦ· ζωστὴρ δ' ἄρ' ὑπὸ στέρνων ἀμετρήτων
φαίνεται Ὠκεανοῦ κύκλος, μέγα θαῦμα ἰδέσθαι.

X. *ΚΑΤΑΒΑΣΙΣ ΕΙΣ ΑΙΔΟΥ.*[2])

153.

Diod. Sic. I 96, 4 sqq.: *Ὀρφέα μὲν γὰρ τῶν μυστικῶν τελετῶν τὰ πλεῖστα καὶ τὰ περὶ τὴν ἑαυτοῦ πλάνην ὀργιαζόμενα καὶ*

---

[1]) „*Ἱεροστολικά* et *Καταζωστικά*, quae Suidas recenset, ad unum eundemque locum de vestitu sacro sive initiatorum sive simulacrorum divinorum pertinere videntur . . . *Καταζωστικόν* fortasse a cinguli sacri traditione nomen habet, quo recens initiati tum in Samothraciis mysteriis tum in aliis ornari solebant.“ Lobeck I p. 371 sq.

Fr. 152, 1 *ἱερῇ* Lobeck (*ἱερᾷ* Joach. Camerarius)] *EPI* (*περι*); *ἦρι* Geel. — 2 *περικλυτοῦ* Abel] *περικλύτου*. — 4 *εἴκελον* Zeunius] *ἴκελον*. — 6 *πολυστίκτου* Gesner] *πολύστικτον*. — 7 *δαιδάλεον* coni. Mullach.

[2]) Herculis, non Orphei in Orcum descensum in hoc carmine descriptum

τὴν τῶν ἐν Ἅιδου μυθοποιίαν ἀπενέγκασθαι. τὴν μὲν γὰρ Ὀσίριδος τελετὴν τῇ Διονύσου τὴν αὐτὴν εἶναι, τὴν δὲ τῆς Ἴσιδος τῇ τῆς Δήμητρος ὁμοιοτάτην ὑπάρχειν τῶν ὀνομάτων μόνον ἐνηλλαγμένων. τὰς δὲ τῶν ἀσεβῶν ἐν Ἅιδου τιμωρίας καὶ τοὺς τῶν εὐσεβῶν λειμῶνας καὶ τὰς παρὰ τοῖς πολλοῖς εἰδωλοποιίας ἀναπεπλασμένας παρεισαγαγεῖν, μιμησάμενον τὰ γινόμενα περὶ τὰς ταφὰς τὰς κατ᾽ Αἴγυπτον. τὸν μὲν γὰρ ψυχοπομπὸν Ἑρμῆν κατὰ τὸ παλαιὸν νόμιμον παρ᾽ Αἰγυπτίοις, ἀναγαγόντα τὸ τοῦ Ἄπιδος σῶμα μέχρι τινὸς παραδιδόναι τῷ περικειμένῳ τὴν τοῦ Κερβέρου προτομήν. τοῦ δ᾽ Ὀρφέως τοῦτο καταδείξαντος παρὰ τοῖς Ἕλλησι τὴν Ὁμήρου ἀκολούθως θεῖναι κατὰ τὴν ποίησιν· Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο. Cf. Diod. Sic. I 92, 3: *Διὸ καί φασιν Ὀρφέα τὸ παλαιὸν εἰς Αἴγυπτον παραβαλόντα καὶ θεασάμενον τοῦτο τὸ νόμιμον, μυθοποιῆσαι τὰ καθ᾽ Ἅιδου, τὰ μὲν μιμησάμενον, τὰ δ᾽ αὐτὸν ἰδίᾳ πλασάμενον.* Iulianus Or. VII 216: *Καὶ Πλάτωνι πολλὰ μεμυθολόγηται περὶ τῶν ἐν Ἅιδου πραγμάτων θεολογοῦντι καὶ πρό γε τούτου τῷ τῆς Καλλιόπης.*

154.

Proclus in Plat. Polit. p. 696 ed. Mai: *Ἐπεὶ καὶ τὰ ἄλλα παρ᾽ Ὀρφέως ἐμυθολόγησεν (ὁ Πλάτων) λαβών, οἷον ὅτι ἐν τῷ Ἀχέροντι καθαίρονται καὶ τυγχάνουσιν εὐμοιρίας τινός·*

Οἳ μέν κ᾽ εὐαγέωσιν ὑπ᾽ αὐγὰς ἠελίοιο,
αὖτις ἀποφθίμενοι μαλακώτερον οἶτον ἔχουσιν
ἐν καλῷ λειμῶνι βαθύρροον ἀμφ᾽ Ἀχέροντα.

καὶ ὅτι κολάζονται ἐν τῷ Ταρτάρῳ·

Οἳ δ᾽ ἄδικα ῥέξαντες ὑπ᾽ αὐγὰς ἠελίοιο

---

fuisse e fr. 158 elucere videtur, quamquam in Marmore Pario ad annum 1399/98 a. Chr. n. haec leguntur: [. . *ἀφ᾽ οὗ Ὀρφεὺς Οἰάγρου καὶ Καλλιόπης*] *υἱὸ[ς τὴ]ν αὐτοῦ πόησιν ἐξ[έ]θηκε, Κόρης τε ἁρπαγὴν καὶ Δήμητρος ζήτησιν καὶ τὸν αὐτοῦ [ἐς ᾅδου καταβαθμὸν καὶ τὸ γῆ]θος τῶν ὑποδεξαμένων τὸν καρπόν,* quae tamen non omnibus locis recte suppleta esse apparet.

Fr. 154, 1 *οἳ μέν κ᾽* Preller] *οἱ μὲν κ᾽*. — *ἠελίοιο* Preller] *ἠελίοιο*. — 4 *Οἳ δ᾽* Abel] *τὰ δ᾽*. —

ὕβριν θ᾽, οἳ κατάγονται ὑπὸ πλάκα Κωκυτοῖο
Τάρταρον ἐς κρυόεντα.

διὰ γὰρ τούτων σαφῶς τὰς Πλατωνικὰς διατάξεις περὶ τῶν ὑπὸ γῆς λήξεων φαίνεται προλαβών, ὥσπερ καὶ τὰς περὶ τῶν μετεμψυχώσεων· εἰ δὲ ταῦτα ἑπόμενος Ὀρφεῖ διατάττει Πλάτων, ἆρ᾽ οὐ γελοῖόν ἐστιν;

155.

Olympiod. ad Plat. Phaedon. c. 60 (ed. Finckh): Ὅτι οἱ παραδιδόμενοι τέσσαρες ποταμοὶ κατὰ τὴν Ὀρφέως παράδοσιν τοῖς ὑπογείοις ἀναλογοῦσι δ᾽ στοιχείοις τε καὶ κέντροις κατὰ δύο ἀντιθέσεις. ὁ μὲν γὰρ Πυριφλεγέθων τῷ πυρὶ καὶ τῇ ἀνατολῇ, ὁ δὲ Κωκυτὸς τῇ γῇ καὶ τῇ δύσει, ὁ δὲ Ἀχέρων ἀέρι τε καὶ μεσημβρίᾳ. τούτους μὲν Ὀρφεὺς οὕτω διέταξεν, αὐτὸς δὲ τὸν Ὠκεανὸν τῷ ὕδατι καὶ τῇ ἄρκτῳ προσοικειοῖ.

156.

Olympiod. ad Plat. Phaedon. c. 61: Ὅτι οἱ τέτταρες ποταμοὶ τὰ τέτταρα στοιχεῖά ἐστι τὰ ἐν τῷ Ταρτάρῳ· ὁ μὲν Ὠκεανός, φησί, τὸ ὕδωρ· ὁ δὲ Κωκυτὸς ἤτοι Στύγιος ἡ γῆ· ὁ δὲ Πυριφλεγέθων τὸ πῦρ· ὁ δὲ Ἀχέρων ὁ ἀήρ· ἀντικεῖσθαι δὲ τῷ μὲν Πυριφλεγέθοντι τὸν Στύγιον ὡς θερμῷ ψυχρόν, τῷ δὲ Ὠκεανῷ τὸν Ἀχέροντα ὡς ὑδραίῳ ἀέριον· διὸ καὶ Ὀρφεὺς τὴν Ἀχερουσίαν λίμνην ἀερίαν καλεῖ.

157.

Servius ad Aen. VI 565: Fertur namque ab Orpheo, quod dii peierantes per Stygem paludem novem annorum spatio puniuntur in Tartaro.

158.

Servius ad Aen. VI 392: Lectum est in Orpheo, quod quando Hercules ad inferos descendit, Charon territus eum statim suscepit, ob quam rem anno integro in compedibus fuit.

5 οἳ Abel] αἵ. — ὑπὸ πλάκα Κωκυτοῖο Preller] ὑποπτωκάτω κυτοιο.

XI. ΚΡΑΤΗΡΕΣ.[1])

Proclus in Plat. Tim. V 316 A: *Ἐπεὶ καὶ ἄλλοι παραδέδονται κρατῆρες ὑπό τε Ὀρφέως καὶ Πλάτωνος. Πλάτων τε γὰρ ἐν Φιλήβῳ τὸν μὲν Ἡφαίστειον κρατῆρα παραδίδωσι, τὸν δὲ Διονυσιακόν, καὶ Ὀρφεὺς οἶδε μὲν καὶ τὸν τοῦ Διονύσου κρατῆρα, πολλοὺς δὲ καὶ ἄλλους ἱδρύει περὶ τὴν ἡλιακὴν τράπεζαν.*[2]) Cf. Macrobius in Somnium Scipionis I 12, 7: Et hoc est quod Plato notavit in Phaedone, animam in corpus trahi nova ebrietate trepidantem, volens novum potum materialis alluvionis intellegi, quo delibuta et gravata deducitur. Archani huius indicium est et Crater Liberi Patris ille sidereus in regione quae inter Cancrum est et Leonem locatus, ebrietatem illic primum descensuris animis evenire silva influente significans: unde et comes ebrietatis oblivio illic animis incipit iam latenter obrepere.

159.

Servius ad Aen. VI 667: Theologus fuit iste (Musaeus) post Orpheum et sunt variae de hoc opiniones: nam eum alii Lini filium, alii Orphei volunt, cuius eum constat fuisse discipulum: nam ad ipsum primum carmen scripsit, quod appellatur Crater.

160. 161. 162.

Joannes Diaconus ad Hes. Theog. 950: *Ὅτι δὲ καλῶς ἡμεῖς ἐξελαβόμεθα τὸν μὲν Ἄρην εἰς τὸν πόλεμον — — — καὶ ἄλλα ἄλλως, μαρτυρεῖ καὶ ἐν τῷ μικροτέρῳ Κρατῆρι ὁ Ὀρφεὺς τάδε λέγων·*

---

[1]) „Nomen carminis Crateres e Platonis Psychogonia sumptum videtur et ab illa duplici temperatione, quarum in una deus omnem animum universae naturae permiscuit, ex altera residua parte mentes delibavit humanas. Hunc *δεύτερον κρατῆρα* vocat Themistius Or. XXVI. 338 cf. VI. 77. D. multisque verbis obumbrat magis quam explanat Proculus in Tim. V 314; nescio quid de Orpheo mussitans p. 316.“ Lobeck I p. 736.

[2]) „Quae sine dubio ad quendam Theogoniae locum spectant. Sed in nostro carmine cocetum quoddam symbolicae interpretationis propositum esse manifestum faciunt versus residui.“ Lobeck I p. 376.

Ἑρμῆς δ' ἑρμηνεὺς τῶν πάντων ἄγγελός ἐστι,
Νύμφαι ὕδωρ, πῦρ Ἥφαιστος, σῖτος Δημήτηρ·
ἡ δὲ θάλασσα Ποσειδάων μέγας ἠδ' Ἐνοσίχθων·
καὶ πόλεμος μὲν Ἄρης, εἰρήνη δ' ἔστ' Ἀφροδίτη.
οἶνος, τὸν φιλέουσι θεοὶ θνητοί τ' ἄνθρωποι,
ὅν τε βροτοῖς εὗρεν λυπῶν κηλήτορα πασῶν
ταυρογενὴς Διόνυσος, ἐυφροσύνην πόρε θνητοῖς
ἡδίστην, πάσῃσί τ' ἐν εἰλαπίνῃσι πάρεστι·
καὶ Θέμις, ἥπερ ἅπασι θεμιστεύει τὰ δίκαια,
Ἥλιος, ὃν καλέουσιν Ἀπόλλωνα κλυτότοξον,
Φοῖβον ἑκηβελέτην, μάντιν πάντων ἑκάεργον,
ἰητῆρα νόσων Ἀσκληπιόν, ἓν τάδε πάντα.

Ὅτι δὲ καὶ ἐκ τῆς Μνημοσύνης αἱ Μοῦσαι γεννῶνται, καὶ ὅτι ὁ Ζεὺς καὶ αἰθὴρ λέγεται, ἄκουε τοῦ εἰρημένου Ὀρφέως·

Ζεὺς δέ τε πάντων ἐστὶ θεὸς πάντων τε κεραστής,
πνεύμασι συρίζων καὶ φωναῖς ἠερομίκτοις.

ἢ γὰρ οὐχὶ δῆλός ἐστι τὸν αἰθέρα καλῶν οὕτω·

Οὕτως ἁρμονίη Μουσῶν, ταῖς τ' ὄργανα πάντα
Μνημοσύνη πάντων πρῶτον πόρεν, οὐκ ἀνεφάνθη,
ἀλλὰ χρόνος λήθῃ κατεχρήσατο καὶ κατέκρυψε.
νῦν δὲ τέχναι τε λόγοι τε νόμοι θ' ὅσα τ' ἔργα τέτυκται
πάντα διὰ μνήμην διασῴζεται ἀνθρώποισιν.

163.

Olympiod. ad Plat. Philebum ed. Stallb. p. 267: Ὅτι εἰσὶ μνῆμαι τοσαίδε· πρώτη μὲν ἡ κατὰ αἴσθησιν· τηρεῖ γάρ πως καὶ ἡ αἴσθησις· δευτέρα δὲ ἡ κατὰ φαντασίαν· τρίτη ἡ κατὰ δόξαν· εἶτα ἡ κατὰ διάνοιαν· εἶτα ἡ κατὰ νοῦν ἐν τοῖς νοεροῖς ἐν τοῖς θείοις· εἶτα ἡ θεὸς αὐτή, ἀφ' ἧς πᾶσα ἡ ἰδιότης ἐπιγίγνεται, εἴτε ἡ παρὰ τῷ Ὀρφεῖ Μνημώ[1]), εἴτε καὶ ἄλλη τις οὖσα τυγχάνει.

Fr. 160, 8 ἐν] ἐπ' Flachii editio.
Fr. 161, 2 καὶ φωναῖς Abel] φωναῖσί τε. — ἠερομ. Hermann] ἀερομ.
Fr. 162, 1 οὕτως Mullach] ταυτὸ καί. — ἁρμονίη Hermann] ἁρμονία. — ταῖς τ' Hermann] τά τε. — οὐκ Mullach] οὔτ'.

[1]) Sic Hermanni codex pro μνήμη.

164.

Joannes Diaconus ad Hes. Theog. v. 617: *Ὁ Ζεὺς τοῦ Διὸς κλίνεται, δηλουμένου πάντως ἡμῖν, ὡς οὗτός τε ζωή ἐστι καὶ δι᾽ αὐτοῦ ζῶσι τὰ ζῶντα καὶ τὰ ὄντα ἁπλῶς δι᾽ αὐτοῦ τὸ εἶναι εἴληχεν. ἄκουε γὰρ τοῦ Ὀρφέως ἐν τῷ λεγομένῳ Κρατῆρι τάδε σοι λέγοντος·*

Ἔστιν δὴ πάντων ἀρχὴ Ζεύς· ζῆν γὰρ ἔδωκε
ζῷά τ᾽ ἐγέννησεν· καὶ Ζῆν᾽ αὐτὸν καλέουσι,
καὶ Δία τ᾽ ἠδ᾽, ὅτι δὴ διὰ τοῦτον ἅπαντα τέτυκται·
εἷς δὲ πατὴρ οὗτος πάντων, θηρῶν τε βροτῶν τε.

Cf. Proclus in Plat. Crat. (Platonem secutus Crat. p. 396 AB) p. 56: *Τὸ μὲν Δία τὴν δι᾽ οὗ αἰτίαν δηλοῖ — — τὸ δὲ Ζῆνα τὴν ζῳογονίαν.*

165.

Diod. Sic. I 12, 4: *Τὴν δὲ γῆν ὥσπερ ἀγγεῖόν τι τῶν φυομένων ὑπολαμβάνοντας μητέρα προσαγορεῦσαι* (*φασί*)· *καὶ τοὺς Ἕλληνας δὲ ταύτην παραπλησίως Δήμητρα καλεῖν, βραχὺ μετατεθείσης διὰ τὸν χρόνον τῆς λέξεως· τὸ γὰρ παλαιὸν ὀνομάζεσθαι γῆν μητέρα, καθάπερ καὶ τὸν Ὀρφέα προσμαρτυρεῖν λέγοντα·*

Γῆ μήτηρ πάντων, Δημήτηρ πλουτοδότειρα.

Cf. Diod. Sic. III 62, 7: *Καθόλου γὰρ ὑπὸ τῶν ἀρχαίων ποιητῶν καὶ μυθογράφων τὴν Δήμητρα γῆν μητέρα προσαγορεύεσθαι.*

166.

Diod. Sic. III 62, 8: *Σύμφωνα δὲ τούτοις* (scil. Cererem terram, Bacchum vinum, eius occisores agricolas esse) *εἶναι τά τε δηλούμενα διὰ τῶν Ὀρφικῶν ποιημάτων καὶ τὰ παρεισαγόμενα κατὰ τὰς τελετάς, περὶ ὧν οὐ θέμις τοῖς ἀμυήτοις ἱστορεῖν τὰ κατὰ μέρος.*

167.

Macrobius Sat. I 18, 12: Orpheus quoque Solem volens intellegi ait inter cetera:

Fr. 164, 1 *ἔστιν δὲ τῶν ἁπάντων* codd. — *ζῆν* Struve] *Ζεύς.*

Τήκων αἰθέρα δῖον ἀκίνητον πρὶν ἐόντα,
ἐξανέφηνε θεοῖς δῶρον κάλλιστον ἰδέσθαι,
ὃν δὴ νῦν καλέουσι Φάνητά τε καὶ Διόνυσον
Εὐβουλῆά τ' ἄνακτα καὶ Ἀνταύγην ἀρίδηλον·
ἄλλοι δ' ἄλλο καλοῦσιν ἐπιχθονίων ἀνθρώπων.
πρῶτος δ' ἐς φάος ἦλθε, Διώνυσος δ' ἐπεκλήθη,
οὕνεκα δινεῖται κατ' ἀπείρονα μακρὸν Ὄλυμπον·
ἀλλαχθεὶς δ' ὄνομ' ἔσχε προσωνυμίας πρὸς ἕκαστον
παντοδαπὰς κατὰ καιρὸν ἀμειβομένοιο χρόνοιο.

Φάνητα dixit Solem *ἀπὸ τοῦ φωτὸς καὶ φανεροῦ*, id est a lumine atque inluminatione, quia cunctis visitur cuncta conspiciens. *Διόνυσος*, ut ipse vates ait, *ἀπὸ τοῦ δινεῖσθαι καὶ περιφέρεσθαι*, id est quod circumferatur in ambitum.

168.

Diod. Sic. I 11, 3: *Εὔμολπος μὲν ἐν τοῖς Βακχικοῖς ἔπεσί φησιν· Ἀστροφαῆ Διόνυσον ἐν ἀκτίνεσσι πυρωπόν. Ὀρφεὺς δέ·*

Τοὔνεκά μιν καλέουσι Φάνητά τε καὶ Διόνυσον.

169.

Macrobius Sat. I 18, 17: Idem versus Orpheici [cf. fragm. 167] *Εὐβουλῆα* vocantes boni consilii hunc deum (Liberum) praestitem monstrant. Nam si conceptu mentis consilia nascuntur, mundi autem mentem solem esse opinantur auctores, a quo in homines manat intellegendi principium, merito boni consilii solem antistitem crediderunt. Solem Liberum esse manifeste pronuntiat Orpheus hoc versu:

Ἥλιος, ὃν Διόνυσον ἐπίκλησιν καλέουσιν.

Et is quidem versus absolutior, ille vero eiusdem vatis operosior: *Εἷς Ζεύς, εἷς Ἀίδης, εἷς Ἥλιος, εἷς Διόνυσος* [cf. fragm. 7].

Fr. 167, 2 *θεοῖσιν* codd. — *δῶρον* Düntzer] *ὁρᾶν*.

XII. ΟΡΚΟΙ.[1])

170.

Iustinus Cohort. c. 15: *Καὶ ἐν τοῖς Ὅρκοις δὲ οὕτως·*

Οὐρανὸν ὁρκίζω σε, θεοῦ μεγάλου σοφὸν ἔργον,
αὐδὴν ὁρκίζω σε πατρός, τὴν φθέγξατο πρῶτον,
ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς.

τί βούλεται τὸ λέγειν αὐτὸν αὐδὴν ὁρκίζω σε πατρός, τὴν φθέγξατο πρῶτον; αὐδὴν ἐνταῦθα τὸν τοῦ θεοῦ ὀνομάζει λόγον, δι' οὗ οὐρανὸς καὶ γῆ καὶ ἡ πᾶσα ἐγένετο κτίσις, ὡς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι τῶν ἁγίων ἀνδρῶν προφητεῖαι, αἷς ἐν μέρει καὶ αὐτὸς ἐν τῇ Αἰγύπτῳ προσσχὼν ἔγνω ὅτι τῷ λόγῳ τοῦ θεοῦ πᾶσα ἐγένετο κτίσις· διὸ καὶ μετὰ τὸ φῆσαι· αὐδὴν ὁρκίζω σε πατρός, τὴν φθέγξατο πρῶτον, παρ' αὐτὰ συνάπτει λέγων· ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς. ἐνταῦθα τὸν λόγον αὐδὴν διὰ τὸ ποιητικὸν ὀνομάζει μέτρον. ὅτι δὲ τοῦθ' οὕτως ἔχει, δῆλον ἀπὸ τοῦ μικρῷ πρόσθεν, τοῦ μέτρου συγχωροῦντος αὐτῷ λόγον αὐτὸν ὀνομάζειν· — ἔφη γάρ· εἰς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε. Cf. Cedrenus Histor. Compend. I p. 37: *Οὕτως εἰπὼν ὁ Ἑρμῆς ηὔξατο· ὁρκίζω σε, οὐρανοῦ μεγάλου ἐργάτα, ὁρκίζω σε, φωνὴ πατρός, ἣν ἐφθέγξατο πρώτην τὸν μονογενῆ λόγον αὐτοῦ, ἵλεως ἔσο. τῶν φωνῶν τούτων καὶ ὁ ἱερὸς Κύριλλος ἐμνήσθη εἰπὼν ὅτι καὶ ὁ τρισμέγιστος Ἑρμῆς τριάδα ὡμολόγει.*

171.

Theo Smyrnaeus, Expos. rerum mathemat. ad legendum Platonem utilium p. 105: *Ἡ δὲ ὀγδοάς, ἥτις ἐστὶ πρῶτος κύβος, συντίθεται ἔκ τε μονάδος καὶ ἑπτάδος. ἔνιοι δέ φασιν ὀκτὼ τοὺς πάντων κρατοῦντας εἶναι θεούς, ὡς καὶ ἐν τοῖς Ὀρφικοῖς Ὅρκοις ἐστὶν εὑρεῖν·*

---

[1]) Cf. Lobeck p. 744: „Neque admonitione opus videtur Orphicos versus a Theone recitatos iuramento Pythagorico *Ναὶ μὰ τὸν ἁμετέρᾳ* aliquatenus similes, sed ab exorcismo Iustiniano plane diversos esse, utrumque autem locum non inter carmina Orphei, sed inter carminum particulas referri debere."

Ναὶ μὴν ἀθανάτων γεννήτορας αἰὲν ἐόντων,
πῦρ καὶ ὕδωρ, γαῖάν τε καὶ οὐρανὸν ἠδὲ σελήνην
ἠέλιόν τε Φανῆ τε μέγαν καὶ νύκτα μέλαιναν.

ἐν δὲ Αἰγυπτιακῇ στήλῃ φησὶν Εὔανδρος εὑρίσκεσθαι γραφὴν βασιλέως Κρόνου καὶ βασιλίσσης Ῥέας. Cf. Zenobius V 78: *Εὔανδρος ἔφη ὀκτὼ τοὺς πάντων εἶναι κρατοῦντας θεούς, πῦρ, ὕδωρ, γῆν, οὐρανόν, σελήνην, Μίθραν, νύκτα* (cf. Porphyrius de antro nymph. 24: *Δημιουργὸς ὢν ὁ Μίθρας.* Proclus in Plat. Tim. II 93 E: *Ὁ μάλιστα παρ᾽ αὐτῷ δημιουργὸς ὁ Φάνης ἐστίν*).

VIII. *ΠΕΡΙ ΦΥΤΩΝ, ΒΟΤΑΝΩΝ, ΦΑΡΜΑΚΩΝ.*

172.

Apuleius Apol. 30: At tu piscium insimulator longe diversa instrumenta magis attribuis, non frontibus teneris detergenda, sed dorsis squalentibus exscindenda, nec fundo revellenda, sed profundo extrahenda, nec falcibus metenda, sed hamis inuncanda. Postremo in maleficio ille venenum nominat, tu pulmentum, ille herbas et surculos, tu squamas et ossa, ille pratum decerpit, tu fluctum scrutaris. Memorassem tibi etiam Theocriti paria et alia Homeri et Orphei plurima, et ex comoediis et tragoediis Graecis et ex historiis multa repetissem.

173.

Alexander Trallianus medicamentum epilepticorum commendat I 15 (I p. 565 ed. Puschmann): *ἐκ τῶν παρακειμένων ἐν τοῖς Στράτωνος, λέγει δὲ Ὀρφέως εἶναι.*

174.

Galenus de Antid. II 7. 909 B. T. XIII: *Ἐκτίθεσθαι δὲ τὰς τούτων (τῶν θανασίμων) σκευασίας μοχθηρόν μοι δοκεῖ, καίπερ πολλῶν ἐπιχειρησάντων ταῖς τοιούτων συγγραφαῖς, ὧν ἐστιν*

Fr. 171, 2 *ἠδέ* Bullialdus] *ἢ δέ*.

Ὀρφεὺς ὁ ἐπικληθεὶς θεολόγος καὶ Ὧρος ὁ Μενδήσιος ὁ νεώτερος καὶ Ἡλιόδωρος ὁ Ἀθηναῖος τραγῳδιῶν ποιητὴς καὶ Ἄρατος καὶ ἄλλοι τινὲς τῶν τοιούτων συγγραφεῖς. τούτους μὲν οὖν ἄν τις θαυμάσειεν ἐμμέτρως ἐπιχειρήσαντας ταῖς περὶ τούτων σκευασίαις, μέμψαιτο δ᾽ ἂν εὐλόγως διὰ τὰ πράγματα.

175.

Plinius Nat. Hist. XXVIII 34: Sic et sagittas corpori eductas, si terram non attigerint, subiectas cubantibus amatorium esse Orpheus et Archelaus scribunt, quin et comitiales morbos sanari cibo e carne ferae occisae eodem ferro quo homo interfectus sit.

176.

Plinius Nat. Hist. XXVIII 43: Sanguine ipsius hominis ex quacumque parte emisso efficacissime anginam inlini tradunt Orpheus et Archelaus, item ora comitiali morbo conlapsorum: exurgere enim protinus.

177.

Plinius in indice libri XXVIII ex „Orpheo qui *ἰδιοφυῆ* scripsit", et „Archelao, qui item" se nonnulla hausisse profitetur de medicinis ex animalibus.

178.

Plinius Nat. Hist. XXV 12: Primus autem omnium, quos memoria novit, Orpheus de herbis curiosius aliqua prodidit, post eum Musaeus et Hesiodus polium herbam in quantum mirati sint diximus, Orpheus et Hesiodus suffitiones commendavere. Homerus et alias nominatim herbas celebrat, quas suis locis dicemus. Ab eo Pythagoras clarus sapientia primus volumen de effectu earum composuit.

179.

Plinius Nat. Hist. XX 32: Orpheus amatorium inesse staphylino dixit, fortassis quoniam venerem stimulari hoc cibo certum est.

180.

Aëtius I 6, f. 10ᵇ, v. 12 sqq. ed. Venetae: *Ὀρφεὺς δέ φησι· δίδου τοῖς αἱμοπτοϊκοῖς τοῦ χυλοῦ τῆς ἐλελισφάκου κοκκία β' μετὰ μέλιτος. Γο. ᾱ. νῆστις πιεῖν· καὶ εὐθέως σταθήσεται, τοῖς δὲ φθισικοῖς, φησίν, κατασκεύαζε καταπότια οὕτως· ναρδοστάχυος < β', ζιγγιβέρεως < β', σπέρματος ἐλελισφάκου πεφωσμένου, κεκομμένου καὶ σεσησμένου < ιδ', πεπέρεως < ιβ'. ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια καὶ δίδου < α' πρωὶ καὶ νήστει καὶ εἰς κοίτην ὁμοίως καὶ ἐπιπροχείτω ὕδατος καθαροῦ.*

181.

Aëtius I 10, f. 12ᵇ, v. 2 sqq. ed. Venetae: *Ὀρφεὺς δέ φησιν, ὅτι ὁ χυλὸς αὐτῆς (τῆς καλαμίνθης) σὺν ἴσῳ ῥοδίνῳ μετὰ ψιμυθίου λειωθεὶς ὡς γλοιοῦ ἔχει πάχος καὶ ἐπιχριόμενος τὰ πυρίκαυτα θεραπεύει.*

XIV. *ΣΦΑΙΡΑ.*

182.

Schol. Ven. ad Hom. Il. XVIII. 570: *Ἥ τε καλουμένη σφαῖρα ποίημά ἐστιν εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα.* Cf. Eustathius ad. h. l. p. 1163: *Λίνος δὲ εἶδος ᾠδῆς κατὰ Ἀρίσταρχον ἢ ὕμνου, ὡς καὶ ὁ παιὰν καὶ ὁ διθύραμβος. ὠνόμασται δὲ Λίνος τὸ τοιοῦτον ᾠδικὸν εἶδος ἢ ὡς μετὰ λίνου ἤτοι χορδῆς ᾀδόμενος ἢ ἀπό τινος Λίνου, ἀνδρὸς ἥρωος· φασὶ γὰρ οἱ παλαιοὶ ποιημάτιόν τι ἐπὶ τῷ Λίνῳ εἶναι, ὃ σφαῖρα μὲν καλεῖται, εἰς Ὀρφέα δὲ ἀναφέρεται.*

XV. *ΣΩΤΗΡΙΑ.*[1]

183.

Proclus in Plat. Tim. I 36 E: *Διὸ καὶ παρὰ τῷ Ὀρφεῖ τὰ καθάρσια κομίζειν ὁ Ζεὺς ἀπὸ τῆς Κρήτης παρακελεύεται· τὴν γὰρ Κρήτην ἀντὶ τοῦ νοητοῦ τάττειν εἰώθασιν οἱ θεολόγοι.*

XVI. *ΤΕΛΕΤΑΙ.*

1. *Διονύσου ἀφανισμός.*[2]

Cf. Nonnus Dionys. VI 155 sqq.:

Παρθένε Περσεφόνεια, σὺ δ' οὐ γάμον εὗρες ἀλύξαι,
ἀλλὰ δρακοντείοισιν ἐνυμφεύθης ὑμεναίοις,
Ζεὺς ὅτε πουλυέλικτος ἀμειβομένοιο προσώπου
νυμφίος ἱμερόεντι δράκων κυκλούμενος ὁλκῷ
εἰς μυχὸν ὀρφναίοιο διέστιχε παρθενεῶνος,
σείων δαυλὰ γένεια· παρισταμένων δὲ θυρέτρῳ
εὔνασεν ἰσοτύπων πεφορημένος ὄμμα δρακόντων
— — — — — — — — — — — — — —
καὶ γαμίαις γενύεσσι δέμας λιχμάζετο κούρης
μείλιχος. αἰθερίων δὲ δρακοντείων ὑμεναίων (164)
Περσεφόνης γονόεντι τόκῳ κυμαίνετο γαστήρ, (163)
Ζαγρέα γειναμένη κερόεν βρέφος, ὃς Διὸς ἕδρης
μοῦνος ἐπουρανίης ἐπεβήσατο, χειρὶ δὲ βαιῇ
ἀστεροπὴν ἐλέλιζε· νεηγενέος δὲ φορῆος

---

[1] Cf. Lobeck I p. 383: „Hesychius *Σωτήρια* interpretatur *σῶστρα*, quod utroque nomine donaria et sacrificia dicuntur. — Quaeritur, an non similius fuerit Empedoclis *Καθαρμοῖς* neque tam corporum quam animorum medicinam et remedia, quibus a vitiis consanescant, tradiderit carminis auctor."

[2] Cf. Suidas: *Τελεταί· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου.* Pausanias VIII 37, 5: *Παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα Διονύσῳ τε συνέθηκεν ὄργια καὶ εἶναι τοὺς Τιτᾶνας τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν αὐτουργούς.* Diod. Sic. V 75, 4: *Τοῦτον δὲ τὸν θεὸν* (Zagreum) *γεγονέναι φασὶν ἐκ Διὸς καὶ Περσεφόνης κατὰ τὴν Κρήτην, ὃν Ὀρφεὺς κατὰ τὰς τελετὰς παρέδωκε διασπώμενον ὑπὸ τῶν Τιτάνων.*

νηπιάχοις παλάμῃσιν ἐλαφρίζοντο κεραυνοί.
οὐδὲ Διὸς θρόνον εἶχεν ἐπὶ χρόνον· ἀλλά ἑ γύψῳ
κερδαλέῃ χρισθέντες ἐπίκλοπα κύκλα προσώπου
δαίμονος ἀστόργοιο χόλῳ βαρυμήνιος Ἥρης
Ταρταρίῃ Τιτῆνες ἐδηλήσαντο μαχαίρῃ
ἀντιτύπῳ νόθον εἶδος ὀπιπεύοντα κατόπτρῳ.
ἔνθα διχαζομένων μελέων Τιτῆνι σιδήρῳ
τέρμα βίου Διόνυσος ἔχων παλινάγρετον ἀρχὴν
ἀλλοφυὴς μορφοῦτο πολυσπερὲς εἶδος ἀμείβων,
πῇ μὲν ἅτε Κρονίδης δόλιος νέος αἰγίδα σείων,
πῇ δὲ γέρων βαρύγουνος ἅτε Κρόνος ὄμβρον ἰάλλων·
ἄλλοτε ποικιλόμορφον ἔην βρέφος, ἄλλοτε κούρῳ
εἴκελος οἰστρηθέντι, νέον δέ οἱ ἄνθος ἰούλων
ἀκροκελαινιόωντα κατέγραφε κύκλα προσώπου·
πῇ δὲ χόλῳ δασπλῆτι λέων μιμηλὸς ἰάλλων
φρικαλέον βρύχημα σεσηρότι μαίνετο λαιμῷ,
ὀρθώσας πυκινῇσι κατάσκιον αὐχένα χαίταις,
ἀμφελελιζομένης λασιότριχος ὑψόθι νώτου
αὐτομάτῃ μάστιγι περιστίζων δέμας οὐρῆς·
εἶτα λεοντείοιο λιπὼν ἴνδαλμα προσώπου
ὑψιλόφῳ χρεμετισμὸν ὁμοίιον ἔβρεμεν ἵππῳ
ἄζυγι, γαῦρον ὀδόντα μετοχλίζοντι χαλινοῦ,
καὶ πολιῷ λεύκαινε περιτρίβων γένυν ἀφρῷ·
ἄλλοτε ῥοιζήεντα χέων συριγμὸν ὑπήνης
ἀμφιλαφὴς φολίδεσσι δράκων ἐλέλικτο κεραστής,
γλῶσσαν ἔχων προβλῆτα κεχηνότος ἀνθερεῶνος,
καὶ βλοσυρῷ Τιτῆνος ἐπεσκίρτησε καρήνῳ
ὅρμον ἐχιδνήεντα περίπλοκον αὐχένι δήσας·
καὶ δέμας ἑρπηστῆρος ἀειδίνητον ἐάσας
τίγρις ἔην στίξας δέμας αἰόλον· ἄλλοτε ταύρῳ
ἰσοφυής, στομάτων δὲ νόθον μυκηθμὸν ἰάλλων
θηγαλέῃ Τιτῆνας ἀνεστυφέλιξε κεραίῃ.
καὶ ψυχῆς προμάχιζεν, ἕως ζηλήμονι λαιμῷ
τρηχαλέον μύκημα δι᾽ ἠέρος ἔβρεμεν Ἥρη
μητρυιὴ βαρύμηνις, ἰσόφθογγοι δὲ θεαίνῃ

αἰθέριον κελάδημα πύλαι κανάχιζον Ὀλύμπου·
καὶ θρασὺς ὤκλασε ταῦρος· ἀμοιβαίη δὲ φονῆες
ταυροφυῆ Διόνυσον ἐμιστύλλοντο μαχαίρῃ.
Ζεὺς δὲ πατήρ, προτέροιο δαϊζομένου Διονύσου,
γινώσκων σκιόεντα τύπον δολίοιο κατόπτρου
μητέρα Τιτήνων ἐλάσας ποινήτορι πυρσῷ
Ζαγρέος εὐκεράοιο κατεκλήισσε φονῆας
Ταρταρίῳ πυλεῶνι· καὶ αἰθομένων ἀπὸ δένδρων
θερμὰ βαρυνομένης ἐμαραίνετο βόστρυχα γαίης.
ἀντολίην δ' ἔφλεξε, καὶ αἰθαλόεντι βελέμνῳ
καίετο Βάκτριον οὖδας ἑώιον, ἀγχιπόροις δὲ
κύμασιν Ἀσσυρίοισιν ἐδαίετο Κάσπιον ὕδωρ
Ἰνδῷοί τε τένοντες, Ἐρυθραίοιο δὲ κόλπου
ἐν πυρὶ κυμαίνοντος Ἄραψ θερμαίνετο νηρεύς·
καὶ δύσιν ἀντικέλευθον ἑῷ πρήνιξε κεραυνῷ
Ζεὺς πυρόεις φιλότεκνος, ὑπὸ Ζεφύροιο δὲ ταρσῷ
ἡμιδαὴς σέλας ὑγρὸν ἀπέπτυεν ἑσπερὶς ἅλμη
— — — — — — — — — — — — — — —
Ἀρκτῷοί τε τένοντες, ὁμοφλεγέος δὲ καὶ αὐτῆς
πηγνυμένης πάφλαζε Βορήια νῶτα θαλάσσης·
καὶ Νοτίου φλογόεσσαν ὑπὸ κλίσιν αἰγοκερῆος
θερμοτέρῳ σπινθῆρι μεσημβρινὸς ἔζεεν ἀγκών.
καὶ διεροῖς βλεφάροις ποταμήια δάκρυα λείβων
Ὠκεανὸς λιτάνευε χέων ἱκετήσιον ὕδωρ.
Ζεὺς δὲ χόλον πρήυνε, μαραινομένην δὲ κεραυνῷ
γαῖαν ἰδὼν ἐλέαιρε, καὶ ἤθελεν ὕδατι νίψαι
λύματα τεφρήεντα καὶ ἔμπυρον ἕλκος ἀρούρης.
καὶ τότε γαῖαν ἅπασαν ἐπέκλυσεν ὑέτιος Ζεύς . . .

Nonnus Dionys. X 293 sqq.:

Νηπιάχῳ μὲν ἔειπεν ἐμὴ τροφὸς εἰσέτι Ῥείη,
ὡς στεροπὴν Ζαγρῆι πόρες, προτέρῳ Διονύσῳ
εἰσέτι παππάζοντι τεὴν πυρόεσσαν ἀκωκὴν
καὶ βροντῆς κελάδημα καὶ ἠερίου χύσιν ὄμβρου,
καὶ πέλε δεύτερος ἄλλος ἔτι βρέφος ὑέτιος Ζεύς.

Nonnus Dionys. XXIV 44 sqq.:

Ἄλλον ἐγὼ (Hydaspes ait) *Διόνυσον ἐμοῖς φαίδρυνα λοετροῖς*
ὁπλοτέρου Βρομίοιο φερώνυμον, εὖτε Κρονίων
Ζαγρέα παιδοκόμοισιν ἐμαῖς παρεκάτθετο Νύμφαις.
καὶ σὺ φέρεις Ζαγρῆος ὅλον δέμας· ἀλλὰ σὺ κείνῳ
δὸς χάριν ὀψιτέλεστον, ὅθεν πέλες· ἀρχεγόνου γὰρ
ἐκ κραδίης ἀνέτελλες ἀειδομένου Διονύσου.

184.

Proclus in Plat. Polit. p. 353: *Καὶ τοῦ Θρᾳκὸς θεολόγου μετὰ τῶν πολλῶν τῆς Σελήνης ὀνομάτων καὶ τὴν Βένδιν εἰς τὴν θεὸν* (*Περσεφόνην*) *ἀναπέμποντος·*

Πλουτώνη τε καὶ Εὐφροσύνη Βένδις τε κραταιή.

185.

Proclus in Plat. Tim. II 139 B: *Καὶ γὰρ ὁ θεολόγος τὴν Κόρην μουνογένειαν εἴωθε προσαγορεύειν ὡς τῶν ἐγκοσμίων ἁπάντων ἡγεμονικῶς προϊσταμένην καὶ τῶν μονογενῶν ζῴων αἰτίαν· τὰς γὰρ μὴ μονογενεῖς ἡ μετ᾽ αὐτὴν ὑφίστησι θεός, ἀλόγους οὔσας· μονογενῆ δ᾽ οὖν καλεῖ καὶ ἐκεῖνος διὰ ταῦτα τὴν Κόρην, καίτοι καὶ ἄλλην θεότητα παραγαγὼν ἀπὸ τῶν αὐτῶν αἰτίων τῇ Κόρῃ.*

186.

Proclus in Plat. Crat. p. 90: *Ὅθεν καὶ ὁ θεολόγος τοὺς μὲν ἄκρους* (Iovem et Plutonem) *μετὰ τῆς Κόρης φησὶ τά τε πρῶτα καὶ τὰ ἔσχατα δημιουργεῖν, τὸν δὲ μέσον καὶ ἄνευ ἐκείνης ἀπὸ τοῦ σφετέρου κλήρου τὴν γεννητικὴν αἰτίαν συντάξαντα· διὸ καί φασι τὴν Κόρην ὑπὸ μὲν τοῦ Διὸς βιάζεσθαι, ὑπὸ δὲ τοῦ Πλούτωνος ἁρπάζεσθαι.*

187.

Proclus Plat. Theol. VI 11, 371: *Διττῆς δὲ οὔσης τῆς Κορικῆς τάξεως καὶ τῆς μὲν ὑπὲρ τὸν κόσμον προφαινομένης, ὅθι δὴ καὶ συντάττεται τῷ Διὶ καὶ μετ᾽ ἐκείνου τὸν ἕνα δημιουργὸν ὑφίστησι τῶν μεριστῶν* (Dionysum)*· τῆς δὲ ἐν τῷ κόσμῳ δευτέρας, ἣ δὴ καὶ ὑπὸ τοῦ Πλούτωνος ἁρπάζεσθαι*

λέγεται καὶ ψυχοῦν τὰ ἔσχατα τοῦ παντός, ὧν ὁ Πλούτων ἐπετρόπευεν, ἀμφοτέρας ὁ Πλάτων ἡμῖν τελέως ἐξέφηνε, τοτὲ μὲν τῇ Δήμητρι τὴν Κόρην συνάπτων τοτὲ δὲ τῷ Πλούτωνι καὶ σύζυγον αὐτὴν ἀποφαίνων τοῦδε τοῦ θεοῦ.

188.

Clemens Alex. Strom. VI p. 266: *Εὕροις δ' ἂν καὶ Ὅμηρον, τὸν μέγαν ποιητήν, ἐκεῖνα τὰ ἔπη*

Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης

καὶ τὰ ἑξῆς[1]) *κατὰ λέξιν μετενηνοχότα παρ' Ὀρφέως ἐκ τοῦ Διονύσου ἀφανισμοῦ· ἔν τε τῇ Θεογονίᾳ ἐπὶ τοῦ Κρόνου Ὀρφεῖ πεποίηται ...*

189.

Tzetzes Exeg. in Hom. Il. p. 26:

Ἕκτον ἔτος, τὸ μὲν οὔτις ἐπεφράσατ' οὐδ' ἐνόησεν.

190.

Proclus in Plat. Crat. p. 59: *Καὶ ὁ Διόνυσος τελευταῖος θεῶν βασιλεὺς παρὰ τοῦ Διός· ὁ γὰρ πατὴρ ἱδρύει τε αὐτὸν ἐν τῷ βασιλείῳ θρόνῳ καὶ ἐγχειρίζει τὸ σκῆπτρον καὶ βασιλέα ποιεῖ τῶν ἐγκοσμίων ἁπάντων θεῶν·*

Κλῦτε θεοί, τόνδ' ὕμμιν ἐγὼ βασιλῆα τίθημι,

λέγει πρὸς τοὺς νέους θεοὺς ὁ Ζεύς.

191.

Proclus in Plat. Tim. V 334 D: *Τὸν γὰρ Διόνυσον οἱ θεολόγοι ταύτῃ τῇ προσηγορίᾳ (νέος θεός) κεκλήκασιν, ὁ δέ ἐστι πάσης τῆς δευτέρας δημιουργίας μονάς· ὁ γὰρ Ζεὺς βασιλέα τίθησιν αὐτὸν ἁπάντων τῶν ἐγκοσμίων θεῶν καὶ πρωτίστας αὐτῷ νέμει τιμὰς*

---

[1]) Sunt vero hi (Il. XVII. 54—56):

χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
καλόν, τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ.

Fr. 189,1 *ἐπεφράσατ'* Mullach] *ἐπέφρασεν.*

Καίπερ ἐόντι νέῳ καὶ νηπίῳ εἰλαπιναστῇ.

Cf. Proclus in Plat. Parmen. I p. 91: *Καὶ γὰρ αὐτὸν τὸν Δία καὶ τὸν Διόνυσον παῖδας καὶ νέους ἡ θεολογία καλεῖ· καίπερ ὄντε νέω, φησὶν Ὀρφεύς.* Proclus in Plat. Tim. V 313 B *Ἐν τοῖς νέοις ἄρα θεοῖς καὶ τὴν ἐξ ἀρχῆς δημιουργίαν τῶν θνητῶν καὶ τὴν τῆς παλιγγενεσίας αἰτίαν ὁ δημιουργὸς ἐνέθηκεν, ὥσπερ ἁπάντων τῶν ἐγκοσμίων ἐν τῇ μονάδι τῶν νέων θεῶν, ἣν καὶ αὐτὴν νέον θεὸν προσηγόρευσεν Ὀρφεύς.*

192.

Proclus in Plat. Tim. V 336 A: *Ὃ γὰρ εἶπε περὶ τῆς μονάδος τῶν νέων θεῶν ὁ Ὀρφεύς·*

Κραῖνε μὲν οὖν Ζεὺς πάντα πατήρ, Βάκχος δ' ἐπέκραινε,

τοῦτο καὶ περὶ τῶν νέων θεῶν ῥητέον, ὅτι δὴ τὴν δημιουργίαν ἐπιτελοῦσι τοῦ πατρός, ἣν ἐκεῖνος αὐτῷ τῷ νοεῖν ὑπέστησεν.

193.

Proclus in Plat. Alcib. p. 83: *Ὀρφεὺς ἐφίστησι τῷ βασιλεῖ Διονύσῳ τὴν μονάδα τὴν Ἀπολλωνιακὴν ἀποτρέπουσαν αὐτὸν τῆς εἰς τὸ Τιτανικὸν πλῆθος προόδου καὶ τῆς ἐξαναστάσεως τοῦ βασιλείου θρόνου καὶ φρουροῦσαν αὐτὸν ἄχραντον ἐν τῇ ἑνώσει.*

194.

Proclus Theol. Plat. V 35, 322: *Τίς γὰρ οὐκ οἶδε τῶν καὶ σμικρὰ τῆς Ἑλληνικῆς θεοσοφίας ἀκηκοότων ἔν τε ταῖς ἀρρήτοις αὐτῶν τελεταῖς καὶ ταῖς ἄλλαις περὶ τῶν θεῶν πραγματείαις τὴν τῶν Κουρήτων τάξιν παρ' αὐτοῖς διαφερόντως ὑμνουμένην ὡς τῆς ἀχράντου προεστῶσαν ἰδιότητος τῆς θεᾶς ἡγεμονεῦσαν καὶ τὴν φρουρὰν τῶν ὅλων εἰς αὐτὴν ἀναδησαμένην; αὐτοὶ γοῦν οἱ θεοὶ τὴν Ῥέαν λέγονται φρουρεῖν καὶ τὸν τῶν ὅλων δημιουργόν, καὶ μέχρι τῶν αἰτίων τῆς μεριστῆς ζῳογονίας τε καὶ δημιουργίας προϊόντες τήν τε Κόρην ἐν ἐκείνοις καὶ τὸν Διόνυσον ἐξῃρημένους τῶν δευτέρων φυλάττειν, ὥσπερ ἐνταῦθα τὰς τῆς ὅλης ζωῆς ζῳογονίας καὶ τῆς παντελοῦς δημιουργίας πρωτουργοὺς*

ἀνέχουσι μονάδας. ταύτην δὴ οὖν τὴν Κουρητικὴν τάξιν οὐ μόνον Ὀρφεὺς καὶ οἱ πρὸ τοῦ Πλάτωνος ἔγνωσαν θεολόγοι καὶ γνόντες ἐθρήσκευσαν …

195.

Proclus in Plat. Tim. III 163 F: *Πάλαι δὲ καὶ τοῖς θεολόγοις τὸ ἔσοπτρον ἐπιτηδειότητος παρείληπται σύμβολον πρὸς τὴν νοερὰν ἀποπλήρωσιν τοῦ παντός· διὸ καὶ τὸν Ἥφαιστον ἔσοπτρόν φασι ποιῆσαι τῷ Διονύσῳ, εἰς ὃ ἐμβλέψας ὁ θεὸς καὶ εἴδωλον αὑτοῦ θεασάμενος προῆλθεν εἰς ὅλην τὴν μεριστὴν δημιουργίαν.*

196.

Clemens Alex. Cohort. p. 5: *Τὰ γὰρ Διονύσου μυστήρια τέλεον ἀπάνθρωπα, ὃν εἰσέτι παῖδα ὄντα, ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων, δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν, οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς φησιν ὁ Θρᾴκιος·*

Κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια
μῆλά τε χρύσεα καλὰ παρ᾽ Ἑσπερίδων λιγυφώνων.

καὶ τῆσδε ὑμῖν τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα οὐκ ἀχρεῖον εἰς κατάγνωσιν παραθέσθαι· ἀστράγαλος, σφαῖρα, στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος. Cf. Arnobius adv. nationes V 19: Sed et illa desistimus Bacchanalia altera praedicare, in quibus arcana et tacenda res proditur insinuaturque sacratis, ut occupatus puerilibus ludicris distractus ab Titanis Liber sit, ut ab isdem membratim sectus atque in ollulas coniectus ut coqueretur, quemadmodum Iuppiter suavitate odoris inlectus, invocatus advolarit ad prandium conpertaque re gravi grassatores obruerit fulmine atque in imas Tartari praecipitaverit sedes. Cuius rei testimonium argumentumque fortunae suis prodidit in carminibus Thracius talos, speculum, turbines, volubiles rotulas et teretis pilas et virginibus aurea sumpta ab Hesperidibus mala.

197.

Proclus in Plat. Tim. V 291 B: *Αὐτὸς δὲ ὁ μέγιστος Κρόνος οὐχὶ καὶ πρὸ τοῦ Διὸς τέτακται καὶ μετὰ τὴν Δίιον βασιλείαν μετὰ τῶν ἄλλων Τιτάνων τὴν Διονυσιακὴν μερίζων δημιουργίαν;*

198. 199.

Proclus in Plat. Tim. III 184 D: *Ἀλλὰ τὰ μὲν ἄλλα δημιουργήματα αὐτοῦ πάντα μεμερίσθαι φησὶν ὑπὸ τῶν διαιρετικῶν θεῶν, μόνην δὲ τὴν καρδίαν ἀμέριστον εἶναι προνοίᾳ τῆς Ἀθηνᾶς. ἐπειδὴ γὰρ ὑφίστησι μὲν καὶ νοῦς καὶ ψυχὰς καὶ σώματα, ἀλλὰ ψυχαὶ μὲν καὶ σώματα δέχονται πολλὴν τὴν πρὸς ἑαυτὰ διαίρεσιν καὶ τὸν μερισμόν, νοῦς δὲ ἡνωμένος μένει καὶ ἀδιαίρετος ἐν ἑνὶ τὰ πάντα ὢν καὶ μιᾷ νοήσει τὰ ὅλα τὰ νοητὰ περιέχων, μόνην τὴν νοερὰν οὐσίαν καὶ τὸν νοερὸν ἀριθμὸν ἀπολελεῖφθαί φησιν ὑπὸ τῆς Ἀθηνᾶς σεσωσμένον. μόνην γὰρ κραδίην νοερὴν λεῖπον,*[1] *φησίν, ἄντικρυς νοερὰν αὐτὴν προσαγορεύων. εἰ τοίνυν ἡ ἀμέριστος καρδία νοερά ἐστι, νοῦς ἂν εἴη δηλαδὴ καὶ νοερὸς ἀριθμός, οὐ μέντοι πᾶς νοῦς, ἀλλ' ὁ ἐγκόσμιος· οὗτος γάρ ἐστιν ἡ καρδία ἡ ἀμέριστος, ἐπειδὴ καὶ τούτου δημιουργὸς ἦν ὁ μεριζόμενος θεός. τὸν μὲν δὴ νοῦν ἀμέριστον οὐσίαν τοῦ Διονύσου καλεῖ, τὸ δὲ γόνιμον αὐτοῦ τὴν μεριστὴν αὐτὴν περὶ τὸ σῶμα ζωὴν φυσικὴν οὖσαν καὶ σπερμάτων οἰστικήν, ἣν καὶ τὴν Ἄρτεμίν φησι τῆς πάσης προεστῶσαν τῆς ἐν τῇ φύσει γεννήσεως καὶ μαιευομένην τοὺς φυσικοὺς λόγους ἄνωθεν διατείνειν ἄχρι τῶν ὑποχθονίων, δυναμοῦσαν αὐτῆς τὴν γόνιμον δύναμιν, τὸ δὲ λοιπὸν τοῦ θεοῦ σῶμα πᾶν, τὴν ψυχικὴν σύστασιν, εἰς ἑπτὰ καὶ τοῦτο διῃρημένον·*

Ἑπτὰ δὲ πάντα μέλη κούρου διεμοιρήσαντο,

φησὶν ὁ θεολόγος περὶ τῶν Τιτάνων· καθάπερ καὶ ὁ Τίμαιος εἰς ἑπτὰ διαιρεῖ μοίρας αὐτήν. καὶ τάχα ἂν τὸ διὰ παντὸς τοῦ κόσμου τεταμένην εἶναι τὴν ψυχὴν τοῦ Τιτανικοῦ μερισμοῦ τοὺς Ὀρφικοὺς ἀναμιμνήσκοι, δι' ὃν οὐ μόνον ἡ ψυχὴ περικαλύπτοι

---

[1]) Veram lectionem *μούνην γὰρ νοερὴν κραδίην λίπον* fuisse putat Lobeck.

τὸ πᾶν, ἀλλὰ καὶ τέταται δι᾿ αὐτοῦ παντός. εἰκότως οὖν καὶ ὁ Πλάτων ἀμέριστον οὐσίαν ἀπεκάλεσε τὴν προσεχῶς ὑπὲρ ψυχὴν καὶ ὡς συντόμως εἰπεῖν τὸν μεθεκτὸν ὑπὸ ψυχῆς νοῦν, τοῖς Ὀρφικοῖς ἑπόμενος μύθοις καὶ οἷον ἐξηγητὴς τῶν ἐν ἀπορρήτοις λεγομένων εἶναι βουλόμενος.

200.

Clemens Alex. Cohort. p. 5: *Ἀθηνᾶ μὲν οὖν τὴν καρδίαν τοῦ Διονύσου ὑφελομένη Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη· οἱ δὲ Τιτᾶνες, οἱ καὶ διασπάσαντες αὐτόν, λέβητά τινα τρίποδι ἐπιθέντες καὶ τοῦ Διονύσου ἐμβάλλοντες τὰ μέλη καθήψουν πρότερον· ἔπειτα ὀβελίσκοις περιπείραντες ὑπείρεχον Ἡφαίστοιο.*[1] *Ζεὺς δὲ ὕστερον ἐπιφανείς, εἰ θεὸς ἦν, τάχα που τῆς κνίσσης τῶν ὀπτωμένων κρεῶν μεταλαβών, ἧς δὴ τὸ γέρας λαχεῖν ὁμολογοῦσιν ὑμῶν οἱ θεοί, κεραυνῷ τοὺς Τιτᾶνας αἰκίζεται καὶ τὰ μέλη τοῦ Διονύσου Ἀπόλλωνι τῷ παιδὶ παρακατατίθεται θάψαι. ὁ δέ, οὐ γὰρ ἠπείθησε Διί, εἰς τὸν Παρνασσὸν φέρων κατατίθεται διεσπασμένον τοῦτον τὸν νεκρόν.* Cf. Firmicus Maternus de errore profan. relig. c. 6: Liber itaque Iovis fuit filius, regis scilicet Cretici. Hic cum fuisset adultera matre progenitus, nutriebatur aput patrem studiosius quam decebat. Uxor Iovis, cui Iunoni fuit nomen, novercalis animi furore commota ad necem infantis omnifarias parabat insidias. Proficiscens peregre pater, quia indignationes tacitas sciebat uxoris, ne quid ab irata muliere dolo fieret, idoneis, sicut sibi videbatur, custodibus tutelam credidit filii. Tunc Iuno opportunum insidiarum nacta tempus et ex hoc fortius inflammata, quia proficiscens pater et sellam regni puero tradiderat et sceptrum, custodes primum regalibus praemiis muneribusque corrupit, deinde satellites suos, qui Titanes vocabantur, in interioribus regiae locat partibus et crepundiis ac speculo affabre facto animos ita pueriles

[1] *ὑπείρεχον Ἡφαίστοιο* legitur etiam Il. B. 426.

inlexit, ut desertis regiis sedibus ad insidiarum locum puerilis animi desiderio duceretur. Illic interceptus trucidatur et ut nullum posset necis inveniri vestigium, articulatim membra concisa satellitum sibi dividit turba. Tunc ut huic facinori aliud facinus adderetur, quia vehementer tyranni crudelitas timebatur, decocta variis generibus pueri membra consumunt, ut humani cadaveris inauditis usque in illum diem epulis vescerentur. Cor divisum sibi soror servat, cui Minerva fuit nomen, quae et ipsa sceleris fuit particeps, et ut manifestum delationis esset indicium et ut haberet unde furentis patris impetum mitigaret, reverso Iovi filia ordinem facinoris exponit. Tunc pater funesta calamitate cladis et acerbi luctus atrocitate commotus Titanas quidem vario genere excruciatos necat nec praetermissum est in ultione filii aut tormentum aliquod aut poena, sed per omnia poenarum genera bacchatus necem qualiscumque filii vindicavit, affectu quidem patris sed tyrannica potestate. Tunc, quia diutius pater ferre lugentis animi tormenta non poterat et quia dolor ex orbitate veniens nullis solaciis mitigabatur, imaginem eius ex gypso plastico opere perfecit et cor pueri, ex quo facinus fuerat sorore deferente detectum, in ea parte plastae conlocat, qua pectoris fuerant liniamenta formata. Post haec pro tumulo extruit templum et paedagogum pueri constituit sacerdotem; huic Silenus fuit nomen. Cretenses, ut furentis tyranni saevitiam mitigarent, festos funeris dies statuunt et annuum sacrum trieterica consecratione componunt, omnia per ordinem facientes, quae puer moriens aut fecit aut passus est. Vivum laniant dentibus taurum, crudeles epulas annuis commemorationibus excitantes et per secreta silvarum clamoribus dissonis eiulantes fingunt animi furentis insaniam, ut illud facinus non per fraudem factum sed per insaniam crederetur. Praefertur cista, in qua cor soror absconderat; tibiarum cantu et cymbalorum tinnitu crepundia quibus puer deceptus fuerat mentiuntur. Sic in honorem tyranni a serviente plebe deus factus est qui habere non potuit sepulturam.

201.

Proclus in Plat. Crat. p. 112: *Ὅτι δὲ πολλὴ τῆς Ἀρτέμιδος καὶ ἡ πρὸς τὴν ἐγκόσμιον Ἑκάτην ἕνωσις καὶ ἡ πρὸς τὴν Κόρην, φανερὸν τοῖς καὶ ὀλίγα τῷ Ὀρφεῖ παραβεβληκόσιν· ἐξ ὧν δῆλον, ὅτι καὶ ἡ Λητὼ περιέχεται ἐν τῇ Δήμητρι τῇ καὶ τὴν Κόρην συνυποστησάσῃ τῷ Διὶ καὶ τὴν ἐγκόσμιον Ἑκάτην, ἐπεὶ καὶ τὴν Ἄρτεμιν Ἑκάτην Ὀρφεὺς κέκληκεν·*

Ἡ δ' ἄρα δὴ Ἑκάτη παιδὸς μέλε' αὖθι λιποῦσα
Λητοῦς εὐπλοκάμοιο κόρη προσεβήσατ' Ὄλυμπον.

ὥστ' οὐδὲν θαυμαστόν, εἰ καὶ τὴν ἐν τῇ Κόρῃ Ἄρτεμιν Ἑκάτην ἐν ἄλλοις κεκλήκαμεν. Cf. Proclus in Plat. Crat. p. 100: *Προσαγορεύεται δὲ καὶ Κόρη διὰ τὴν καθαρότητα τῆς οὐσίας καὶ τὴν ἄχραντον ἐν ταῖς ἀπογεννήσεσιν ὑπεροχήν· ἔχει δὲ πρώτην τε καὶ μέσην καὶ τελευταίαν ἡγεμονίαν· καὶ κατὰ μὲν τὴν ἀκρότητα ἑαυτῆς Ἄρτεμις καλεῖται παρ' Ὀρφεῖ, κατὰ δὲ τὸ μέσον κέντρον Περσεφόνη, κατὰ δὲ τὸ πέρας τῆς διακοσμήσεως Ἀθηνᾶ.* Proclus in Plat. Crat. p. 111: *Καὶ μάλιστα τῶν τριῶν* (sc. *Ἀρτέμιδος ἰδιοτήτων*) *ἡ πρώτη* (sc. *ἡ ἄχραντος*) *ἐφαρμόζει τῇ τῆς θεοῦ προόδῳ, καθ' ἣν ἐν τῇ ζῳογόνῳ τῶν ἀρχῶν τριάδι τὴν ὕπαρξιν ἔλαχεν εἴτε Ἑκατικὴ προσαγορευομένη θεότης, ὡς οἱ θεουργοί φασιν, εἴτε Ἄρτεμις, ὡς Ὀρφεύς.*

202. 203. 204.

Proclus in Plat. Crat. p. 114: *Ὅτι τὸν δεσπότην ἡμῶν Διόνυσον οἱ θεολόγοι πολλάκις καὶ ἀπὸ τῶν τελεωτάτων αὐτοῦ δώρων Οἶνον καλοῦσιν, οἷον Ὀρφεύς·*

Οἴνου δ' ἀντὶ μιῆς τριπλῆν μετὰ ῥίζαν ἔθεντο.

καὶ πάλιν·

Οἴνου πάντα μέλη κόσμῳ λάβε καί μοι ἔνεικε.

καὶ αὖθις·

Οἴνῳ ἀγαιομένη κούρῳ Διός.

Cf. Proclus in Plat. Tim. III 200 D: *Καὶ γὰρ ἐν ἐκείνοις ὁ συνάγων καὶ ἑνίζων τὰ μερισθέντα τοῦ Διονύσου μέλη κατὰ τὴν βούλησιν τοῦ πατρὸς οὗτός ἐστιν ὁ θεός* (*Ἀπόλλων*).

Fr. 200, 1 *μέλε'* Koechly] *μέλη.*

205.

Proclus in Plat. Tim. I 53 C: *Καὶ γὰρ οἱ θεολόγοι μετὰ τὸν τοῦ Διονύσου διασπασμόν, ὃς δηλοῖ τὴν ἐκ τῆς ἀμερίστου δημιουργίας μεριστὴν πρόοδον εἰς πᾶν, ὑπὸ τοῦ Διὸς τοὺς μὲν ἄλλους Τιτᾶνας ἄλλας λήξεις διακεκληρῶσθαί φασι, τὸν δὲ Ἄτλαντα ἐν τοῖς πρὸς ἑσπέραν τόποις ἱδρῦσθαι, ἀνέχοντα τὸν οὐρανόν·*

Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης
πείρασιν ἐν γαίης.[1])

Cf. Proclus in Plat. Tim. I 58: *Ἀναμνήσαντες ἡμᾶς αὐτοὺς τῶν παρὰ τῷ Ὀρφεῖ λεγομένων πρὸς τῷ πέρατι τῆς δημιουργίας καταταρταρώσεων.* Proclus in Plat. Polit. p. 375: *Τὸν πρὸς Δία πόλεμον καὶ τὰς καλουμένας παρὰ τοῖς Ὀρφικοῖς καταταρταρώσεις.* Proclus in Plat. Tim. I 53 F: *Εἴτε οὖν Ὀρφικῶς ἐθέλοις ἀντιτάττειν τὰ Ὀλύμπια γένη καὶ Τιτανικὰ καὶ κρατοῦντα τὰ ἕτερα τῶν ἑτέρων ὑμνεῖν.*

206.

Proclus in Plat. Tim. V 313 B: *Τελευτᾷ δὲ καλῶς ἡ δημιουργία τῶν νέων θεῶν κατὰ τὴν τοῦ πατρὸς βούλησιν εἰς τὴν παλιγγενεσίαν. — — ἐν τοῖς νέοις ἄρα θεοῖς καὶ τὴν ἐξ ἀρχῆς δημιουργίαν τῶν θνητῶν καὶ τὴν τῆς παλιγγενεσίας αἰτίαν ὁ δημιουργὸς ἐνέθηκεν ὥσπερ ἁπάντων τῶν ἐγκοσμίων ἐν τῇ μονάδι τῶν νέων θεῶν, ἣν καὶ αὐτὴν νέον θεὸν προσηγόρευσεν Ὀρφεύς. — — Τιτανικὰς (δυνάμεις) δὲ διὰ τοῦ θνητὰ καὶ ἐπίκηρα παράγειν, Διονυσιακὰς δὲ διὰ τῆς παλιγγενεσίας.* Cf. Proclus Hymnus in Minervam v. 11 sqq.:

Ἣ κραδίην ἐσάωσας ἀμιστύλλευτον ἄνακτος
αἰθέρος ἐν γυάλοισι, μεριζομένου ποτὲ Βάκχου
Τιτήνων ὑπὸ χερσί· πόρες δέ ἑ πατρὶ φέρουσα,
ὄφρα νέος βουλῇσιν ὑπ' ἀρρήτοισι τοκῆος
ἐκ Σεμέλης περὶ κόσμον ἀνηβήσῃ Διόνυσος.

Macrobius in Somnium Scipionis I 12: Sed altissima et purissima pars eius (*ὕλης*), qua vel sustentantur divina vel con-

[1]) Hi versus leguntur etiam apud Hesiodum Theog. 517. 518.

stant, nectar vocatur et creditur esse potus deorum, inferior vero atque turbidior potus animarum. Et hoc est quod veteres Lethaeum fluvium vocaverunt. Ipsum autem Liberum patrem Orphaici *νοῦν ὑλικὸν* suspicantur intellegi, qui ab illo individuo natus in singulos ipse dividitur. Ideo in illorum sacris traditur Titanio furore in membra discerptus et frustis sepultis rursus unus et integer emersisse, quia *νοῦς*, quem diximus mentem vocari, ex individuo praebendo se dividendum et rursus ex diviso ad individuum revertendo et mundi inplet officia et naturae suae archana non deserit. — Mythogr. Vatic. III 12 p. 246 ed. Bode: Habet fabula Gigantes Bacchum inebriatum invenisse et discerpto eo per membra frusta sepelisse et eum paullo post vivum et integrum resurrexisse. Quod figmentum discipuli Orphei interpretati leguntur, nihil aliud Bacchum quam animam mundi intellegendum asserentes; quae, ut ferunt philosophi, quamvis quasi membratim per mundi corpora dividatur, semper tamen se redintegrare videtur, corporibus emergens et se formans, dum semper una eademque perseverans nullam simplicitatis suae patitur sectionem. Hanc etiam fabulam in sacris eius repraesentasse leguntur.

207.

Proclus in Plat. Tim. II 124 C D: *Ἡ μὲν γὰρ Ἵππα τοῦ παντὸς οὖσα ψυχὴ καὶ οὕτω κεκλημένη παρὰ τῷ θεολόγῳ λίκνον ἐπὶ τῆς κεφαλῆς θεμένη καὶ δράκοντι αὐτὸ περιστέψασα τὸ κραδιαῖον, ὑποδέχεται Διόνυσον. — ὁ δὲ ἀπὸ τοῦ μηροῦ τοῦ Διὸς πρόεισιν εἰς αὐτὴν (ἦν γὰρ ἐκεῖ συνηνωμένος) καὶ προελθὼν καὶ μεθεκτὸς αὐτῇ γενόμενος ἐπὶ τὸ νοητὸν αὐτὴν ἀνάγει καὶ τὴν ἑαυτῆς πηγήν· ἐπείγεται γὰρ πρὸς τὴν μητέρα τῶν θεῶν καὶ τὴν Ἴδην, ἀφ' ἧς πᾶσα τῶν ψυχῶν ἡ σειρά. διὸ καὶ συλλαμβάνεσθαι ἡ Ἵππα λέγεται τίκτοντι τῷ Διί. ὡς γὰρ εἴρηται πρότερον, νοῦν ἄνευ ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. τοῦτο δὲ ὅμοιον τῷ παρ' Ὀρφεῖ·*

Γλυκερὸν δὲ τέκος Διὸς ἐξεκαλεῖτο.

τοῦτο δὲ ἦν ὁ κοσμικὸς νοῦς Δίιος ὢν κατὰ τὸν ἐν τῷ Διὶ μείναντα προελθών.

Cf. Proclus in Plat. Tim. III 208 D: Ἔδει τὴν ψυχὴν νοῦ μετέχουσαν Διονυσιακοῦ καί, ὥς Ὀρφεύς φησιν, ἐπὶ τῆς κεφαλῆς φέρουσαν τὸν θεὸν διηρῆσθαι κατ' ἐκεῖνον. Et p. 171 F: Τῆς γὰρ τοῦ παντὸς ψυχῆς ἐχούσης μέν τι καὶ ὑπερκόσμιον καὶ ἐξῃρημένον τοῦ παντός, καθὰ συνῆπται πρὸς τὸν νοῦν, ὃ δὴ κεφαλὴν αὐτῆς ὅ τε Πλάτων ἐν τῷ Φαίδρῳ καὶ Ὀρφεὺς ἐν τοῖς περὶ Ἵππας λόγοις προσωνόμασεν ...

208.

Olympiod. ad Plat. Phaedon. c. 32 ed. Fischer: Ὁ Διόνυσος λύσεώς ἐστιν αἴτιος, διὸ καὶ Λυσεὺς ὁ θεός, καὶ Ὀρφεύς φησιν·

Ἄνθρωποι δὲ τεληέσσας ἑκατόμβας
πέμψουσιν πάσῃσιν ἐν ὥραις ἀμφιέτεσσιν
ὄργιά τ' ἐκτελέσουσι λύσιν προγόνων ἀθεμίστων
μαιόμενοι· σὺ δὲ τοῖσιν ἔχων κράτος, οὕς κ' ἐθέλῃσθα
λύσεις ἔκ τε πόνων χαλεπῶν καὶ ἀπείρονος οἴστρου.

Cf. Servius ad Verg. Georg. I 166: Mystica autem vannus Iacchi ideo ait, quod Liberi Patris sacra ad purgationem animae pertinebant et sic homines eius mysteriis purgabantur, sicut vannis frumenta purgantur. Hinc est quod dicitur Osiridis membra a Typhone dilaniata Isis cribro superposuisse. Nam idem est Liber Pater, in cuius mysteriis vannus est, quia, ut diximus, animas purgat. Unde et Liber ab eo quod liberat dictus, quem Orpheus a Gigantibus dicit esse discerptum.

2. Κόρης ἁρπαγή.[1])

209.

Iustinus Cohort. c. 17: Ὁ δὲ ποιητὴς Ὅμηρος τῇ τῆς ποιήσεως ἀποχρώμενος ἐξουσίᾳ καὶ τὴν ἐν ἀρχῇ τῆς πολυθεότητος Ὀρφέως ζηλώσας δόξαν μυθωδῶς μὲν πλειόνων θεῶν μέμνηται, ἵνα μὴ δόξῃ τῆς Ὀρφέως ἀπᾴδειν ποιήσεως, ἣν οὕτως

Fr. 208, 3 τ' Lobeck addidit.

[1]) Carmen de raptu Proserpinae initio sexti a. Chr. n. saeculo assignavit Ric. Foerster, Der Raub und die Rückkehr der Persephone p. 79. Titulum Marmor Parium supra ad Κατάβασιν εἰς Ἅιδου commemoratum suppeditavit.

ζηλῶσαι προὔθετο, ὡς καὶ διὰ τοῦ πρώτου τῆς ποιήσεως ἔπους τὴν πρὸς αὐτὸν σημῆναι σχέσιν. τοῦ γὰρ Ὀρφέως

Μῆνιν ἄειδε, θεά, Δημήτερος ἀγλαοκάρπου

ἐν ἀρχῇ τῆς ποιήσεως εἰρηκότος, αὐτὸς Μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος γέγραφεν, ἑλόμενος, ὡς ἐμοὶ δοκεῖ, ἐν ἀρχῇ καὶ τοῦ κατὰ τὴν ποίησιν ἐκπεσεῖν μέτρου, ἵνα μὴ δόξῃ τοῦ τῶν θεῶν ὀνόματος μὴ μεμνῆσθαι πρῶτον.

210.

Proclus Theol. Plat. VI 13, 382: Ἀνάλογον δὴ τοῖς ἐκεῖ Κουρῆσιν (qui Iovem custodierunt) ἡ τῶν Κορυβάντων (τάξις) προβαίνουσα σὺν τῇ Κόρῃ καὶ φρουροῦσα πανταχόθεν αὐτήν, ὥς φησιν ἡ θεολογία, διὸ καὶ τὴν ἐπωνυμίαν ἔλαχον ταύτην. Cf. Proclus Theol. Plat. VI 11, 371: Καὶ γὰρ ἡ τῶν θεολόγων φήμη, τῶν τὰς ἁγιωτάτας ἡμῖν ἐν Ἐλευσῖνι τελετὰς παραδεδωκότων, ἄνω μὲν αὐτὴν ἐν τοῖς μητρὸς οἴκοις μένειν φησίν, οὓς ἡ μήτηρ αὕτη κατεσκεύασεν ἐν ἀβάτοις ἐξῃρημένους τοῦ παντός· κάτω δὲ μετὰ Πλούτωνος τῶν χθονίων ἐπάρχειν καὶ τοὺς τῆς γῆς μυχοὺς ἐπιτροπεύειν καὶ ζωὴν ἐπορέγειν τοῖς ἐσχάτοις τοῦ παντὸς καὶ ψυχῆς μεταδιδόναι τοῖς παρ᾽ ἑαυτῶν ἀψύχοις καὶ νεκροῖς. Cf. Proclus in Plat. Crat. p. 62: Τῆς Κουρητικῆς δεῖσθαι φρουρᾶς, ὥσπερ τὴν Ῥέαν καὶ τὸν Δία καὶ τὴν Κόρην.

211.

Tzetzes Exeg. in Hom. Il. p. 26:

Ἱστὸν ἐποιχομένην ἀτελῆ πόνον ἀνθεμόεντα.

Cf. Proclus in Plat. Tim. V 307 D: Καὶ διὰ ταῦτα ἄρα Ὀρφεὺς τὴν τῶν μεριστῶν ζῳοποιὸν αἰτίαν ἄνω μένουσαν καὶ ὑφαίνουσαν τὸν διάκοσμον τῶν οὐρανίων νύμφην τε εἶναί φησιν ὡς ἄχραντον καὶ ταῦτα τῷ Διὶ συναφθεῖσαν καὶ μένειν ἐν οἰκείοις ἤθεσι· προελθοῦσαν δὲ ἀπὸ τῶν ἑαυτῆς οἴκων ἀτελεῖς τε καταλείπειν τοὺς ἱστοὺς καὶ ἁρπάζεσθαι καὶ ἀναρπασθεῖσαν γαμεῖσθαι καὶ γαμηθεῖσαν γεννᾶν, ἵνα ψυχώσῃ καὶ τὰ ἐπείσακτον ἔχοντα ζωήν. τὸ γὰρ ἀτελές, οἶμαι, τῶν ἱστῶν ἐνδείκνυται

Fr. 211, 1 ἀνθεμόεντα Mullach] ἀνθεμόεσσαν.

κἀκεῖνο τὸ μέχρι τῶν ἀιδίων ζῴων ἀτελὲς εἶναι τὸ πᾶν· διὸ καὶ ὁ Πλάτων παρακελεύεσθαί φησι τὸν ἕνα δημιουργὸν τοῖς πολλοῖς προσυφαίνειν τὰ θνητὰ τοῖς ἀθανάτοις, ἀναμιμνήσκων πως ἡμᾶς, ὅτι τῆς τοῦ παντὸς ὑφαντικῆς ζωῆς τελείωσίς ἐστιν ἡ προσθήκη τῶν θνητῶν, καὶ τῆς Ὀρφικῆς θεομυθίας καὶ τῶν ἀτελῶν ἱστῶν ἐξηγητικὰς ἐννοίας παρεχόμενος. Porphyrius De antro nympharum XIV 15: *Οὕτω καὶ παρὰ τῷ Ὀρφεῖ ἡ Κόρη, ἥπερ ἐστὶ παντὸς τοῦ σπειρομένου ἔφορος, ἱστουργοῦσα παραδέδοται.* Proclus in Plat. Crat. p. 24: *Καὶ γὰρ αὕτη (ἡ Κόρη) καὶ πᾶς αὐτῆς ὁ χορὸς ἄνω μενούσης ὑφαίνειν λέγονται τὸν διάκοσμον τῆς ζωῆς.* Syrianus in Aristot. Metaphys. p. 850 b: *Ὅτι μέντοι τὰς ἀνάλογον καὶ ἐν θεοῖς ἔστιν ἐπινοεῖν δηλοῦσι καὶ οἱ θεολόγοι Κύκλωπας καὶ Ἥφαιστον χαλκέας καὶ οἰκοδόμους οὐκ ὀκνοῦντες καλεῖν, οὐδὲ Ἀθηνᾷ καὶ Κόρῃ τὴν ὑφαντικὴν ἀποκληροῦν.*

212.

Schol. (Didymi?) ad Hes. Theog. v. 914: *Ἡρπάσθαι τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης, Ὀρφεὺς δὲ ἐκ τῶν περὶ τὸν Ὠκεανὸν τόπων, Φανόδημος δὲ ἀπὸ τῆς Ἀττικῆς, Δημάδης δὲ ἐν νάπαις.*

213.

Suidas s. v. *Βάραθρον*: *Χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὄγκινοι, οἱ μὲν ἄνω οἱ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν, ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς Κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῇ χώρᾳ καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν.* Cf. Suidas s. v. *Μητραγύρτης*: *Ἐλθών τις εἰς τὴν Ἀττικήν, ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοί φασιν. οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτὸν ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν. λοιμοῦ δὲ γενομένου ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον, καὶ διὰ τοῦτο ᾠκοδόμησαν βουλευτήριον, ἐν ᾧ ἀνεῖλον τὸν μητραγύρτην καὶ περιφράττοντες αὐτὸ*

καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῷ μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ καταχώσαντες καὶ τὸ βάραθρον.

214.

Etym. Gud. p. 395: *Μίνθη, ἣν τινες ἡδύοσμον καλοῦσιν· ἔστι δὲ καλάμινθος, ἄγριον ἡδύοσμον, ὅπερ λυπουμένη ἡ Δημήτηρ ἰδοῦσα ἐμίσησε καὶ ἄκαρπον ἐποίησεν. Ὀρφεύς·*

Τὸ πρὶν ἐὸν μέγα δένδρον ἐπὶ χθονὶ καὶ φερέκαρπον.

215.

Clemens Alex. Cohort. p. 6: *Ὅπου γε Ἀθηναίοις καὶ τῇ ἄλλῃ Ἑλλάδι (αἰδοῦμαι καὶ λέγειν αἰσχύνης ἔμπλεως) ἡ περὶ τὴν Δηὼ μυθολογία· ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα — — ἀποκάμνει καὶ φρέατι ἐπικαθίζει λυπουμένη. τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰσέτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. ᾤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα αὐτοῖς Βαυβὼ καὶ Δυσαύλης καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔμολπός τε καὶ Εὐβουλεύς. — — καὶ δὴ (οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν) ξενίσασα ἡ Βαυβὼ τὴν Δηὼ ὀρέγει κυκεῶνα αὐτῇ, τῆς δὲ ἀναινομένης λαβεῖν καὶ πιεῖν οὐκ ἐθελούσης (πενθήρης γὰρ ἦν) περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα καὶ ὑποδεικνύει τῇ θεῷ. ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηὼ καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῷ θεάματι. ταῦτ᾽ ἐστὶ τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια· ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν᾽ ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν·*

Ὣς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξε δὲ πάντα

Fr. 214, 1 *φέρε καρπὸν* codex.

Fragmentum 215 ut a Clemente et Eusebio exhibetur dedi. — V. 1 *δεῖξε δ᾽ ἄφαντον* coni. Herwerden. — V. 2 *οὔτι* pro *οὐδέ* Hermann. — *ἦεν* Wakefieldius, *παῖς νηπίαχος δὲ* Paulus Leopardus et Herwerden, *παιδήιον ἄνθος* Dan. Heinsius. — V. 3 *χεῖρά θ᾽ ἑήν* Gesner, qui bene *ὑπὸ κόλπους* edidit, *χειρί θ᾽ ἑῇ* Heinsius, *χεῖρ᾽ ἰταμήν* Herwerden. — *Βαυβώ* Heinsius. — V. 4 *ἠπίη οὖν μείδησε* Heinsius, *ἡ δ᾽ ἐπεὶ οὖν ἐνόησε* Hermann. — *ἡ δ᾽ ἐπὶ τῷ μείδησε θεὰ γηθοῦσ᾽ ἐνὶ θυμῷ* Herwerden. — *γήθησ᾽ ἐνὶ* Mullach.

σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος·
χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις.
ἡ δ' ἐπεὶ οὖν μείδησε θεά, μείδησ' ἐνὶ θυμῷ,
δέξατο δ' αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

Cf. Arnobius adv. nationes lib. V c. 26: Baubo — — accipit hospitio Cererem — — sitientis ardori oggerit potionem cinni; — — aversatur et respuit — — dea. — — vertit Baubo artes et quam serio non quibat allicere, ludibriorum statuit exhilarare miraculis: partem illam corporis, per quam secus femineum et subolem solet prodere et nomen solet adquirere generi, tum longiore ab incuria liberat, facit sumere habitum puriorem et in speciem levigari nondum duri atque hystriculi pusionis. Redit ad deam tristem et inter illa communia quibus moris est frangere ac temperare maerores retegit se ipsam atque omnia illa pudoris loca revelatis monstrat inguinibus. Atque pubi adfigit oculos diva et inauditi specie solaminis pascitur: tum diffusior facta per risum aspernatam sumit atque ebibit potionem, et quod diu nequivit verecundia Baubonis exprimere propudiosi facinoris extorsit obscenitas. Calumniari nos improbe si quis forte hominum suspicatur, libros sumat Threicii vatis, quos antiquitatis memoratis esse divinae, et inveniet nos nihil neque callide fingere neque quo sint risui deum quaerere atque efficere sanctitates. Ipsos namque in medio ponemus versus, quos Calliopae filius ore edidit Graeco et cantando per saecula iuri publicavit humano:

Sic effata simul vestem contraxit ab imo
obiecitque oculis formatas inguinibus res,
quas cava succutiens Baubo manu, — nam puerilis
olli voltus erat — plaudit, contrectat amice.
tum dea defigens augusti luminis orbes,
tristitias animi paulum mollita reponit;
inde manu poclum sumit risuque sequenti
perducit totum cyceonis laeta liquorem.

— V. 5 *ἐμέμικτο* perbene Herwerden.

Fr. 215, 3. Bacchi manu' pro Baubo manu fort. recte Auratus. — 4 olli Sabaeus] ollis.

216.

Psellus apud Allatium De quorund. Graec. opinat. p. 139: *Ὁ Βαβουτζικάριος προσεφθάρη τῷ βίῳ· ἔνεστι γάρ που τοῖς Ὀρφικοῖς ἔπεσι Βαβώ τις ὀνομαζομένη δαίμων νυκτερινή, ἐπιμήκης τὸ σχῆμα καὶ σκιώδης τὴν ὕπαρξιν.*

217.

Pausan. I 14, 3: (*Ἔπη ᾄδεται*) *Ὀρφέως δὲ* (*οὐδὲ ταῦτα Ὀρφέως, ἐμοὶ δοκεῖν, ὄντα*) *Εὐβουλεῖ καὶ Τριπτολέμῳ Δυσαύλην πατέρα εἶναι, μηνύσασι δέ σφισι περὶ τῆς παιδὸς δοθῆναι παρὰ τῆς Δήμητρος σπεῖραι τοὺς καρπούς.*

218.

Proclus in Plat. Crat. p. 111. 112: *Ὅθεν δὴ καὶ ἡ Κόρη κατὰ μὲν τὴν Ἄρτεμιν τὴν ἐν ἑαυτῇ καὶ τὴν Ἀθηνᾶν παρθένος λέγεται μένειν, κατὰ δὲ τὴν τῆς Περσεφόνης γόνιμον δύναμιν καὶ προσιέναι καὶ συνάπτεσθαι τῷ τρίτῳ δημιουργῷ καὶ τίκτειν, ὥς φησιν Ὀρφεὺς*

Ἐννέα θυγατέρας γλαυκώπιδας ἀνθεσιουργούς.

Cf. Proclus in Plat. Crat. p. 100: *Διὸ καὶ Περσεφόνη καλεῖται μάλιστα* (*ἡ Κόρη*) *τῷ Πλούτωνι συνοῦσα καὶ μετ᾽ αὐτοῦ διακοσμοῦσα τὰ τελευταῖα τοῦ παντός, καὶ κατὰ μὲν τὰ ἄκρα παρθένος εἶναι λέγεται καὶ ἄχραντος μένειν, κατὰ δὲ τὸ μέσον ζεύγνυσθαι τῷ Ἅιδῃ καὶ συναπογεννᾶν τὰς ἐν τοῖς ὑποχθονίοις Εὐμενίδας.* Pseudo-Apuleius de orthogr. p. 132: Furiae — — filiae secundum Eudemum Acheruntis et Noctis fuerunt — — Orpheus Plutonis et Proserpinae.

219.

Schol. ad. Theocr. II 12: *Τῇ Δήμητρι μιχθεὶς ὁ Ζεὺς τεκνοῖ Ἑκάτην διαφέρουσαν ἰσχύι καὶ μεγέθει ἣν ὑπὸ γῆν πεμφθῆναι ὑπὸ τοῦ πατρὸς πρὸς Περσεφόνης ἀναζήτησιν.*

Fr. 218, 1 Werfer *ἀνθεσιεργούς* coniecit.

3. Περὶ Διὸς καὶ Ἥρας.[1])

220.

Eustathius ad Dionys. Perieg. v. 1: *Πάντως γὰρ Ὠκεανὸς ἀψόρρους ὁ εἰς ἑαυτὸν ῥοῶν, ἤγουν ἐπανιὼν καὶ εἰς κύκλου σχῆμα περιαγόμενος καὶ οὕτως ἐναποκλείων ἑαυτῷ τὴν γῆν· καθὰ καὶ Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Ἥρας φησὶ λέγων·*

Κύκλον τ' ἀκαμάτου καλλιρρόου Ὠκεανοῖο,
ὃς γαῖαν δίνῃσι πέριξ ἔχει ἀμφιελίξας.

Cf. Dio Chrysost. Or. 36, 453: *Τοῦτον ὑμνοῦσι παῖδες σοφῶν ἐν ἀρρήτοις τελεταῖς Ἥρας καὶ Διὸς εὐδαίμονα γάμον.* Proclus in Plat. Tim. I 16 A: *Ἐπεὶ καὶ τὸ τὴν αὐτὴν* (sc. *θεὰν*) *ἑτέροις ἢ τὸν αὐτὸν πλείοσι συζεύγνυσθαι, λάβοις ἂν ἐκ τῶν μυστικῶν λόγων καὶ τῶν ἐν ἀπορρήτοις λεγομένων ἱερῶν γάμων.*

4. De migratione animarum.

221.

Plato Crat. p. 400 C: *Καὶ γὰρ σῆμά τινες αὐτό* (*τὸ σῶμα*) *εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι — — δοκοῦσι μέντοι μοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς ψυχῆς, ὧν δὴ ἕνεκα δίδωσιν· τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώζηται, δεσμωτηρίου εἰκόνα.* Cf. Plato Phaed. p. 62 B: *Ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν.* Schol. ad. h. l. apud Bekkerum II 3 p. 379: *Ἐντεῦθεν τὸ πρῶτον πρόβλημα τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν, οὗ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν.* Proclus in Plat. Polit. p. 372: *Δηλοῖ δὲ* (*ὁ Πλάτων*)

---

[1]) Carmen fort. *Διὸς καὶ Ἥρας γάμος* vel *Ἱερὸς γάμος* inscriptum erat.

Fr. 221, 1 *τ'* Bernhardy addidit. — Alter scholiasta apud Bernhardyum p. 281: *Καὶ Ὀρφεὺς ἐν τῷ περὶ Διὸς καὶ Κόρης φησί· κύκλον τ' ἀένναον* (*ἀέναον* fort. recte se habet) *καλλιρρόου Ὠκεανοῖο, γαῖαν δίνῃσιν περί νιν ἔχει ἀμφιέλισσε.*

ἐν Φαίδωνι τόν τε ἐν τοῖς ἀπορρήτοις λεγόμενον ὡς ἔν τινι φρουρᾷ ἐσμὲν σιγῇ τῇ πρεπούσῃ σέβων καὶ τὰς τελετὰς μαρτυρόμενος τῶν διαφόρων λήξεων τῆς ψυχῆς κεκαθαρμένης τε καὶ ἀκαθάρτου εἰς Ἅιδου ἀπιούσης καὶ τάς τε σχίσεις αὖ καὶ τὰς τριόδους ἀπὸ τῶν θυσιῶν καὶ τῶν πατρικῶν θεσμῶν τεκμαιρόμενος, ἃ δὴ τῆς συμβολικῆς ἅπαντα θεωρίας ἐστὶ μεστά, καὶ τῶν παρὰ τοῖς ποιηταῖς θρυλλουμένων ἀνόδων τε καὶ καθόδων τῶν τε Διονυσιακῶν συνθημάτων (παθημάτων?) καὶ τῶν Τιτανικῶν ἁμαρτημάτων λεγομένων καὶ τῶν ἐν Ἅιδου τριόδων καὶ τῆς πλάνης. Iamblichus Protrept. VIII 134: *Οἱ τὰς τελετὰς λέγοντές φασι διδόναι τὴν ψυχὴν τιμωρίαν καὶ ζῆν ἡμᾶς ἐπὶ κολάσει μεγάλων ἁμαρτημάτων.*

222. 223.

Proclus in Plat. Polit. p. 696 ed. Mai: *Ταῦτα καὶ τῆς Ὀρφικῆς ἡμᾶς ἐκδιδασκούσης .... θνητῶν τούτων ζῴων λέγει (ὁ Πλάτων) .... ὅτι τοὺς βίους ἀμείβουσιν αἱ ψυχαὶ κατὰ μέν τινας περιόδους καὶ εἰσδύνονται ἄλλαι ἐς ἄλλα σώματα·*

Πολλάκις ἀνθρώπων καὶ υἱέες ἐν μεγάροισιν
εὔκοσμοί τ' ἄλοχοι καὶ μητέρες ἠδὲ θύγατρες
γίνοντ' ἀλλήλων μεταμειβομένῃσι γενέθλαις.

ἐν γὰρ τούτοις τὴν ἀπ' ἀνθρωπίνων σωμάτων εἰς ἀνθρώπινα μετοίκησιν αὐτῶν παραδίδωσιν.

Ἔπειθ' ὅτι καὶ εἰς τὰ ἄλλα ζῷα μετάβασίς ἐστι τῶν ψυχῶν τῶν ἀνθρώπων, καὶ τοῦτο διαρρήδην Ὀρφεὺς ἀναδιδάσκει ὁπηνίκα ἂν διορίζηται·

Οὕνεκ' ἀμειβομένη ψυχὴ κατὰ κύκλα χρόνοιο
ἀνθρώπων ζῴοισι μετέρχεται ἄλλοθεν ἄλλοις·
ἄλλοτε μέν θ' ἵπποις, ὃ δὲ γίνεται ....
ἄλλοτε δὲ πρόβατον, τότε δ' ὄρνεον αἰνὸν ἰδέσθαι,
ἄλλοτε δ' αὖ κύνεόν τε δέμας φωνή τε βαρεῖα,
καὶ ψυχρῶν ὀφίων ἕρπει γένος ἐν χθονὶ δίῃ.

Fr. 222, 2 *εὔκοσμοί* Preller] *εὔκοσμοι.* — *ἠδὲ* Preller] *ἢ δέ.* — 3 *γίνοντ'* Abel] *γίνονται.* —

Fr. 223, 1 *χρόνοιο* Herwerden] *χρόνοισι.* — 3 *ἵπποις, ὁ δὲ* (sic) Preller] *ἵππος ὅδε.* — 5 *κύνεόν* Abel] *κυνεόν.* —

224.

Proclus in Plat. Polit. p. 696 ed. Mai: Ὅτι δὲ καὶ ἰδία τῶν ἀλόγων τίς ἐστι ψύχωσις, ἀλλ' οὐκ ἀπὸ μόνων τῶν ἀνθρωπίνων ψυχῶν, δηλοῖ λέγων ὁ Ὀρφεύς·

Αἱ μὲν δὴ θηρῶν τε καὶ οἰωνῶν πτεροέντων
ψυχαὶ ὅτ' ἀίσσωσι λίπῃ τέ μιν ἱερὸς αἰών,
τῶν οὔτις ψυχὴν κατάγει δόμον εἰς Ἀίδαο,
ἀλλ' αὐτοῦ πεπότηται ἐτώσιον, εἰσόκεν αὐτὴν
ἄλλο ἀφαρπάζῃ μίγδην ἀνέμοιο πνοῇσιν·
ὁππότε δ' ἄνθρωπος προλίπῃ φάος ἠελίοιο,
ψυχὰς ἀθανάτας κατάγει Κυλλήνιος Ἑρμῆς
γαίης ἐς κευθμῶνα πελώριον.

δι' ὧν τὰς μὲν ἀνθρωπίνας ψυχὰς βούλεται χωρεῖν εἰς τὸν ὑποχθόνιον τόπον καθάρσεως ἕνεκα καὶ κολάσεως καὶ εἰς τὰ δεσμωτήρια τῆς τίσεως, τὰς δὲ τῶν ἀλόγων αὐτοῦ περὶ τὸν ἀέρα πωτᾶσθαι, μέχρις ἂν εἰς ἄλλα σώματα πάλιν ἐνδεθῶσιν. εἰ δ' ἦσαν καὶ αἱ τῶν ἀλόγων ψυχώσεις ἀπὸ ψυχῶν ἀνθρωπίνων μόνων, πάσας ἔδει φάναι τὸν Ἑρμῆν εἰς Ἅιδου κατάγειν ἢ καθαρθησομένας ἢ κολασθησομένας, ὥσπερ καὶ Πλάτων ποιεῖ, καὶ τὰς ἐκ τῶν ἀλόγων, ἀνθρωπίνας δὲ οὔσας ψυχὰς εἰς τὸν ὑπὸ γῆς τόπον ἀνάγων καὶ πάλιν ἐκεῖθεν στέλλων εἰς ἄλλας βίων αἱρέσεις.

225.

Olympiod. ad Plat. Phaed. p. 70 C: (παλαιὸς μὲν οὖν ἐστί τις λόγος οὗτος, οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ [αἱ ψυχαί] καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων): Καὶ ὅτι τὸ ζῷον καὶ τὸ τεθνεὼς ἐξ ἀλλήλων κατασκευάζει ἐκ τῆς μαρτυρίας τῶν παλαιῶν ποιητῶν τῶν ἀπὸ Ὀρφέως, φημί, λέγοντος·

Οἱ δ' αὐτοὶ πατέρες τε καὶ υἱέες ἐν μεγάροισιν
ἠδ' ἄλοχοι σεμναὶ κεδναί τε θύγατρες.

πανταχοῦ γὰρ ὁ Πλάτων παρῳδεῖ τὰ τοῦ Ὀρφέως. Idem ibid.:

Fr. 224, 2 ἀίσσωσι Preller] αἰΐζωσι. — τέ Preller] δέ. — 3 κατάγει Abel] παράγει. — 4 πεπότηται Abel] πεπότηνται. — εἰσόκεν Preller] εἰς ὅ κεν.

Ὅτι παλαιὸς ὁ λόγος — Ὀρφικός τε γὰρ καὶ Πυθαγόρειος — ὁ πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων καὶ τοῦτο κύκλῳ πολλάκις.

226.

Proclus in Plat. Tim. V 330 AB: *Μία σωτηρία τῆς ψυχῆς αὕτη παρὰ τοῦ δημιουργοῦ προτείνεται τοῦ κύκλου τῆς γενέσεως ἀπαλλάττουσα καὶ τῆς πολλῆς πλάνης καὶ τῆς ἀνηνύτου ζωῆς, ἡ πρὸς τὸ νοερὸν εἶδος τῆς ψυχῆς ἀναδρομὴ καὶ ἡ φυγὴ πάντων τῶν ἐκ τῆς γενέσεως ἡμῖν προσπεφυκότων — — πᾶσαν δὲ τὴν ζωὴν εἰς τὴν εὐδαίμονα περιάγουσα ζωὴν ἀπὸ τῆς περὶ τὴν γένεσιν πλάνης, ἧς καὶ οἱ παρ᾿ Ὀρφεῖ τῷ Διονύσῳ καὶ τῇ Κόρῃ τελούμενοι τυχεῖν εὔχονται·*

Κύκλου τ᾿ αὖ λῆξαι καὶ ἀναπνεῦσαι κακότητος.

Cf. Simplicius in Aristot. de Caelo II p. 168 ed. Karsten: *Ἐνδεθῆναι δὲ ὑπὸ τοῦ τὸ κατ᾿ ἀξίαν πᾶσιν ἀφορίζοντος δημιουργοῦ θεοῦ ἐν τῷ τῆς εἱμαρμένης καὶ τῆς γενέσεως τροχῷ, οὗπερ ἀδύνατον ἀπαλλαγῆναι κατὰ τὸν Ὀρφέα μὴ τοὺς θεοὺς ἐκείνους ἱλεωσάμενον, οἷς ἐπέταξεν ὁ Ζεὺς κύκλου τ᾿ ἀλλῦσαι καὶ ἀναψῦξαι κακότητος τὰς ἀνθρωπίνας ψυχάς.*

5. De praemiis initiatorum.

227.

Plato Polit. II 363 C: *Μουσαῖος δὲ τούτων νεανικώτερα τἀγαθὰ καὶ ὁ υἱὸς αὐτοῦ παρὰ θεῶν διδόασι τοῖς δικαίοις· ἐς Ἅιδου γὰρ ἀγαγόντες τῷ λόγῳ καὶ κατακλίναντες καὶ συμπόσιον τῶν ὁσίων κατασκευάσαντες ἐστεφανωμένους ποιοῦσι τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας, ἡγησάμενοι κάλλιστον ἀρετῆς μισθὸν μέθην αἰώνιον· οἱ δ᾿ ἔτι τούτων μακροτέρους ἀποτείνουσι μισθοὺς παρὰ θεῶν· παῖδας γὰρ παίδων φασὶ καὶ γένος κατόπισθεν λείπεσθαι τοῦ ὁσίου καὶ εὐόρκου. ταῦτα δὴ καὶ ἄλλα τοιαῦτα ἐγκωμιάζουσι δικαιοσύνην. τοὺς δὲ ἀνοσίους αὖ καὶ ἀδίκους ἐς πηλόν τινα κατορύττουσιν ἐν Ἅιδου καὶ κοσκίνῳ*

Fr. 226, 1 *αὖ* Gale] *ἄν*.

ὕδωρ ἀναγκάζουσι φέρειν· ἔτι τε ζῶντας εἰς κακὰς δόξας ἄγοντες, ἅπερ Γλαύκων (interlocutor dialogi) περὶ τῶν δικαίων, δοξαζομένων δὲ ἀδίκων διῆλθε τιμωρήματα, ταῦτα περὶ τῶν ἀδίκων λέγουσιν, ἄλλα δὲ οὐκ ἔχουσιν. ὁ μὲν οὖν ἔπαινος καὶ ὁ ψόγος οὗτος ἑκατέρων. Cf. Plutarchus Comp. Cimon. et Lucull. p. 521: Ὥσπερ Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν Ἅιδου μέθην αἰώνιον. Olympiod. ad Platonis l. c.: Παρῳδεῖ ἔπος Ὀρφικὸν τὸ λέγον ὅτι, ὅστις δ' ἡμῶν ἀτέλεστος, ὥσπερ ἐν βορβόρῳ κείσεται ἐν Ἅιδου.

228.

Plato Phaed. p. 69 C: *Καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι, ὅτι, ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶ γὰρ δή, φασὶν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι.* — Cf. Olympiodorus ad h. l.: *Παρῳδεῖ πανταχοῦ τὰ τοῦ Ὀρφέως. διὸ καὶ στίχον αὐτοῦ φησι·*

Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

XVII. ΤΡΙΑΓΜΟΙ.[1])

229.

Sextus Empiricus Pyrrh. Hypoth. III 30 (Phys. IX 5. 6. 620): *Ὀνομάκριτος δὲ ἐν τοῖς Ὀρφικοῖς πῦρ καὶ ὕδωρ καὶ γῆν (τὴν πάντων ἀρχὴν εἶναι ἔλεγεν).* Cf. Ausonius in Grypho (Idyll. XI; XXVI ed. Schenkl) v. 74:

Orpheos hinc tripodes, quia sunt tria, terra aqua flamma.

---

[1]) Hoc opus fortasse simile fuit Ionis Chii Triagmis, quibus de numero ternario agebatur. Confer tamen Lobeckium I p. 384—389: „Suidas satis abscisse Ὀρφεὺς ἔγραψε Τριασμούς· λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα, quae omnia ex errore Grammatistae

230.

Clemens Alex. Strom. VI p. 265: Ὀρφέως δὲ ποιήσαντος·

Ἔστιν ὕδωρ ψυχῇ, θάνατος δ' ὑδάτεσσιν ἀμοιβή·
ἐκ δ' ὕδατος γαίη, τὸ δὲ ἐκ γαίης πάλιν ὕδωρ·
ἐκ τοῦ δὲ ψυχὴ ὅλον αἰθέρα ἀλλάσσουσα,

Ἡράκλειτος ἐκ τούτων συνιστάμενος τοὺς λόγους ὧδέ πως γράφει· ψυχῇσι θάνατος, ὕδωρ γενέσθαι· ὕδατι δὲ θάνατος γῆν γενέσθαι· ἐκ γῆς δὲ ὕδωρ γίνεται· ἐξ ὕδατος δὲ ψυχή.

XVIII. ΥΜΝΟΙ.

Cyrillus c. Iul. I, p. 25: Ὀρφέα τὸν Οἰάγρου δεισιδαιμονέστατόν φασι γενέσθαι τῶν ἄλλων (ᾠδὰς δὲ καὶ ὕμνους τοῖς ψευδωνύμοις ἐξυφῆναι θεοῖς), εἶτα τῶν ἑαυτοῦ δογμάτων κατεγνωκότα συνέντα τε ὅτι μονονουχὶ τὴν ἁμαξιτὸν ἀφεὶς ἐν ἐκβολῇ γέγονε τῆς εὐθείας ὁδοῦ μεταποιῆσαι πρὸς τὰ βέλτιστα καὶ

---

conflata videntur. Criticus a Clemente adhibitus: Ἴων ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ . . . . Sed ut plures libri Ioni illi falso adscripti sunt, ita etiam Triagmos non ipsius sed Epigenis cuiusdam esse iudicavit Callimachus. Mirabilior autem Suidae narratio, Triagmorum auctorem esse Orpheum sed dici Ionem . . . . Quis enim credat librum soluta oratione scriptum in numerum carminum Orphicorum relatum esse? E superioribus patet, Ionem vel, ut Callimacho visum, Epigenem in Triagmis Pythagoram accusasse, quod nonnulla sua Orpheo affinxisset. Licet igitur sumere, id a Criticis hoc vel simili modo traditum esse: Ὀρφεὺς ἔγραψε πολλὰ καὶ ἄλλα καὶ δὴ καὶ τὸν Ἱερὸν Λόγον, ὅνπερ Ἴων νοθεῦσαι λέγεται ὡς Πυθαγόρου ὄντα, summaque Lexicographi illius festinatione accidisse, ut verbum νοθεῦσαι, quod tam de falsariis et librorum subiectoribus, quam de Criticis fraudem arguentibus dicitur, perperam acciperet, quasi Ion ipse fraudem commisisset, cuius ille indicium fecerat. Neque errore vacare videntur quae addit: ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα, quae potius Ναοτευκτικοῖς inserta fuisse ex argumenti similitudine suspicor."

Fr. 230 recte Hermann sic constituit:

Ἔστιν ὕδωρ ψυχῇ, ψυχὴ δ' ὑδάτεσσιν ἀμοιβή·
ἐκ δ' ὕδατος μὲν γαῖα, τὸ δ' ἐκ γαίης πάλιν ὕδωρ·
ἐκ τοῦ δὲ ψυχὴ ὁδὸν αἰθέρος ἀλλάσσουσα.

τοῦ ψεύδους ἀνθελέσθαι τὴν ἀλήθειαν, φάναι τε οὕτω περὶ θεοῦ· Φθέγξομαι οἷς θέμις ἐστί . . . (fragm. 4).

231.

Pausanias IX 30. 12: *Ὅστις δὲ περὶ ποιήσεως ἐπολυπραγμόνησεν ἤδη, τοὺς Ὀρφέως ὕμνους οἶδεν ὄντας ἕκαστόν τε αὐτῶν ἐπὶ βραχύτατον, καὶ τὸ σύμπαν οὐκ ἐς ἀριθμὸν πολὺν πεποιημένους· Λυκομίδαι δὲ ἴσασί τε καὶ ἐπᾴδουσι τοῖς δρωμένοις. κόσμῳ μὲν δὴ τῶν ἐπῶν δευτερεῖα φέροιντο ἂν μετά γε Ὁμήρου τοὺς ὕμνους, τιμῆς δὲ ἐκ τοῦ θείου καὶ ἐς πλέον ἐκείνων ἔχουσιν.*

232.

Pausanias IX 27. 2: *Ὠλῆνος δὲ ὕστερον Πάμφως τε ἔπη καὶ Ὀρφεὺς ἐποίησαν· καί σφισιν ἀμφοτέροις πεποιημένα ἐστὶν ἐς Ἔρωτα, ἵνα ἐπὶ τοῖς δρωμένοις Λυκομίδαι καὶ ταῦτα ᾄδωσιν· ἐγὼ δὲ ἐπελεξάμην* . . . . *ἀνδρὶ ἐς λόγους δᾳδουχοῦντι καὶ τῶν μὲν οὐ πρόσω ποιήσομαι μνήμην.*

233.

Menander de Encom. 2, p. 31: *φυσικοὶ δέ* (*ὕμνοι*), *οὓς οἱ περὶ Παρμενίδην καὶ Ἐμπεδοκλέα ἐτίμησαν, τίς ἡ τοῦ Ἀπόλλωνος φύσις, τίς ἡ τοῦ Διός, παρατιθέμενοι· καὶ οἱ πολλοὶ τῶν Ὀρφέως τούτου τοῦ τρόπου* — — — — (5, p. 41:) *Ἐπιτηρεῖν δὲ χρὴ καὶ μὴ εἰς τὸν πολὺν ὄχλον καὶ δῆμον ἐκφέρειν τοὺς τοιούτους ὕμνους· ἀπιθανώτεροι γὰρ καὶ καταγελαστικώτεροι τοῖς πολλοῖς φαίνονται.*

234.

Aristides Or. IV 1: *Τοὺς μὲν οὖν τελέους ὕμνους τε καὶ λόγους περὶ Διονύσου Ὀρφεῖ καὶ Μουσαίῳ παρῶμεν καὶ τοῖς ἀρχαίοις τῶν ὑμνοθετῶν, αὐτοὶ δὲ ὡσπερεὶ συμβόλου χάριν, ὡς οὐ τῶν ἀμυήτων ἄρ' ἦμεν, συμμέτρῳ τῇ φωνῇ προσείπωμεν τὸν θεόν.*

235.

Macrobius Sat. I 23, 22: Solem esse omnia et Orpheus testatur his versibus:

Κέκλυθι τηλεπόρου δίνης ἑλικαυγέα κύκλον
οὐρανίαις στροφάλιγξι περίδρομον αἰὲν ἑλίσσων,
ἀγλαὲ Ζεῦ Διόνυσε, πάτερ πόντου, πάτερ αἴης,
Ἥλιε παγγενέτορ, πανταίολε, χρυσεοφεγγές.

236.

Proclus in Plat. Polit. p. 385: *Τὰ δάκρυα τῆς εἰς τὰ θνητὰ προνοίας αὐτῶν καὶ ἐπίκηρα πράγματα συνθήματά ἐστιν, ὁ δὲ γέλως τῆς εἰς τὰ ὅλα καὶ ὡσαύτως κινούμενα πληρώματα τοῦ παντὸς ἐνεργείας· διόπερ οἶμαι καὶ τὸν μὲν γέλωτα τῇ γενέσει τῶν θείων, τὰ δὲ δάκρυα τῇ συστάσει τῶν ἀνθρώπων ἢ ζῴων ἀπονέμομεν·*

Δάκρυα μὲν σέθεν ἐστὶ πολυτλῆμον γένος ἀνδρῶν,
μειδῆσαν δὲ θεῶν ἱερὸν γένος ἐβλάστησε.

Cf. Proclus in Plat. Polit. p. 384: *Δάκρυα, πολυτλήμων γένος ἀνδρῶν' φησί τις τὸν ἥλιον ὑμνῶν.* Proclus in Plat. Tim. I p. 35 C: *Φερόμενον δ' οὖν τὸν Φαέθοντα περὶ γῆν καὶ τρόπον τινὰ δαιμονιώδη φλέγοντα ἐκείνους τοὺς τόπους οἷς ἂν πλησιάσῃ διὰ τοῦ πυρίου ῥεύματος — — ἐθρήνουν αἱ Ἡλιάδες — — — καὶ οἱ θεολόγοι δὲ τὴν Ἡλιακὴν πρόνοιαν καὶ εἰς τὰ θνητὰ διὰ τῶν δακρύων σημαίνουσι· δάκρυα μὲν σέθεν ἐστὶ πολυτλήτων γένος ἀνδρῶν.*

237.

Clemens Alex. Strom. V 257 B: *Ἤδη δὲ καὶ Ὅμηρος φαίνεται Πατέρα καὶ Υἱὸν διὰ τούτων, ὡς ἔτυχε μαντείας εὐστίχου, λέγων· — — — Καὶ πρὸ τούτου Ὀρφεὺς κατὰ τοῦ προκειμένου φερόμενος εἴρηκεν·*

Υἱὲ Διὸς μεγάλοιο, πάτερ Διὸς αἰγιόχοιο·

238. 239.

Clemens Alex. Strom. V p. 259 AB: *Πάλιν ὅταν εἴπῃ* (Orpheus)·

Αἰθέρος ἠδ' Ἀίδου, πόντου γαίης τε τύραννε,
ὃς βρονταῖς σείεις βριαρὸν δόμον Οὐλύμποιο·
δαίμονες ὃν φρίσσουσι, θεῶν δὲ δέδοικεν ὅμιλος,

ᾧ Μοῖραι πείθονται, ἀμείλικτοί περ ἐοῦσαι·
ἄφθιτε μητροπάτωρ, οὗ θυμῷ πάντα δονεῖται·
ὃς κινεῖς ἀνέμους, νεφέλῃσι δὲ πάντα καλύπτεις,
πρηστῆρσι σχίζων πλατὺν αἰθέρα· σὴ μὲν ἐν ἄστροις
τάξις, ἀναλλάκτοισιν ἐφημοσύνῃσι τρέχουσα·
σῷ δὲ θρόνῳ πυρόεντι παρεστᾶσιν πολύμοχθοι
ἄγγελοι, οἷσι μέμηλε, βροτοῖς ὡς πάντα τελεῖται.
σὸν μὲν ἔαρ λάμπει νέον ἄνθεσι πορφυρέοισι,
σὸς χειμὼν ψυχρῇσιν ἐπερχόμενος νεφέλῃσι.
σός ποτε βακχευτὴς Βρόμιος διένειμεν ὀπώρας.

εἶτα ἐπιφέρει ῥητῶς παντοκράτορα ὀνομάζων τὸν θεόν·

ἄφθιτον, ἀθάνατον, ῥητὸν μόνον ἀθανάτοισιν.
ἐλθέ, μέγιστε θεῶν πάντων, κρατερῇ σὺν ἀνάγκῃ,
φρικτός, ἀήττητος, μέγας, ἄφθιτος, ὃν στέφει αἰθήρ.

διὰ μὲν τοῦ *μητροπάτωρ* οὐ μόνον τὴν ἐκ μὴ ὄντων γένεσιν ἐμήνυσε, δέδωκε δὲ ἀφορμὰς τοῖς τὰς προβολὰς εἰσάγουσι, τάχα καὶ σύζυγον νοῆσαι τοῦ θεοῦ· παραφράζει δὲ ἐκείνας τὰς προφητικὰς γραφάς, τήν τε Ἡσαΐου· *Ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, οὗ αἱ χεῖρες τὴν στρατιὰν τοῦ οὐρανοῦ ἐθεμελίωσαν*· καὶ τὴν διὰ Μωϋσέως etc.

XIX. ΦΥΣΙΚΑ.

240.

Suidas s. v. Τριτοπάτορες: Δήμων ἐν τῇ Ἀτθίδι φησὶν ἀνέμους εἶναι τοὺς Τριτοπάτορας· Φιλόχορος δὲ τοὺς Τριτοπάτρεις πάντων γεγονέναι πρώτους· τὴν μὲν γὰρ Γῆν καὶ τὸν Ἥλιον, φησίν, ὃν καὶ Ἀπόλλωνα τότε καλεῖν, γονεῖς αὐτῶν ἠπίσταντο οἱ τότε ἄνθρωποι, τοὺς δὲ ἐκ τούτων τρίτους πατέρας. Φανόδημος δὲ ἐν ἕκτῳ φησίν, ὅτι μόνοι Ἀθηναῖοι θύουσί τε καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν γαμεῖν μέλλωσιν. ἐν δὲ τῷ Ὀρφέως Φυσικῷ ὀνομάζεσθαι τοὺς Τριτοπάτορας Ἀμαλ-

---

Fr. 238, 8 ἐφημοσύναισι, 12 ψυχραῖσιν ἐπ. νεφέλαισι(ν) codd., corr Abel. — 13 σός Lobeck] ἄς. — βακχευτής Jos. Scaliger] βακχευτάς.

κείδην καὶ Πρωτοκλέα καὶ Πρωτοκρέοντα[1]) θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων. ὁ δὲ τὸ Ἐξηγητικὸν ποιήσας Οὐρανοῦ καὶ Γῆς φησιν αὐτοὺς εἶναι· ὀνόματα δὲ αὐτῶν Κόττον, Βριάρεων καὶ Γύγην. Cf. Photius: Τριτοπάτωρ Τριτοπάτρεις· οἱ μὲν ἀνέμους, Φιλόχορος δὲ τοὺς πρώτους ἐκ Γῆς καὶ Οὐρανοῦ, ἄρξαντας δὲ γενέσεως. ἐν δὲ τοῖς Ὀρφικοῖς ἀνέμων παῖδας. Et Schol. Mediol. Od. κ. 2: Αἴολον ἐμυθεύσαντο εἶναι δεσπότην ἀνέμων. ὁμοίως δὲ καὶ τὸν Ἀμακλείδην καὶ Πρωτοκλῆ καὶ Πρωτοκρέοντα, ὥς φησιν Ὀρφεύς.

241.

Aristot. De anim. I 5 p. 485 B: Τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς ἔπεσι καλουμένοις λόγος· φησὶ γὰρ τὴν ψυχὴν ἐκ τοῦ ὅλου εἰσιέναι ἀναπνεόντων, φερομένην ὑπὸ τῶν ἀνέμων. Cf. Philoponum ad h. l.: Λεγομένοις εἶπεν, ἐπειδὴ μὴ δοκεῖ Ὀρφέως εἶναι τὰ ἔπη, ὡς καὶ αὐτὸς ἐν τῷ περὶ φιλοσοφίας λέγει· αὐτοῦ μὲν γάρ εἰσι τὰ δόγματα, ταῦτα δέ φησιν Ὀνομάκριτον ἐν ἔπεσι κατατεῖναι. λέγει οὖν ἐκεῖ ὅτι ἡ ψυχὴ ὑπὸ τῶν ἀνέμων ἐκ τοῦ παντὸς φερομένη ἀναπνεῖται ὑπὸ τῶν ζῴων, ὥστε καὶ οὗτος ὁ λόγος οὐ περὶ πάσης ψυχῆς λέγει· οὐ γὰρ πάντα ἀναπνεῖ τὰ ἔμψυχα. — — — φασὶ δὲ αἰνίττεσθαι τὰ ἔπη διὰ μὲν τῆς ἀναπνοῆς τὴν ἐπιτηδειότητα τοῦ δεξομένου τὴν ψυχὴν σώματος, διότι ἡ ἀναπνοὴ καταψύχουσα τὸ ἔμφυτον θερμὸν εἰς συμμετρίαν ἄγει, τοὺς δὲ ἀνέμους φασὶ δυνάμεις τινὰς σημαίνειν, δι᾿ ὧν κατάγεται ἡ ψυχὴ εἰς γένεσιν ἐκ τῆς ὁλικῆς ἐνεργείας, ἣν ἐνεργεῖ τοῦ μερικοῦ σώματος τούτου καὶ τῆς γενέσεως ἀπηλλαγμένη. Simplicius Comment. p. 72 ed. Hayduck: Ἔοικε δὲ ὁ Ὀρφεὺς τὴν μὲν τῶν σωμάτων πρὸς ζωὴν ἐπιτηδειότητα ἀναπνοὴν καλεῖν, τὰς δὲ ὁλικὰς κινητικὰς αἰτίας ἀνέμους, ὧν οὐκ ἄν ποτε χωρὶς αἱ μερικαὶ ψυχώσειαν τὰ ἐπιτήδεια σώματα. Iamblichus de anima ap. Stob. Ecl. Phys. I 41. 38: Οἱ μὲν δὴ μίαν οὐσίαν τῆς ψυχῆς ἀριθμῷ τιθέμενοι, πληθύοντες δὲ αὐτὴν ἢ ὡς Ἀμέλιος οἴεται σχέσεσι καὶ κατατάξεσιν, ἢ ὡς οἱ Ὀρφικοὶ

[1]) Πρωτοκρ. pro Πρωτοκλ. ex Schol. Med. ad Od. κ. 2, Photio, Tzetza, Etym. M., Phavorino recepi.

λέγουσιν ἐπιπνοίαις ἀπὸ τῆς ὅλης, ἔπειτα ἀναχέοντες ἀπὸ τοῦ πλήθους τῆς ὅλης ἐπὶ τὴν μίαν ψυχὴν ἀποθεμένης τὰς σχέσεις καὶ τὰς εἰς ἕτερον κατατάξεις καὶ ἀναλύοντες ἀπὸ τῆς εἰς τὰ μεταλαβόντα διαιρέσεως ἀπολυομένης τῆς τῶν μετασχόντων ἀπολήψεως, τηροῦσιν αὐτὴν ὅλην πανταχοῦ τὴν αὐτὴν μίαν οὐσίαν τε αὐτῇ διδόασι καθ' ἓν πεπερασμένην. Iamblichus De anima ap. Stob. Ecl. I 49, 32: *τινὲς δὲ τῶν φυσικῶν — — — τὴν ψυχὴν ἀπὸ τοῦ ἀναψύχεσθαι ὑπὸ τοῦ ψυχροῦ ὠνομάσθαι ἀποφαίνονται καὶ ἅμα ἐπ' ἀμφοτέρων [ἢ] τὸν ἀναπνεόμενον ἀέρα ψυχὴν νομίζουσιν, ὥσπερ Ἀριστοτέλης μὲν ἐν τοῖς Ὀρφικοῖς ἔπεσί φησι λέγεσθαι τὴν ψυχὴν εἰσιέναι ἐκ τοῦ ὅλου ἀναπνεόντων ἡμῶν φερομένην ὑπὸ τῶν ἀνέμων. ἔοικέ γε μὴν αὐτὸς ὁ Ὀρφεὺς χωρὶς ὑπολαμβάνειν εἶναι καὶ μίαν τὴν ψυχήν, ἀφ' ἧς πολλὰς μὲν εἶναι διαιρέσεις, πολλὰς δὲ καὶ ἀμέσους ἐπιπνοίας καθήκειν ἐπὶ τὰς μεριστὰς ψυχὰς ἀπὸ τῆς ὅλης ψυχῆς.* Cf. Themistii Paraphrases Aristotelis librorum quae supersunt vol. II p. 64 ed. Spengel: *Τοῦτο δὲ πέπονθε καὶ ὁ λόγος ὁ λεγόμενος ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσι· φησὶ γὰρ τῆς ψυχῆς μεταλαμβάνειν τὰ ζῷα παρὰ τὴν πρώτην ἀναπνοήν.*

XX. *Χρησμοί.*

242.

Schol. ad Eurip. Alc. 968: *Καὶ ποιητὴς καὶ μάντις ἦν ὁ Ὀρφεύς. Φιλόχορος ἐν πρώτῳ περὶ μαντικῆς ἐκτίθησιν αὐτοῦ ποιήματα ἔχοντα οὕτως·*

Οὔτοι ἀριστερός εἰμι θεοπροπίας ἀποειπεῖν,
ἀλλά μοι ἐν στήθεσσιν ἀληθεύουσι μέριμναι.

ὁ δὲ φυσικὸς Ἡράκλειτος εἶναι ὄντως φησὶ σανίδας τινὰς Ὀρφέως γράφων οὕτως· τὸ δὲ τοῦ Διονύσου κατεσκεύασται ἐπὶ τῆς Θρᾴκης ἐπὶ τοῦ καλουμένου Αἵμου, ὅπου δή τινας ἐν σανίσιν ἀναγραφὰς εἶναί φασιν. Cf. Clem. Alex. Strom. I

Fr. 242, 2 *μέριμναι* Cobet] *μέλαινα.*

p. 400: *Ὀρφέα Φιλόχορος μάντιν ἱστορεῖ γενέσθαι ἐν τῷ α' περὶ μαντικῆς.*

XXI. Incertae Sedis Fragmenta.

I. De aetatibus mundi et de saeculorum conversionibus.

243.

Lactantius Instit. I 13, 11: Orpheus qui temporibus eius recentior fuit aperte Saturnum in terra et apud homines regnasse commemorat:

Πρώτιστος μὲν ἄνασσεν ἐπιχθονίων Κρόνος ἀνδρῶν,
ἐκ δὲ Κρόνου γένετ' αὖτις ἄναξ μέγας εὐρύοπα Ζεύς.

244.

Proclus in Hes. ἐκή v. 126: *Ὁ μὲν Ὀρφεὺς τοῦ ἀργυροῖ γένους βασιλεύειν φησὶ τὸν Κρόνον τοὺς κατὰ τὸν καθαρὸν λόγον ζῶντας ἀργυροῦς λέγων, ὥσπερ τοὺς κατὰ νοῦν μόνον χρυσοῦς· ὁ δὲ Ἡσίοδος τὸ ἀργυροῖν γένος ποιεῖ ῥᾴθυμον.*

245.

Proclus Theol. Plat. V 10, 264: *Τῶν δὲ θεολόγων τὸ ἀγήρων τῇ τάξει ταύτῃ (τῇ Κρονίᾳ) προσήκειν λεγόντων ὥς οἵ τε βάρβαροί φασι καὶ ὁ τῶν Ἑλλήνων θεολόγος Ὀρφεύς (καὶ γὰρ οὗτος ἀεὶ μελαίνας τὰς τοῦ Κρονίου προσώπου τρίχας μυστικῶς λέγει καὶ μηδαμῶς γίγνεσθαι πολιάς) θαυμάζω κτλ.* — — (dehinc exposita Platonis sententia de Saturni periodo addit:) *ὁ δέ γε Ὀρφεὺς τὰ τούτοις ὅμοια περὶ τοῦ θεοῦ τούτου διατάττεται·*

— — — ὑπὸ Ζηνὶ Κρονίωνι
ἀθάνατόν τ' αἰῶνα λαχεῖν καθαροῖο γενείου
καὶ διερὰς χαίτας εὐώδεας, οὐδέ τι πάμπαν
γήραος ἠπεδανοῖο μιγήμεναι ἄνθεϊ λευκῷ,
ἀλλὰ περὶ κροτάφοισιν ἔχειν ἐριθηλέα λάχνην.

Fr. 245, 1 Versum mutilum Mullach verbis *ἀλλὰ Κρόνον φάσκουσι* supplevit. — 2 *τ'* Düntzer addidit. — *λαχεῖν* Hermann] *καμεῖν.* — 3 *καὶ* et *τι* Gesner, *πάμπαν* Herwerden addidit. Verba *διερὰς χαίτας εὐώδεας οὐδὲ* in codice versum claudunt. — 4 *γήραος* Gesner addidit. — 5 *ἀλλὰ π. κρ. ἔχειν* add. Hermann, qui *ἀλλ'* ante *ἐριθηλέα* delevit.

Cf. Proclus ad Hes. ἐκῇ v. 113: *Καὶ γὰρ τὸν Κρόνον ἀεὶ μελαίνας ἔχειν τὰς ἐπὶ τοῦ γενείου τρίχας φησὶν Ὀρφεύς· Πλάτων δὲ* (Polit. p. 270 D sqq.) *τοὺς ἐπὶ τῆς Κρονίας περιόδου ἀποβάλλειν φησὶ τὸ γῆρας καὶ ἀεὶ γίνεσθαι νεωτέρους.*

246.

Plutarchus Sympos. VIII 4, 2: *Ὁ δὲ φοῖνιξ μακρόβιόν ἐστιν ἐν τοῖς μάλιστα τῶν φυτῶν, ὥς που καὶ τὰ Ὀρφικὰ ταῦτα μεμαρτύρηκε·*

ζῶον δ' ἴσον ἀκροκόμοισι
φοινίκων ἔρνεσσι.

247.

Sextus Empir. adv. Mathem. II 31 (et IX 15): *Οἱ γὰρ νόμοι πόλεών εἰσι σύνδεσμοι, καὶ ὡς ψυχὴ σώματος ἐκφθαρέντος φθείρεται, οὕτω νόμων ἀναιρεθέντων καὶ αἱ πόλεις διόλλυνται· παρὸ καὶ ὁ ἠθολόγος Ὀρφεὺς τὸ ἀναγκαῖον αὐτῶν ὑποφαίνων φησίν·*

Ἦν χρόνος, ἡνίκα φῶτες ἀπ' ἀλλήλων βίον εἶχον
σαρκοδακῆ, κρείσσων δὲ τὸν ἥσσονα φῶτα δάιζε.

μηδενὸς γὰρ ἐπιστατοῦντος νόμου, ἕκαστος ἐν χερσὶ τὸ δίκαιον εἶχε.

248.

Servius ad Verg. Ecl. IV 10: Nigidius de diis l. IV.: Quidam deos et eorum genera temporibus et aetatibus dispescunt, inter quos et Orpheus, primum regnum Saturni, deinde Iovis, tum Neptuni, inde Plutonis; nonnulli etiam ut magi aiunt Apollinis fore regnum. In quo videndum, ne ardorem, sive illa ecpyrosis appellanda est, dicant.

249.

Censorinus de die natali c. 18, 11: Cuius (magni) anni hiemps summa est cataclysmos, quam nostri diluvionem vocant, aestas autem ecpyrosis, quod est mundi incendium. Hunc Aristarchus putavit esse annorum vertentium IICCCCLXXXIIII,

---

Fr. 247, 2 *ἥσσονα* Abel] *ἥττονα.*

Aretes Dyrrachinus V$\overline{\text{DLII}}$, Heraclitus et Linus X$\overline{\text{DCCC}}$, Dion X$\overline{\text{DCCCLXXXIIII}}$, Orpheus CXX, Cassandrus tricies sexies centum milium.

250.

Plutarchus de def. Orac. c. XII: *Καὶ ὁ Κλεόμβροτος· ἀκούω ταῦτ', ἔφη, πολλῶν καὶ ὁρῶ τὴν Στωικὴν ἐκπύρωσιν ὥσπερ τὰ Ἡρακλείτου καὶ Ὀρφέως ἐπινεμομένην ἔπη, οὕτω καὶ τὰ Ἡσιόδου καὶ συνεξαπατῶσαν.*

2. Orphei Symbola.

251. 252.

Clemens Alex. Strom. V p. 242: *Ἀλλὰ καὶ Διονύσιος ὁ Θρᾷξ ὁ γραμματικὸς ἐν τῷ περὶ τῆς ἐμφάσεως τοῦ περὶ τῶν τροχίσκων συμβόλου φησὶ κατὰ λέξιν· ἐσήμαινον γοῦν οὐ διὰ λέξεως μόνον, ἀλλὰ καὶ διὰ συμβόλων ἔνιοι τὰς πράξεις· διὰ λέξεως μέν, ὡς ἔχει τὰ λεγόμενα Δελφικὰ παραγγέλματα, τὸ Μηδὲν ἄγαν καὶ τὸ Γνῶθι σαυτὸν καὶ τὰ τούτοις ὅμοια· διὰ δὲ συμβόλων, ὡς ὅ τε τροχὸς ὁ στρεφόμενος ἐν τοῖς τῶν θεῶν τεμένεσιν, εἱλκυσμένος παρὰ Αἰγυπτίων· καὶ τὸ τῶν θαλλῶν τῶν διδομένων τοῖς προσκυνοῦσι. φησὶ γὰρ Ὀρφεὺς ὁ Θρᾴκιος·*

Θαλλοῖς δ' ἶσα βροτοῖσιν ἐνὶ φρεσὶν ἔργα μέμηλεν.
οὐδὲν ἔχει μίαν αἶσαν ἐπὶ χθονός, ἀλλὰ κυκλεῖται
πάντα πέριξ· στῆναι δὲ καθ' ἓν μέρος οὐ θέμις ἐστίν,
ἀλλ' ἔχει, ὡς ἤρξαντο, δρόμου μέρος ἶσον ἕκαστος.

οἱ θαλλοὶ ἤτοι τῆς πρώτης τροφῆς σύμβολον ὑπάρχουσιν, ἢ ὅπως ἐπίστωνται οἱ πολλοὶ τοὺς μὲν καρποὺς δι' ὅλου θάλλειν καὶ αὔξεσθαι διαμένοντας ἐπὶ πλεῖστον· σφᾶς δὲ αὐτοὺς ὀλίγον εἰληχέναι τὸν τῆς ζωῆς χρόνον· τούτου χάριν δίδοσθαι τοὺς θαλλοὺς βούλονται· ἴσως δὲ καὶ ἵνα ἐπίστωνται, ὅτι, ὡς οὗτοι εὖ καίονται, οὕτω καὶ τοὺς εἰς τοῦτον τὸν βίον ἥκοντας ταχέως ἐκλιπεῖν καὶ πυρὸς ἔργον γενήσεσθαι. χρησιμώτατον ἄρα τὸ τῆς συμβολικῆς ἑρμηνείας εἶδος εἰς πολλά, καὶ πρὸς τὴν ὀρθὴν θεολογίαν συνεργοῦν, καὶ πρὸς εὐσέβειαν καὶ πρὸς

Fr. 251, 1 *θαλλοῖς* Mullach] *θαλλᾶν.* — *ἶσα* Lobeck] *ὅσσα.* — *ἐνὶ φρεσὶν* Lobeck] *ἐπὶ χθονός.* — 2 *ἐπὶ χθονός* Lobeck] *ἐπὶ φρεσίν.*

ἐπίδειξιν συνέσεως καὶ βραχυλογίας ἄσκησιν καὶ σοφίας ἔνδειξιν. σοφοῦ γὰρ τὸ χρῆσθαι τῇ συμβολικῇ φράσει, δεξιῶς φησιν ὁ γραμματικὸς Δίδυμος, καὶ τὸ γνωρίσαι τὸ διὰ ταύτης δηλούμενον. καὶ μὴν ἡ στοιχειωτικὴ τῶν παίδων διδασκαλία τὴν τῶν τεττάρων στοιχείων περιείληφεν ἑρμηνείαν. βέδυ μὲν γὰρ τοὺς Φρύγας τὸ ὕδωρ φησὶ καλεῖν, καθὰ καὶ Ὀρφεύς·

Καὶ βέδυ νυμφάων καταλείβεται ἀγλαὸν ὕδωρ.

253.

Clem. Alex. Strom. V p. 244 B: *Τί δ'; οὐχὶ καὶ Ἐπιγένης ἐν τῷ περὶ τῆς Ὀρφέως ποιήσεως τὰ ἰδιάζοντα παρ' Ὀρφεῖ ἐκτιθέμενος, φησί, κερκίσι καμπυλόχρωσι*[1]) *τοῖς ἀρότροις μηνύεσθαι, στήμοσι δὲ τοῖς αὔλαξι, μίτον δὲ τὸ σπέρμα ἀλληγορεῖσθαι· καὶ δάκρυα Διὸς τὸν ὄμβρον δηλοῦν, Μοίρας τε αὖ τὰ μέρη τῆς σελήνης, τριακάδα καὶ πεντεκαιδεκάτην καὶ νουμηνίαν· διὸ καὶ λευκοστόλους αὐτὰς καλεῖν τὸν Ὀρφέα, φωτὸς οὔσας μέρη. πάλιν ἄνθιον μὲν τὸ ἔαρ διὰ τὴν φύσιν, ἀργίδα δὲ τὴν νύκτα διὰ τὴν ἀνάπαυσιν, καὶ Γοργόνιον τὴν σελήνην διὰ τὸ ἐν αὐτῇ πρόσωπον, Ἀφροδίτην δὲ τὸν καιρόν, καθ' ὃν δεῖ σπείρειν, λέγεσθαι παρὰ τῷ θεολόγῳ. τοιαῦτα καὶ οἱ Πυθαγόρειοι ᾐνίσσοντο, Φερσεφόνης μὲν κύνας τοὺς πλανήτας, Κρόνου δὲ δάκρυον τὴν θάλασσαν ἀλληγοροῦντες· καὶ μυρία ἐπὶ μυρίοις εὕροιμεν ἂν ὑπό τε φιλοσόφων ὑπό τε ποιητῶν αἰνιγματωδῶς εἰρημένα.*

5. Fragmenta Miscellanea.

254.

Plato Legg. II 669 D: *Ποιηταὶ δ' ἀνθρώπινοι σφόδρα τὰ τοιαῦτα ἐμπλέκοντες καὶ συγκυκῶντες ἀλόγως γέλωτ' ἂν παρασκευάζοιεν τῶν ἀνθρώπων ὅσους φησὶν Ὀρφεὺς λαχεῖν ὥραν τῆς τέρψιος.*[2])

255.

Schol. Pind. Isthm. VIII 91: *Ἐφιλονείκησαν Ποσειδῶν τε καὶ Ζεὺς περὶ Αἰγίνης, ὅτε καὶ μετακαλεῖν δοκεῖ τὴν νῆσον Ποσειδῶν, καθὰ ἄλλοι τέ φασι καὶ Πυθαίνετος προσαγόμενος Ὀρφέα.*

[1]) *καμπυλόχοισι* Lobeck ex Hesychio. — [2]) „Orphei sententia huius modi fuisse videtur:

ὅσσοι

ἥβης μέτρον ἵκοντο, λάχον δέ τε τέρψιος ὥρην." Lobeck p. 948.

256.

Schol. Pind. Pyth. III 96 (Schol. Eurip. Alc. 1, Apollod. Bibl. III 10, 12): *Λέγεται δὲ ὁ Ἀσκληπιὸς χρυσῷ δελεασθεὶς ἀναστῆσαι Ἱππόλυτον τεθνηκότα· οἱ δὲ Τυνδάρεων, ἕτεροι Καπανέα, οἱ δὲ Γλαῦκον, οἱ δὲ Ὀρφικοὶ Ὑμέναιον.*

257.

Schol. Apoll. Rhod. II 946: (*Σινώπη*) *ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται· κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης· κατ' Εὔμηλον καὶ Ἀριστοτέλην Ἀσωποῦ.*

258. 259.

Schol. Apoll. Rhod. III 1: *Τινὲς μὲν οὖν ὅτι εὑρέτις ὀρχήσεως ἐν τοῖς Ὀρφικοῖς παραδέδοται ἡ Ἐρατώ.* — — — *ὅτι δὲ θαλιῶν εἰσι προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται·*

Οὐδέ τι λήθονται Μουσέων βροτοί· αἳ γὰρ ἔασι
κοίρανοι, ᾗσι μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί.

260.

Schol. Apoll. Rhod. III 467: *Πότνα θεὰ Περσηΐ*] *Τινὲς αὐτήν φασι Διὸς εἶναι παῖδα. ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται·*

Καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.

Βακχυλίδης δὲ Νυκτός φησιν αὐτὴν θυγατέρα· Ἑκάτα δᾳδοφόρε, Νυκτὸς μεγαλοκόλπου θύγατερ. Μουσαῖος δὲ Ἀστερίας καὶ Διός, Φερεκύδης δὲ Ἀρισταίου τοῦ Παίονος. Cf. fr. 216.

261.

Schol. Eurip. Hec. 3: *Τὰ περὶ τοῦ ὀνόματος τῆς Ἑκάβης διαφόρως ἱστόρηται. Φιλόχορος μὲν γὰρ ἐν τῷ περὶ τραγῳδιῶν συγγράφων Χοιρίλην αὐτήν φησι καλεῖσθαι, ἴσως δὲ διὰ τὸ πολύπαιδα γεγενῆσθαι. ἡ γὰρ χοῖρος πολλὰ τίκτει καὶ ἐν τοῖς Ὀρφικοῖς οἱ χοῖροι ἑκάβαι προσαγορεύονται· οἱ δὲ λοιποὶ τῷ κυρίῳ αὐτὴν ὀνόματι προσηγόρευσαν.*

Fr. 259, 1 *λήθονται* Ruhnken] *λήγονται.* — 2 *ᾗσι* Abel] *αἶσι.*

262. 263.

Pausan. I 37, 4: (Athenis) Ὠικοδόμηται δὲ κατὰ τὴν ὁδὸν ναὸς οὐ μέγας, καλούμενος Κυαμίτου· σαφὲς δὲ οὐδὲν ἔχω λέγειν, εἴτε πρῶτος κυάμους ἔσπειρεν οὗτος, εἴτε τινὰ ἐπεφήμισαν ἥρωα ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς Δήμητρα τὴν εὕρεσιν. ὅστις δὲ ἤδη τελετὴν Ἐλευσῖνι εἶδεν ἢ τὰ καλούμενα Ὀρφικὰ ἐπελέξατο οἶδεν ὃ λέγω. Cf. Didymus in Geopon. II 35: Πρῶτος δὲ ἀπέσχετο κυάμων Ἀμφιάραος διὰ τὴν δι᾽ ὀνείρων μαντείαν· φέρεται δὲ καὶ Ὀρφέως τοιάδε ἔπη·

Δειλοί, πάνδειλοι, κυάμων ἄπο χεῖρας ἔχεσθε,

καὶ

Ἶσόν τοι κύαμους τε φαγεῖν κεφαλάς τε τοκήων.[1])

264.

Clemens Alex. Strom. VI p. 263: Ὀρφέως τοίνυν ποιήσαντος·

Ὡς οὐ κύντερον ἦν καὶ ῥίγιον ἄλλο γυναικός,

Ὅμηρος ἄντικρυς λέγει (Od. λ. 427)· Ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.

265.

Didymus Alex. de trinit. II 17, 1, p. 300: Ἀκουστέον καὶ στίχων τῶν παρ᾽ Ἕλλησι μετρίαν περὶ τῆς πρὸς τὸν θεὸν πατέρα συντάξεως τοῦ υἱοῦ λόγου καὶ τοῦ πνεύματος δεξαμένων· — — — Ὀρφέως δὲ τοῦ παρ᾽ Ἕλλησι πρώτου θεολόγου·

Πάντα γὰρ ἀθανάτοιο θεοῦ μεγάλῃ ὑπ᾽ ἀρωγῇ
ἄνθρωποι τελέουσι σοφῇ ὑπὸ πνεύματος ὁρμῇ.

266.

Pollux II 39: Τὸ ἔγκοιλον αὐτοῦ (τοῦ κρανίου) κορυφή, ὃ καὶ μεσόκρανον ἐν τοῖς Ὀρφικοῖς ὀνομάζεται μέτροις.

267.

Servius in Verg. Aen. III 98: (Et nati natorum et qui nascentur ab illis): Sane hic versus Homeri est [Il. Υ 308: Καὶ

[1]) Alii priorem versum Empedocli, posteriorem Pythagorae tribuunt.

παῖδες παίδων, τοί κεν μετόπισθε γένοιντο], quem et ipse de Orpheo sustulit, item Orpheus de oraculo Apollinis Hyperborei.

268.

Servius ad Verg. Georg. I 8: Nam sicut Orpheus docet Acheloum generaliter propter antiquitatem fluminis omnem aquam veteres vocabant.

269.

Servius ad Verg. Georg. II 389: Atheniensibus morbus immissus est talis, ut eorum virgines furore quodam compellerentur ad laqueum. Responditque oraculum sedari posse pestilentiam illam, si Erigones et Icari cadavera requirerentur, quae cum diu quaesita nusquam invenirentur, ad ostendendam suam devotionem Athenienses ut etiam in alieno ea quaerere viderentur elemento, suspenderunt de arboribus funem, ad quem se tenentes homines hac atque illac agitabantur, ut quasi etiam per aërem illorum cadavera quaerere viderentur. Sed cum inde plerique caderent, inventum est, ut formas vel personas ad oris sui similitudinem facerent et eas pro se moverent, unde et oscilla dicta sunt, quod in his cillerentur id est moverentur ora. — — Alii dicunt oscilla membra esse virilia de floribus facta, quae suspendebantur per intercolumnia ita, ut in ea homines acceptis clausis personis impingerent et ea ore cillerent, id est moverent ad risum populo commovendum. Et hoc in Orpheo lectum est. Prudentioribus tamen aliud placet, qui dicunt sacra Liberi Patris ad purgationem animae pertinere; omnis autem purgatio aut per aquam fit aut per ignem aut per aërem.

270.

Hieronymus adv. Iovin. II p. 206: Orpheus in carmine suo esum carnium detestatur.

271.

Fulgentius Myth. III 7: Quod venae, quae in talo sunt, ad renum femorum atque virilium rationem pertineant. — Nam et Orpheus illum esse principalem libidinis indicat locum.

Cf. Mythogr. Vatic. III 11, 24 ed. Bode: Unde et aliquae venae usque ad pollicem tendunt, et Orpheus in talo esse principalem libidinis indicat locum.

272.

Proclus in Plat. Tim. III 158 E: *Διὸ καὶ οἱ θεολόγοι τὴν μὲν εἰς Ἀσκληπιὸν ἀναφέρουσιν ὑγείαν τὴν ἰατρικὴν πᾶσαν τῶν παρὰ φύσιν, εἴτε ἀεὶ τὸ παρὰ φύσιν ἀναστέλλουσαν εἴτε ποτέ, τὴν δὲ πρὸ Ἀσκληπιοῦ γεννῶσι τῇ δημιουργίᾳ συνυφεστῶσαν τῶν πραγμάτων, ἣν παράγουσιν ἀπὸ Πειθοῦς καὶ Ἔρωτος, διότι τὸ πᾶν ἐκ νοῦ καὶ ἀνάγκης ἐστίν.*

273.

Proclus in Plat. Theol. VI 8. 37: *Πρῶτον δὴ τοῦτο κατανοήσωμεν ὅπως καὶ αὐτὸς (ὁ Πλάτων) ὥσπερ Ὀρφεὺς τὸν ἥλιον εἰς ταὐτόν πως ἄγει τῷ Ἀπόλλωνι καὶ ὡς τὴν κοινωνίαν πρεσβεύει· ἐκεῖνος μὲν γὰρ διαρρήδην λέγει καὶ διὰ πάσης τῆς ποιήσεως, ὁ δὲ Ἀθηναῖος ξένος . . .*

274.

Proclus in Plat. Crat. p. 102: *Ἡ μὲν γὰρ (Περσεφόνη) ἑνάς ἐστι τῆς μέσης τριάδος τῶν ἀρχῶν καὶ ζῳογονικὰς προβέβληται δυνάμεις ἀφ' ἑαυτῆς· ὁ δὲ (Ἀπόλλων) τὰς ἡλιακὰς ἀρχὰς εἰς μίαν ἕνωσιν ἐπιστρέφει, κατέχων τὴν τρίπτερον ἀρχὴν ὥς τι λόγιόν φησι. προσεχῆ δὲ τὴν ὑπόστασιν ἔλαχον αἱ ἡλιακαὶ ἀρχαὶ μετὰ τὰς ζῳογονικάς· διὸ καὶ παρ' Ὀρφεῖ ἡ Δημήτηρ ἐγχειρίζουσα τῇ Κόρῃ τὴν βασιλείαν φησίν·*

Αὐτὰρ Ἀπόλλωνος[1]) *θαλερὸν λέχος εἰσαναβᾶσα*
τέξεαι ἀγλαὰ τέκνα πυριφλεγέθοντα προσώποις.

---

[1]) Hunc Apollinem *Ἀπόλλωνα χθόνιον* esse suspicatur Ricardus Foerster collato Proclo ad Plat. Tim. IV 282 D: *Πάντων γὰρ τῶν ἐν Οὐρανῷ θεῶν πρόοδοι γεγόνασιν εἰς τὴν γῆν καὶ ἀποπερατώσεις, καὶ ἔστιν ἐν αὐτῇ πάντα χθονίως, ὅσα ἐν οὐρανῷ οὐρανίως· εἰκότως. καὶ γὰρ ἡ νοερὰ γῆ πάσας ὑποδέχεται τὰς πατρικὰς τοῦ οὐρανοῦ δυνάμεις καὶ ἔχει πάντα γεννητικῶς. οὕτως οὖν καὶ Διόνυσον χθόνιον ἐροῦμεν καὶ Ἀπόλλωνα χθόνιον, ὃς καὶ ὕδατα μαντικὰ πολλαχοῦ τῆς γῆς ἀναδίδωσι καὶ στόμια προφητεύοντα τὸ μέλλον· ἄλλους δὲ τόπους αὐτῆς καθαρτικοὺς ἢ κριτικοὺς ἢ ἰατρικοὺς ἀποτελοῦσιν αἱ εἰς αὐτὴν καθήκουσαι παιώνιοι καὶ κριτικαὶ δυνάμεις.*

275.

Hermias in Plat. Phaedr. p. 105: *Οὐδένα γὰρ ἐνθουσιασμὸν ἄνευ τῆς ἐρωτικῆς ἐπιπνοίας συμβαίνει γίνεσθαι. ὁρᾷς, πῶς Ὀρφεὺς πάσας ἐπιτηδεύσας φαίνεται, ὡς δεομένας καὶ ἐχομένας ἀλλήλων; τελεστικώτατον μὲν γὰρ αὐτὸν καὶ μαντικώτατον παρειλήφαμεν, καὶ ὑπὸ τοῦ Ἀπόλλωνος κινούμενον, ἔτι ποιητικώτατον, ὅν γε δι' αὐτὸ τοῦτο καὶ Καλλιόπης υἱὸν γενέσθαι φασίν. ἐρωτικώτατός τέ ἐστιν, ὡς αὐτὸς λέγων φαίνεται πρὸς τὸν Μουσαῖον καὶ προτείνων αὐτῷ τὰ θεῖα ἀγαθὰ καὶ τελειῶν αὐτόν.*

276.

Syrianus in Aristot. Metaph. II p. 859 b: *Χρόνον δὲ καὶ Ὀρφεὺς τὸ πρῶτον ἐκάλει· ὁ δὲ ὅρκον μὲν τὸ πρῶτον ὡς ἕρκος καὶ φρουρὰν τῶν ἄλλων, τὴν δὲ ἀπ' αὐτοῦ προϊοῦσαν εἰς τὰς δύο τῶν ὅλων ἀρχὰς τελειότητα τὴν μετροῦσαν αὐτῶν τὰς δυνάμεις καὶ τὰς ἐπικρατείας τελείωσιν ὠνόμασε χρόνον, ὡς εἰ ἔλεγε τὴν ἀπὸ τοῦ χρόνου τελείωσιν.*

277.

Simplicius in Aristot. Phys. Auscult. II 4, 5: *Καὶ παρ' Ὀρφεῖ δὲ μνήμης τετύχηκε (ἡ Τύχη).*

278.

Damascius Quaest. de primis principiis p. 289: *Ὁ Ζεὺς τοὺς πολλοὺς ἀφ' ἑαυτοῦ παράγων κατὰ μέρη θεοὺς ἐπὶ τῷ ὁλοτελεῖ μερισμῷ τὴν μεριστικὴν ὁλότητα παρήγαγε καὶ τοὺς ὑπὸ ταύτῃ πολλοὺς τεταγμένους θεούς. ἢ οὐχὶ καὶ τοὺς Τιτᾶνας ὁ Ζεὺς ἐγέννησεν ἐν τῷ οἰκείῳ διακόσμῳ κατὰ τὴν Ὀρφικὴν παράδοσιν;*

279.

Orion Etym. p. 163, 23: *Χεῖρες ἀπὸ τῆς χρήσεως, ὡσανεὶ χρήσιες οὖσαι ἢ χρεῖαι· οὐδεμία γὰρ τέχνη προκόπτει δίχα χειρῶν. Ὀρφεύς·*

Χειρῶν ὀλλυμένων ἔρρει πολύεργος Ἀθήνη.

Fr. 279, 1 ἔρρεν πολυεργὸς Orion., ἔρρει πολύμητιν Ἀθήνην Cedrenus Hist Comp. I p. 144.

Cf. Syncellus Chron. p. 282: *Προμήθειά ἐστιν ἐν ἀνθρώποις ὁ νοῦς· ἑρμηνεύουσι δὲ οἱ Ἀναξαγόρειοι τοὺς μυθώδεις θεούς, νοῦν μὲν τὸν Δία, τὴν δὲ Ἀθηνᾶν τέχνην, ὅθεν καὶ τὸ Χειρῶν ὀλλυμένων ἔρρει πολύμητις Ἀθήνη.*

280.

Fragm. Hermetis Trismegisti apud Stobaeum Ecl. Phys. I cap. 49, 44: *Καὶ παντελῶς μικρὸν τῷ ἐν τούτοις ὑγρῷ [καὶ] κύκλῳ τὸν ἑαυτῶν πρόγονον οὐρανὸν ὁρῶσαι στενάζομεν, ἔστι δ' ὅτε καὶ οὐ βλέψομεν [ἔνθεν Ὀρφεύς·*

τῷ λαμπρῷ βλέπομεν, τοῖς δ' ὄμμασιν οὐδὲν ὁρῶμεν].[1])
ἄθλιαι γὰρ κατεκρίθημεν καὶ τὸ βλέπειν ἡμῖν οὐκ ἀντικρὺς ἐχαρίσθη, ὅτι χωρὶς τοῦ φωτὸς ἡμῖν τὸ ὁρᾶν οὐκ ἐδόθη.

281.

Stobaeus Floril. LXXIX, 28: *Ὀρφέως·*

Ζεὺς δ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας,
ἠδ' ὅσοι οὐκ ἀλέγουσιν, ἀναιδέα θυμὸν ἔχοντες.
καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι,
τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται ἐμμενὲς αἰεί·
δειναὶ γὰρ κατὰ γαῖαν Ἐρινύες εἰσὶ τοκήων.

282.

Lutatius Placidus ad Stat. Theb. IV 516: Iuxta picturam illam veterem in qua haec tormenta descripta sunt et ascensio ad deum, dicit deum Demogorgona summum, cuius nomen scire non licet. Infiniti autem philosophorum magorum, Persae etiam confirmant re vera esse praeter hos deos cognitos, qui coluntur in templis, alium principem et maxime deum ceterorum numinum ordinatorem, de cuius genere sint soli sol et luna; ceteri vero qui circumferuntur astra nominantur, quae eius clarescunt spiritu, maximis in hoc auctoribus Pythagora et Platone et ipso Tagete convenientibus. — Sed cum magi vellent virtutis eius ut putabant sese comprehendere singulas appellationes, has per naturarum potestates abusivo modo designarunt et quasi

---

Fr. 280 *ἔνθεν . . . ὁρῶμεν* seclusit Heeren.

Fr. 281, 4 *ἐμμενὲς αἰεί* Elmsleius] ἐν μὲν ἐς δεῖ (εὐμενίδεσσιν).

plurimorum numinum nobilitate deum appellare conati sunt quasi ab affectu rei cuiusque ductis vocabulis. Sicut Orpheus fecit et Moyses Dei summi antistes et Esaias et his similes.

283. 284.

Tzetzes Exeg. in Il. p. 26: *Εὑρίσκω γὰρ αὐτὸν (Ὅμηρον) ἃ μέν τινα τῶν Ὀρφέως ἐπῶν καθ᾽ ὁλοκληρίαν πρὸς τὴν αὑτοῦ μετοχετεύσαντα ποίησιν, ἕτερα δὲ πάλιν καθ᾽ ἡμίσειαν παρασπάσαντα, ἔστι δ᾽ ἃ καὶ μεταφράσαντα, ἢ καὶ ἄλλην ἄλλως μεταστρέψαντα ποίησιν, ὡς τὸ — — — πρὸς δὲ καὶ τὸ*

ἕκτῃ ἐν ἠριγενεῖ, ῥοδοδακτύλῳ, ἀργυροπέζῃ

— — — *ὁμοίως δὲ καὶ τὸ*

Ζεὺς Κρονίδης βασιλεὺς ὑψίζυγος αἰθέρι ναίων.

285.

Tzetzes Exeg. in Il. p. 127: *Ὁ παλαιὸς γὰρ Ὀρφεὺς* — — — *ἐν ταῖς ἑαυτοῦ Δωδεκαετηρίσιν οὐ νήδυμόν φησιν, ἀλλὰ ἥδυμον, λέγων οὑτωσί· Ὧδε γὰρ ἂν μίμνοι . . . καὶ ἀλλαχοῦ πάλιν φησίν·*

Οὐδέ μ᾽ ἐᾷ γλυκὺν ὕπνον ἐπὶ βλεφάροισιν ἰαύειν,
ἱστάμενος ἁπαλοῖς ἐν ὀνείρασι πᾶσαν ἀν᾽ ὄρφνην.

τὸ δὲ γλυκὺς ταὐτὸν τῷ ἥδυμος. εἰ καὶ τὸν Ὅμηρον δὲ ἐξετάσεις, ἥδυμον εὕρῃς γράφοντα καὶ οὐ νήδυμον.

286.

Tzetzes ad Lycophr. v. 143: *Πλευρὼν γὰρ πόλις Πελοποννήσου καὶ Θεράπνη ὁμοίως· ὅθεν Ὀρφεὺς καὶ Τρυφιόδωρος Θεραπναίαν καλοῦσι τὴν Ἑλένην, οὗτος δὲ ὁ Λυκόφρων Πλευρωνίαν, ὁ δὲ Ὅμηρος Ἀργείαν.*

287.

Pselli scholia in Greg. Naz. ab Jacobo Billio in sermonem latinum conversa, Or. XLII, p. 1131 C. ed. Coloniensis a. 1690: Si Orpheo credimus et Platonicis et Lycio philosopho — — — natura dei ars quaedam est.

Fr. 283, 1 *ἕκτη ἐνήριγεν εἰροδοδακτύλω ἀργυροπέζῃ* cod.

Fr. 285, 1 *οὐδέ μ᾽ ἐᾷ λιγὺν* (*γλυκὺν* Mullach) *ὕπνον* Lobeck] *ὕπνον ὃς οὐκ ἐᾷ με λιγύν.* — 2 *ἐν* Lobeck addidit. — *ὀνείρασι πᾶσαν ἀν᾽* Lobeck] *ὀνείρασιν ἂν πᾶσαν.*

288.

Cramer Anecdd. Oxonn. I p. 39, 14 (Etym. Gud. p. 82): *Ὁ θεολόγος*[1]) *εἰς τὰ ἔπη·*

Καὶ γὰρ ἀγοῦ πίπτοντος ὅλος στρατὸς ἐς χθόνα πίπτει.

---

6. Fragmenta dubia aut falso inter Orphica relata.

289.

Gregorius Naz. in Iulian. Or. III p. 104: *Ὀρφεὺς παρίτω μετὰ τῆς κιθάρας καὶ τῆς πάντα ἑλκούσης ᾠδῆς, ἐπιβρεμέτω Διὶ τὰ μεγάλα καὶ ὑπερφυῆ τῆς θεολογίας ῥήματα καὶ νοήματα·*

Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρῳ,

ὅση τε μηλείη ὅση τε ἵππων ὅση τε ἡμιόνων, ἵν' ἐντεῦθεν, οἶμαι, δειχθῇ τὸ ζῳογόνον τοῦ θεοῦ καὶ φερέσβιον. Cf. Philostr. Heroic. 3, 39: *Ὀρφέα δὲ ἐν πολλοῖς τῶν κατὰ θεολογίαν ὑπερῆρε* (Protesilaus), *Μουσαῖον δ' ἐν ᾠδαῖς χρησμῶν, καὶ μὴν καὶ Παμφὼ σοφῶς μὲν ἐνθυμηθέντος, ὅτι Ζεὺς εἴη τὸ ζῳογονοῦν καὶ δι' οὗ ἀνίσταται τὰ ἐκ τῆς γῆς πάντα, εὐηθέστερον δὲ χρησαμένου τῷ λόγῳ καὶ καταβεβλημένα ἔπη ἐς τὸν Δία ᾄσαντος (ἔστι γὰρ τὰ τοῦ Παμφὼ ἔπη·*[2])

Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρῳ
μηλείῃ τε καὶ ἱππείῃ καὶ ἡμιονείῃ)

τὸν Ὅμηρον ὁ Πρωτεσίλεώς φησιν ἐπάξιον τοῦ Διὸς ᾆσαι ὕμνον·

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων,

ὡς οἰκοῦντος μὲν αὐτοῦ τὸ καθαρώτατον, ἐργαζομένου δὲ ἔμβια τὰ ὑπὸ τῷ αἰθέρι. καὶ τὰς μάχας δὲ ὁπόσαι Ποσειδῶνι μὲν πρὸς Ἀπόλλω, Λητοῖ δὲ πρὸς Ἑρμῆν ἐγένοντο, καὶ ὡς ἐμάχοντο ἡ Ἀθηνᾶ τῷ Ἄρει καὶ ὁ Ἥφαιστος τῷ ὕδατι, ταῦτα τὸν Ὀρφέως τρόπον πεφιλοσοφῆσθαι τῷ Ὁμήρῳ φησί.

---

[1]) Orpheus an Gregorius Nazianzenus? Ceterum *ἐς* Abel pro *εἰς*.

[2]) Pamphi esse hos versus hodie viri docti consentiunt.

290.

Gregorius Naz. in Iulian. Or. III p. 104: *Ὀρφεὺς παρίτω — — καὶ μηδὲ τῆς ἄλλης φειδέσθω μεγαληγορίας·*[1])

Ὣς εἰποῦσα θεὰ δοιοὺς ἀνεσύρατο μηρούς,

ἵνα τελέσῃ τοὺς ἐραστάς, ἃ καὶ νῦν ἔτι τελεῖ τοῖς σχήμασιν. Cf. Nonnus Abbas ad h. l.: *Τούτου τοῦ Ὀρφέως ἔνια ἔπη παρατίθησιν ὁ θεῖος Γρηγόριος, ἅ εἰσι περὶ τοῦ Διὸς εἰρημένα καὶ τῆς Δήμητρος· τοῦ δὲ περὶ τῆς Δήμητρος ἔπους ὁ νοῦς ἐστιν οὗτος· ὅτι ἐπαιρομένη ἡ θεὰ τοὺς ἑαυτῆς μηροὺς ἀνεσύρατο.*

291.

Proclus in Plat. Tim. II 137 C: *Οὕτω δὲ καὶ τὰ λόγια τὸν μέγιστον τοῦτον θεὸν πηγὴν πηγῶν προσαγορεύει καὶ μόνον ἀπογεννῆσαι τὰ πάντα φησίν·*

Ἔνθεν ἄδην θρώσκει γένεσις πολυποικίλου ὕλης,
ἔνθεν συρόμενος πρηστήρ, ἀμυδροῦ πυρὸς ἄνθος,
κόσμων ἐνθρώσκων κοιλώμασι· πάντα γὰρ ἔνθεν
ἄρχεται ἐς τὸ κάτω τείνειν ἀκτῖνας ἀγητάς.

292.

Proclus ad Hes. ἐκἡ v. 126: *Τὸ ἀργύρεον ἔνιοι τῇ γῇ οἰκειοῦσι λέγοντες, ὅτι ἐν τοῖς Μεγάλοις Ἔργοις τὸ ἀργύρεον τῆς Γῆς γενεαλογεῖ.*[2])

293.

Proclus in Plat. Polit. p. 380: *Οἱ θεοὶ πολλὰς ἑαυτῶν προτείνουσι μορφάς, πολλὰ δὲ σχήματα ἐξαλλάττοντες φαίνονται. — — — καὶ ταῦτα καὶ ἡ θεοπαράδοτος μυσταγωγία παραδίδωσι. ταῦτα γάρ φησιν ἐπιφωνήσασα·*

---

[1]) Memoria lapsus primum versum frag. 212, ut videtur, citare voluit. Nonno fides habenda non est.

Fr. 291, 1 *ἄδην* Gesner] *ἄρδην;* — *ἔνθεν ἀποθρώσκει* est apud Damascium, recte, puto. — 2 *ἀμυδροῦ* Gesner] *ἀμυδροῖο.* — 4 *ἐς* Abel] *εἰς.*

[2]) Lobeck Orphei nomen subintellegendum putat, alii hoc fragmentum Hesiodeis annumerant (est fr. 207 ed. Rzach).

Πῦρ ἴκελον σκιρτηδὸν ἐπ' ἠέρος οἶδμα τιταῖνον,
ἢ καὶ πῦρ ἀτύπωτον, ὅθεν φαναὶ προθέουσιν,
ἢ φῶς πλούσιον ἀμφὶ γύην ῥιζαῖον ἑλιχθέν,
ἀλλὰ καὶ ἵππον ἰδεῖν φωτὸς πλέον ἀστράπτοντα,
ἢ καὶ παῖδα θοοῖς νώτοις ἐποχούμενον ἵππου
ἔμπυρον ἢ χρυσῷ πεπυκασμένον ἢ πάλι γυμνὸν
ἢ καὶ τοξεύοντα καὶ ἑστηῶτ' ἐπὶ νώτοις.

294. 295.

Proclus in Plat. Tim. II 124 D: *Οὕτω δὲ καὶ ἡ θεοπαράδοτος θεολογία φησὶ συμπεπληρῶσθαι τὸν κόσμον ἐκ τῶνδε τῶν τριῶν. λέγει γοῦν ἡ ψυχὴ περὶ τοῦ Διὸς ἐπέκεινα τοῦ δημιουργήσαντος τὸ πᾶν·*

Μετὰ δὴ πατρικὰς διανοίας
ψυχὴ ἐγὼ ναίω, θέρμη ψυχοῦσα τὰ πάντα.

κατέθετο γάρ·

Νοῦν μὲν ἐνὶ ψυχῇ, ψυχὴν δ' ἐνὶ σώματι ἀργῷ
ἡμῖν ἐγκατέθηκε πατὴρ ἀνδρῶν τε θεῶν τε.

Cf. Proclus in Plat. Tim. II 97 B: *Κατέθετο γάρ· νοῦν μὲν ἐν ψυχῇ, ἐν ἤματι δὲ ἡμέας ἐγκατέθηκε πατὴρ ἀνδρῶν τε θεῶν τε. τοῦτο δὲ τὸ θαῦμα παρὰ τοῖς Ἕλλησι περὶ τοῦ παρ' αὐτοῖς δημιουργοῦ τεθρυλλημένον. εἰ δὲ ταῦτα ὁμοφώνως λέγεται τῷ Τιμαίῳ καὶ τοῖς λογίοις, πηγαῖός ἐστιν οὗτος δημιουργός, φαῖεν ἂν οἱ ἐκ τῆς θεοπαραδότου θεολογίας ὁρμώμενοι, κατὰ τὰς ἰδέας καὶ αὐτὸς δημιουργῶν τὸν ὅλον κόσμον καὶ ὡς ἕνα καὶ ὡς πολλοὺς καὶ ὡς καθ' ὅλα διῃρημένον καὶ ὡς κατὰ μέρη, καὶ εἷς ὑπό τε Πλάτωνος καὶ Ὀρφέως καὶ τῶν λογίων ποιητὴς καὶ πατὴρ ὑμνεῖται τοῦ παντός, πατὴρ ἀνδρῶν τε θεῶν τε, γεννῶν μὲν τὰ πλήθη τῶν θεῶν, ψυχὰς δὲ πέμπων εἰς γενέσεις ἀνδρῶν, ὡς καὶ τοῦτό φησιν ὁ Τίμαιος.*

Fr. 293, 1 *σκιρτητῇ* et *ἴθμα* coni. Lobeck. — 2 *φωναί* coni. Lobeck. — 3 *ἀμφὶ γύην* Hermann] *ἀμφιγύην*, Lobeck *ἀμφιχύδην* coni. — *ῥοιζαῖον* Lobeck. — 5 *θοοῖς* Gesner] *θεοῖς*. — 6 *ἔμπυρον* Gesner] *ἔλπυρον*. —
Fr. 295, 2 *ἡμῖν* Mullach] *ἡμέας* (*ἡμῶν*).

296. 297. 298.

Proclus in Plat. Tim. I 4 D: *Τοιαύτη δὲ οὖσα προελήλυθεν ὑπὸ τῆς ζῳογόνου θεᾶς·*

Νώτοις δ' ἀμφὶ θεᾶς φύσις ἄπλετος ἠώρηται.[1])

ἀφ' ἧς πᾶσα ζωὴ πρόεισιν ἥ τε νοερὰ καὶ ἡ ἀχώριστος τῶν διοικουμένων, ἐξηρτημένη δ' ἐκεῖθεν καὶ ἀπῃωρημένη φοιτᾷ διὰ πάντων ἀκωλύτως καὶ πάντα ἐμπνεῖ, δι' ἣν τὰ ἀψυχότατα ψυχῆς μετέχει τινός, καὶ τὰ φθειρόμενα μένει διαιωνίως ἐν τῷ κόσμῳ, ταῖς ἐν αὐτῇ τῶν εἰδῶν αἰτίαις συνεχόμενα·

Ἄρχει δ' αὖ φύσις ἀκαμάτη κόσμων τε καὶ ἔργων,

φησὶ τὸ λόγιον,

Οὐρανὸς ὄφρα θέῃ δρόμον ἀίδιον κατασύρων,

καὶ τὰ ἑξῆς.

299.

Proclus in Plat. Tim. V 336 A: *Ὃ γὰρ εἶπε περὶ τῆς μονάδος τῶν νέων θεῶν Ὀρφεύς· Κραῖνε μὲν οὖν Ζεὺς πάντα πατήρ, Βάκχος δ' ἐπέκραινε, τοῦτο καὶ περὶ τῶν νέων θεῶν ῥητέον, ὅτι δὴ τὴν δημιουργίαν ἐπιτελοῦσι τοῦ πατρός, ἣν ἐκεῖνος αὐτῷ τῷ νοεῖν ὑπέστησεν, ὥσπερ δή φησι καὶ τὸ λόγιον·*

Ταῦτα πατὴρ ἐνόησε, βροτὸς δέ οἱ ἐψύχωτο,

καὶ πέπλασται οὖν τὰ θνητὰ καὶ ἐψύχωται κατ' αὐτὴν μόνην τὴν δημιουργικὴν νόησιν· οἱ δὲ νέοι θεοὶ τὴν ὁλικὴν ἐκείνου ποίησιν ἐκφαίνουσι διὰ τῆς ἑαυτῶν ἐκφανοῦς δημιουργίας, πληρούμενοι τῆς δημιουργικῆς μονάδος.

300.

Proclus in Plat. Tim. II 65 B: *Ἐπὶ δὲ ταύταις ἡ ἐμπέλασις (οὕτω γὰρ αὐτὴν καλεῖ τὸ λόγιον·*

Τῷ πυρὶ γὰρ βροτὸς ἐμπελάσας θεόθεν φάος ἕξει)

μείζω τὴν κοινωνίαν ἡμῖν παρεχομένη καὶ τρανεστέραν τὴν μετουσίαν τοῦ τῶν θεῶν φωτός.

---

[1]) „Hunc ut arbitror, praecessit versus a Plethone p. 30 cum inepta interpretatione prolatus: *Λαιῆς ἐν λαγόσιν κοινῆς ἀρετῆς πέλε πηγή.*“ Lobeck I p. 225 sq.

301.

Proclus in Plat. Tim. II 65 D: *Καὶ χρὴ ἀδιαλείπτως ἔχεσθαι τῆς περὶ τὸ θεῖον θρησκείας·*

Δηθύνοντι γὰρ βροτῷ κραιπνοὶ μάκαρες τελέθουσι.

302. 303. 304.

Proclus in Plat. Tim. III 155 E: *Τοῦτον δὲ τὸν μέγιστον καὶ τελειότατον δεσμόν, ὃν περιβάλλει τῷ κόσμῳ πανταχόθεν ὁ πατὴρ ὡς φιλίας ὄντα ποιητικὸν καὶ τῆς ἐναρμονίου κοινωνίας τῶν ἐν αὐτῷ, δεσμὸν πυριβριθῆ ἔρωτος τὰ λόγια προσείρηκεν·*

Ἔργα νοήσας γὰρ πατρικὸς νόος αὐτογένεθλος
πᾶσιν ἐνέσπειρεν δεσμὸν πυριβριθῆ ἔρωτος,

καὶ τὴν αἰτίαν προσέθηκεν·

Ὄφρα τὰ πάντα μένῃ χρόνον εἰς ἀπέραντον ἐρῶντα,
μηδὲ πέσῃ τὰ πατρὸς νοερῷ ὑφασμένα φέγγει.

διὰ γὰρ τοῦτον τὸν ἔρωτα πάντα ἥρμοσται ἀλλήλοις·

Ὧι σὺν ἔρωτι μένῃ κόσμου στοιχεῖα θέοντα.

305.

Proclus in Plat. Crat. p. 85: *Περὶ δὲ τῆς ζῳογόνου πηγῆς Ῥέας, ἐξ ἧς πᾶσα ζωὴ θεία τε καὶ νοερὰ καὶ ψυχικὴ καὶ ἐγκόσμιος ἀπογεννᾶται, οὕτως φασὶ τὰ λόγια·*

Ῥείη τοι νοερῶν μακάρων πηγή τε ῥοή τε·
πάντων γὰρ πρώτη δυνάμει κόλποισιν ἀφράστοις
δεξαμένη γενεὴν ἐπὶ πᾶν προχέει τροχάουσαν.

306.

Olympiod. in Plat. Alcib. I p. 19: *Ἀλλὰ μὴν καὶ ὑλῷοι λέγονται οἱ τήνδε τὴν ὕλην ἐξάπτοντες τῆς τῶν οὐρανίων, καὶ διὰ τοῦτο φρουροῦντες αὐτὴν καὶ μὴ συγχωροῦντες ῥευστὴν οὖσαν, πάντῃ φθείρεσθαι. φησὶ γὰρ καὶ ὁ Ὀρφεύς·*

Ὕλης οὐρανίης καὶ ἀστερίης καὶ ἀβύσσου.

Cf. Oraculum ap. Lydum de mens. III 5:

Νύμφαι πηγαῖαι καὶ ἐνύδρια πνεύματα πάντα,

Fr. 304, 1 *μένῃ* Hermann] *μένει*.

καὶ χθόνιοι κόλποι τε καὶ ἠέριοι καὶ ὕπαυγοι,
μηναῖοι πάσης ἐπιβήτορες ἠδ' ἐπιβῆται
ὕλης οὐρανίας τε καὶ ἀστερίας καὶ ἀβύσσων.

307.

Ignotus Auctor Collect. Chem. in Fabr. Bibl. Gr. XII ed. a. 1740. p. 762: *Ἡ μυστικὴ ἡ τῶν Αἰγυπτίων καὶ Ἱερογραμματέων Αἰγύπτου θεία καὶ ἀληθὴς ἡ τῶν φύσεων συγγένεια τέρπει τὰς ὁμοουσίους φύσεις· τοῦτό ἐστι τὸ Ὀρφαϊκὸν ὁμοούσιον καὶ ἡ Ἑρμαϊκὴ λύρα, ἐν ᾗ ἡ τῶν οὐσιῶν ποθεινή τε καὶ ἐναρμόνιος ἀποτελεῖται συμπλοκή.*

308.

Martyrium Theodoti Ancyrani et Sept. Virg. c. XXIV 124. T. IV Gall.: *Ὀρφεὺς λέγει, ὅτι Ζεὺς τὸν ἴδιον πατέρα ἐφόνευσε καὶ ἔσχε τὴν ἰδίαν μητέρα Ῥέαν, καὶ γεννᾶται ἐξ αὐτῶν ἡ Περσεφόνη, ἣν καὶ αὐτὸς ἐμίανε, καὶ τὴν ἰδίαν ἀδελφὴν ἔσχεν Ἄρτεμιν, ἣν καὶ ἐμίανεν ἐν Δήλῳ παρὰ τῷ βωμῷ, καὶ ὁ Ἄρης τὴν Ἀφροδίτην, καὶ ὁ Ἥφαιστος τὴν Ἀθηνᾶν.*

309.

Joannes Diaconus ad Hes. Theog. 411: *Εὑρίσκω δὲ τὸν αὐτὸν Ὀρφέα καὶ τὴν Τύχην Ἄρτεμιν προσαγορεύοντα, ἀλλὰ καὶ τὴν Σελήνην Ἑκάτην·*

Εἰνοδίην Ἑκάτην κλῄζω τριοδῖτιν ἐραννήν.

καὶ μυρία παρ' Ὀρφεῖ τὰ μεταληπτικῶς ἔχοντα τῶν ὀνομάτων εὑρήσεις.

310.

Mythogr. Vat. III 10, 7 p. 225 sq. ed. Bode: De Minerva etiam dicitur, quod tibias adinvenerit. Quibus cum in convivio deorum concinuisset eiusque tumentes buccas dii omnes irrisissent, illa ad Tritoniam paludem pergens in aqua faciem suam turpem speculata tibias abiecit. Quibus repertis Marsyas canens Apollinem ad certamen provocavit. Midam igitur regem

---

Fr. 309, 1 ἐραννήν Gesner] ἐφανήν. Versus extat in Hymn. Orph. I 1.

indicem elegerunt, quem Apollo, quod iniuste iudicasset, asininis auribus dedecoravit. In criminis sui notam tonsori tantum ostendit, ei, ut taceret, partem pollicens regni. Ille celare nequiens nec palam proferre ausus, terram fodit et in defosso rem dixit et operuit. In eodem loco calamus natus est, unde sibi pastor quidam fistulam fecit, quae percussa: rex, inquit, Midas asininas aures habet. Sic ergo Orpheus in Theogonia scribit.

311.

Marsilius Ficinus de vita coelitus comparanda c. 22: Consideratu dignum est illud Iamblichi, coelestia mundana numina vires quasdam in se superiores, nonnullas inferiores habere. Per has quidem effectibus nos fatalibus devincire, per illas autem vicissim solvere nos a fato, quasi claves, ut inquit Orpheus, ad aperiendum habeant et ad claudendum.

312.

Marsilius Ficinus de vita coel. comp. c. 6: Empedocles, ubi propria unicuique planetarum munera tribuit, Iovem solem generationis principem nominat Orpheum imitatus.

313.

Marsilius Ficinus in Plotin. L. V. Enn. III c. 5: Prima sunt (animalia rationalia) quorum corpora solus est ignis. — Si visibilis, stellae sunt, si invisibilis, daemones. Orpheus igneos vel coelestes appellat, qui in planetarum circulis stellarum vicem teneant sub planeta duce. — — — Quarta, quae tribus iam dictis subtilem adhibeant terram — — — hi ab Orpheo terreni daemones appellantur.

314.

Marsilius Ficinus in Plotin. L. VIII. Enn. IV c. 5: Peccantes gravius vexantur a daemonibus, quod Mercurius et Orpheus Iamblichusque docent.

315.

Marsilius Ficinus Comm. in Plat. Conviv. Or. VI c. XI:

Anima ita corporalis formae blanditiis delinitur, ut propriam posthabeat speciem. — Hinc crudelissimum illud apud Orpheum Narcissi fatum.

316.

Marsilius Ficinus, Comm. in Plat. Conviv. Or. II c. 8: Amorem Plato rem amaram vocat — — — hunc et Orpheus γλυκύπικρον nominat.

317.

Marsilius Ficinus, Append. in Tim. c. 23: Numina quaedam aquatica Orpheus canit.

318.

Marsilius Ficinus, De immort. anim. VIII 13: Nam ut placet Orphicis et Heraclito, lumen nihil aliud est nisi visibilis anima, unde per hoc omnia reviviscunt, anima vero lux invisibilis.

319.

Marsilius Ficinus, De immort. anim. XIV 10: Alii vero Pythagoreo ritu purgant mentem a sensibus per morales, physicas, mathematicas, metaphysicas disciplinas. — Hos appellat Orpheus Musarum legitimos sacerdotes, qui tandem in aetate maturiori de religione sentiunt multo melius, quem ad modum legimus apud Platonem in Epistula ad regem Dionysium, in Phaedro, in primo de repub., in decimo Legum.

320.

Marsilius Ficinus, De immort. anim. XVIII 8: Apud Orphicos autem octo coeli atque sub luna aethereus ignis.

321.

Marsilius Ficinus, De immort. anim. XVIII 10: Orpheus autem novem praecipuas animabus distribuit regiones, probis quidem vel octavam sphaeram vel planetas vel aetherem sub planetis — — — mediis autem aërem aquamve et terram, reprobis denique Acherontem, Cocytum, Pyriphlegethontem, ubi novies insuper Styx interfusa coercet. Novenarius autem numerus inde sumitur, quod vel affectione quadam vel habitu mobili vel habitu immobili peccaverunt atque quocumque horum modo deliquerint,

vel cogitatione vel etiam sermone vel insuper actione peccarunt, unde novem gradibus culparum novemque poenarum merito computantur.

322.

Agrippa a Nettesheim, Occult. Phil. I 14: Democritus autem et Orpheus et multi Pythagoricorum coelestium vires inferorumque naturas diligentissime perscrutati omnia plena diis esse dixerunt — deos autem vocabant virtutes divinas in rebus diffusas, quas Zoroaster divinas ilices, Synesius symbolicas illecebras, alii vitas, alii etiam animas nominabant, et ab his virtutes rerum dependere dicebant.

323.

Rosselius, Comm. in Poemandr. L. IV 10. p. 367: Quidam afferunt sub terra esse inferorum loca atque suppliciorum; hos imitari videtur Orpheus, quum descensum ad inferos describit.

APPENDIX.

APPENDIX.

PROCLI HYMNI.[1]

I.

ΥΜΝΟΣ ΕΙΣ ΗΛΙΟΝ.

Κλῦθι πυρὸς νοεροῦ βασιλεῦ, χρυσήνιε Τιτάν,
κλῦθι φάους ταμία, ζωαρκέος, ὦ ἄνα, πηγῆς

---

[1]) De Procli celeberrimi sectae Neoplatonicorum ducis (412—485 p. Chr. n.) hymnis haec Marinus in vita eius c. XIX scripsit: *Δηλοῖ δὲ ἡ τῶν ὕμνων αὐτοῦ πραγματεία, οὐ τῶν παρὰ τοῖς Ἕλλησι μόνων τιμηθέντων ἐγκώμια περιέχουσα, ἀλλὰ καὶ Μάρναν Γαζαῖον ὑμνοῦσα καὶ Ἀσκληπιὸν Λεοντοῦχον Ἀσκαλωνίτην . . . καὶ τῶν ἄλλων ἁπλῶς πάντων.* Ex Procli hymno in Dionysum versum profert Olympiodorus in vita Plat. p. 384 ed. Westerm. Praeterea duo nobis tradita extant Procli epigrammata, unum a Dorvillio (ad Charit. p. 385) ex codice quodam editum (cf. Jacobs Anthol. Graec. Lips. 1814, Vol. II 69; cl. III, 910):

Ῥηγίνου μελάθροισι τὸν εὐάστην Διόνυσον
δέρκεο, δεξιτερῇ χειρὶ κυπελλοφόρον,
ξανθὴν μὲν σφίγγοντα καρήατος αἴθοπι κισσῷ
χαίτην καὶ λαιῇ θυρσοφόρον παλάμῃ,
βαπτὰ δὲ πέπλα φέροντα κατὰ χροὸς αἵματι κόχλου
καὶ στικτὴν νεβρίδων ἀμφικρεμῆ χλαμύδα.
αὐτὸν Βάκχον ἄνακτα δόμων ἔντοσθε δέδορκας,
εὐξείνων εὐχαῖς ἵλαον ἑσταότα.

alterum in Anthologia Palatina (VII 341) sine auctoris nomine, quod Procli esse ex vita eius a Marino conscripta (cf. c. 36) intellegitur:

Πρόκλος ἐγὼ Λύκιος γενόμην γένος, ὃν Συριανὸς
ἐνθάδ' ἀμοιβὸν ἑῆς θρέψε διδασκαλίης.
ξυνὸς δ' ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος,
αἴθε δὲ καὶ ψυχὰς χῶρος ἕεις λελάχοι.

αὐτὸς ἔχων κληῖδα καὶ ὑλαίοις ἐνὶ κόσμοις
ὑψόθεν ἁρμονίης ῥύμα πλούσιον ἐξοχετεύων.
κέκλυθι· μεσσατίην γὰρ ἔχων ὑπὲρ αἰθέρος ἕδρην
καὶ κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον
πάντα τεῆς ἔπλησας ἐγερσινόοιο προνοίης.
ζωσάμενοι δὲ πλάνητες ἀειθαλέας σέο πυρσοὺς
αἰὲν ὑπ' ἀλλήκτοισι καὶ ἀκαμάτοισι χορείαις
ζωογόνους πέμπουσιν ἐπιχθονίοις ῥαθάμιγγας.
πᾶσα δ' ὑφ' ὑμετέρῃσι παλιννόστοισι διφρείαις
Ὡράων κατὰ θεσμὸν ἀνεβλάστησε γενέθλη.
στοιχείων δ' ὀρυμαγδὸς ἐπ' ἀλλήλοισιν ἰόντων
παύσατο σεῖο φανέντος ἀπ' ἀρρήτου γενετῆρος.
σοὶ δ' ὑπὸ Μοιράων χορὸς εἴκαθεν ἀστυφέλικτος·
ἂψ δὲ μεταστρωφῶσιν ἀναγκαίης λίνον αἴσης,
εὖτ' ἐθέλεις· πέρι γὰρ κρατέεις, πέρι δ' ἶφι ἀνάσσεις.
σειρῆς δ' ὑμετέρης βασιλεὺς θεοπειθέος οἴμης
ἐξέθορεν Φοῖβος· κιθάρῃ δ' ὕπο θέσκελα μέλπων
εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.
σῆς δ' ἀπὸ μειλιχόδωρος ἀλεξικάκου θιασείης
Παιήων βλάστησεν, ἑὴν δ' ἐπέτασσεν ὑγείην,
πλήσας ἁρμονίης παναπήμονος εὐρέα κόσμον.
σὲ κλυτὸν ὑμνείουσι Διωνύσοιο τοκῆα·
ὕλης δ' αὖ νεάτοις ἐνὶ βένθεσιν εὔιον Ἄττην,
ἄλλοι δ' ἁβρὸν Ἄδωνιν ἐπευφήμησαν ἀοιδαῖς.
δειμαίνουσι δὲ σεῖο θοῆς μάστιγος ἀπειλὴν
δαίμονες ἀνθρώπων δηλήμονες, ἀγριόθυμοι,
ψυχαῖς ἡμετέραις δυεραῖς κακὰ πορσύνοντες,
ὄφρ' αἰεὶ κατὰ λαῖτμα βαρυσμαράγου βιότοιο
σώματος ὀτλεύωσιν ὕπο, ζυγόδεσμα ποθοῦσαι,
ὑψιτενοῦς δὲ λάθοιντο πατρὸς πολυφεγγέος αὐλῆς.
ἀλλὰ θεῶν ὤριστε, πυριστεφές, ὄλβιε δαῖμον,
εἰκὼν παγγενέταο θεοῦ, ψυχῶν ἀναγωγεῦ,

I, 5 ἔχων Brunck] ἐών. — 18 ἡμετέρης codd. — 19 ὑπό (ὕπο) codd. — 31 ὑπό codd.

κέκλυθι, καί με κάθηρον ἁμαρτάδος αἰὲν ἁπάσης·
δέχνυσο δ' ἱκεσίην πολυδάκρυον, ἐκ δέ με λυγρῶν
ῥύεο κηλίδων, ποινῶν δ' ἀπάνευθε φυλάσσοις
πρηΰνων θοὸν ὄμμα Δίκης, ἣ πάντα δέδορκεν.
αἰεὶ δ' ὑμετέρῃσιν ἀλεξικάκοισιν ἀρωγαῖς
ψυχῇ μὲν φάος ἁγνὸν ἐμῇ πολύολβον ὀπάζοις
ἀχλὺν ἀποσκεδάσας ὀλεσίμβροτον, ἰολόχευτον·
σώματι δ' ἀρτεμίην τε καὶ ἀγλαόδωρον ὑγείην.
εὐκλείης τ' ἐπίβησον ἐμὲ προγόνων τ' ἐνὶ θεσμοῖς
Μουσάων ἐρασιπλοκάμων δώροισι μελοίμην.
ὄλβον δ' ἀστυφέλικτον ἀπ' εὐσεβίης ἐρατεινῆς,
εἴ κ' ἐθέλῃς, δός, ἄναξ· δύνασαι γὰρ ἅπαντα τελέσσαι
ῥηιδίως, κρατερὴν γὰρ ἔχεις καὶ ἀπείριτον ἀλκήν.
εἰ δέ τι μοιριδίοισιν ἑλιξοπόροισιν ἀτράκτοις
ἀστεροδινήτοις ὑπὸ νήμασιν οὐλοὸν ἄμμιν
ἔρχεται, αὐτὸς ἔρυκε τεῇ μεγάλῃ τόδε ῥιπῇ.

II.

ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

Ὑμνέομεν σειρὴν πολυώνυμον Ἀφρογενείης
καὶ πηγὴν μεγάλην βασιλήιον, ἧς ἄπο πάντες
ἀθάνατοι πτερόεντες ἀνεβλάστησαν Ἔρωτες,
ὧν οἳ μὲν νοεροῖσιν ὀιστεύουσι βελέμνοις
ψυχάς, ὄφρα πόθων ἀναγώγια κέντρα λαβοῦσαι
μητέρος ἰσχανόωσιν ἰδεῖν πυριφεγγέας αὐλάς·
οἳ δὲ πατρὸς βουλῇσιν ἀλεξικάκοις τε προνοίαις
ἱέμενοι γενεῇσιν ἀπείρονα κόσμον ἀέξειν
ψυχαῖς ἵμερον ὦρσαν ἐπιχθονίου βιότοιο.

---

39 *ὑμετέρῃσιν* Abel] *ὑμετεραῖσιν.* — 46 *εἴ κ' ἐθέλῃς* Abel] *εἴ κε θέλῃς.*
II, 4 et 7 *οἳ* Abel] *οἱ.*

ἄλλοι δ' αὖ γαμίων ὀάρων πολυειδέας οἴμους
αἰὲν ἐποπτεύουσιν, ὅπως θνητῆς ἀπὸ φύτλης
ἀθάνατον τεύξωσι δυηπαθέων γένος ἀνδρῶν·
πᾶσιν δ' ἔργα μέμηλεν ἐρωτοτόκου Κυθερείης.
ἀλλά, θεά, πάντη γὰρ ἔχεις ἀριήκοον οὖας,
εἴτε περισφίγγεις μέγαν οὐρανόν, ἔνθα σέ φασι
ψυχὴν ἀενάοιο πέλειν κόσμοιο θεείην·
εἴτε καὶ ἑπτὰ κύκλων ὑπὲρ ἄντυγας αἰθέρι ναίεις
σειραῖς ὑμετέραις δυνάμεις προχέουσ' ἀδαμάστους·
κέκλυθι καὶ πολύμοχθον ἐμὴν βιότοιο πορείην
ἰθύνοις σέο, πότνα, δικαιοτάτοισι βελέμνοις
οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν ἐρωήν.

III.

ΥΜΝΟΣ ΕΙΣ ΤΑΣ ΜΟΥΣΑΣ.

Ὑμνέομεν, μερόπων ἀναγώγιον ὑμνέομεν φῶς,
ἐννέα θυγατέρας μεγάλου Διὸς ἀγλαοφώνους,
αἳ ψυχὰς κατὰ βένθος ἀλωομένας βιότοιο
ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων
γηγενέων ῥύσαντο δυσαντήτων ὀδυνάων
καὶ σπεύδειν ἐδίδαξαν ὑπὲρ βαθυχεύμονα λήθην
ἴχνος ἔχειν, καθαρὰς δὲ μολεῖν ποτὶ σύννομον ἄστρον,
ἔνθεν ἀπεπλάγχθησαν, ὅτ' ἐς γενεθλήιον ἀκτὴν
κάππεσον, ὑλοτραφέσσι περὶ κλήροισι μανεῖσαι.
ἀλλά, θεαί, καὶ ἐμεῖο πολυπτοίητον ἐρωὴν
παύσατε καὶ νοεροῖς με σοφῶν βακχεύσατε μύθοις·
μηδέ μ' ἀποπλάγξειεν ἀδεισιθέων γένος ἀνδρῶν
ἀτραπιτοῦ ζαθέης, ἐριφεγγέος, ἀγλαοκάρπου·
αἰεὶ δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης

III, 7 καθαρᾶς codd. — 9 ὑλοτραφεῖσιν codd.

ἕλκετ᾽ ἐμὴν ψυχὴν παναλήμονα πρὸς φάος ἁγνόν,
ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπὸ σίμβλων
καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχουσαν.

IV.

ΥΜΝΟΣ ΚΟΙΝΟΣ ΕΙΣ ΘΕΟΥΣ.

Κλῦτε, θεοί, σοφίης ἱερῆς οἴηκας ἔχοντες,
οἳ ψυχὰς μερόπων ἀναγώγιον ἁψάμενοι πῦρ
ἕλκετ᾽ ἐς ἀθανάτους, σκότιον κευθμῶνα λιπούσας,
ὕμνων ἀρρήτοισι καθηραμένας τελετῇσι.
κλῦτε, σαωτῆρες μεγάλοι, ζαθέων δ᾽ ἀπὸ βίβλων
νεύσατ᾽ ἐμοὶ φάος ἁγνὸν ἀποσκεδάσαντες ὁμίχλην,
ὄφρα κεν εὖ γνοίην θεὸν ἄμβροτον ἠδὲ καὶ ἄνδρα·
μηδέ με ληθαίοις ὑπὸ χεύμασιν οὐλοὰ ῥέζων
δαίμων αἰὲν ἔχοι μακάρων ἀπάνευθεν ἐόντα,
μὴ κρυερῆς γενέθλης ἐνὶ κύμασι πεπτωκυῖαν
ψυχὴν οὐκ ἐθέλουσαν ἐμὴν ἐπὶ δηρὸν ἀλᾶσθαι
ποινή τις κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ.
ἀλλά, θεοί, σοφίης ἐριλαμπέος ἡγεμονῆες,
κέκλυτ᾽, ἐπειγομένῳ δὲ πρὸς ὑψιφόρητον ἀταρπὸν
ὄργια καὶ τελετὰς ἱερῶν ἀναφαίνετε μύθων.

V.

ΥΜΝΟΣ ΕΙΣ ΛΥΚΙΗΝ ΑΦΡΟΔΙΤΗΝ.

Ὑμνέομεν Λυκίων βασιληίδα, Κουραφροδίτην,
ἧς ποτ᾽ ἀλεξικάκοιο περιπλήθοντες ἀρωγῆς
πατρίδος ἡμετέρης θεοφράδμονες ἡγεμονῆες

IV, 4 ὑμνέων ἀρρήτοις codd.
V, 1 κούρ᾽ ἀφροδίτην codd.

ἱερὸν ἱδρύσαντο κατὰ πτολίεθρον ἄγαλμα,
σύμβολ' ἔχον νοεροῖο γάμου, νοερῶν ὑμεναίων
Ἡφαίστου πυρόεντος ἰδ' οὐρανίης Ἀφροδίτης·
καί ἑ θεὴν ὀνόμηναν Ὀλύμπιον, ἧς διὰ κάρτος
πολλάκι μὲν θανάτοιο βροτοφθόρον ἔκφυγον ἰόν,
ἐς δ' ἀρετὴν ἔχον ὄμμα· τελεσσιγόνων δ' ἀπὸ λέκτρων
ἔμπεδος ἀγλαόμητις ἀνασταχύεσκε γενέθλη,
πάντη δ' ἠπιόδωρος ἔην βιότοιο γαλήνη.
ἀλλὰ καὶ ἡμετέρης ὑποδέχνυσο, πότνα, θυηλὴν
εὐεπίης· Λυκίων γὰρ ἀφ' αἵματός εἰμι καὶ αὐτός.
ψυχὴν δ' ἂψ ἀνάειρον ἀπ' αἴσχεος ἐς πολὺ κάλλος,
γηγενέος προφυγοῦσαν ὀλοίιον οἶστρον ἐρωῆς.

VI.

ΕΚΑΤΗΣ ΚΑΙ ΙΑΝΟΥ.

Χαῖρε, θεῶν μῆτερ, πολυώνυμε, καλλιγένεθλε·
χαῖρ', Ἑκάτη προθυραῖα, μεγασθενές· ἀλλὰ καὶ αὐτὸς
χαῖρ', Ἴανε προπάτορ, Ζεῦ ἄφθιτε· χαῖρ', ὕπατε Ζεῦ·
τεύχετε δ' αἰγλήεσσαν ἐμοῦ βιότοιο πορείην
βριθομένην ἀγαθοῖσι, κακὰς δ' ἀπελαύνετε νούσους
ἐκ ῥεθέων, ψυχὴν δὲ περὶ χθονὶ μαργαίνουσαν
ἕλκετ' ἐγερσινόοισι καθηραμένην τελετῇσι.
ναί, λίτομαι, δότε χεῖρα θεοφραδέας τε κελεύθους
δείξατέ μοι χατέοντι· φάος δ' ἐρίτιμον ἀθρήσω,
κυανέης ὅθεν ἐστὶ φυγεῖν κακότητα γενέθλης.
ναί, λίτομαι, δότε χεῖρα καὶ ὑμετέροισιν ἀήταις
ὅρμον ἐς εὐσεβίης με πελάσσετε κεκμηῶτα.
χαῖρε, θεῶν μῆτερ, πολυώνυμε, καλλιγένεθλε·
χαῖρ', Ἑκάτη προθυραῖα, μεγασθενές· ἀλλὰ καὶ αὐτὸς
χαῖρ', Ἴανε προπάτορ, Ζεῦ ἄφθιτε· χαῖρ', ὕπατε Ζεῦ.

7 ὀλυμπίαν codd. — 12 ἡμετέρην codd.

VII.

ΕΙΣ ΑΘΗΝΑΝ ΠΟΛΥΜΗΤΙΝ.

*Κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, ἣ γενετῆρος
πηγῆς ἐκπροθοροῦσα καὶ ἀκροτάτης ἀπὸ σειρῆς,
ἀρσενόθυμε, φέρασπι, μεγασθενές, ὀβριμοπάτρη,
Παλλάς, Τριτογένεια, δορυσσόε, χρυσεοπήληξ,
κέκλυθι· δέχνυσο δ' ὕμνον εὔφρονι, πότνια, θυμῷ·
μηδ' αὔτως ἀνέμοισιν ἐμόν ποτε μῦθον ἐάσῃς.
ἣ σοφίης πετάσασα θεοστιβέας πυλεῶνας
καὶ χθονίων δαμάσασα θεήμαχα φῦλα Γιγάντων·
ἣ πόθον Ἡφαίστοιο λιλαιομένοιο φυγοῦσα
παρθενίης ἐφύλαξας ἑῆς ἀδάμαντα χαλινόν·
ἣ κραδίην ἐσάωσας ἀμιστύλλευτον ἄνακτος
αἰθέρος ἐν γυάλοισι μεριζομένου ποτὲ Βάκχου
Τιτήνων ὑπὸ χερσί· πόρες δέ ἑ πατρὶ φέρουσα,
ὄφρα νέος βουλῇσιν ὑπ' ἀρρήτοισι τοκῆος
ἐκ Σεμέλης περὶ κόσμον ἀνηβήσῃ Διόνυσος.
ἧς πέλεκυς θήρεια ταμὼν προθέλυμνα κάρηνα,
πανδερκοῦς Ἑκάτης παθέων ἠΰνησε γενέθλην.
ἣ κράτος ἤραο σεμνὸν ἐγερσιβρότων ἀρετάων.
ἣ βίοτον κόσμησας ὅλον πολυειδέσι τέχναις
δημιοεργείην νοερὴν ψυχῇσι βαλοῦσα.
ἣ λάχες ἀκροπόληα καθ' ὑψιλόφοιο κολώνης,
σύμβολον ἀκροτάτης μεγάλης σέο, πότνια, σειρῆς·
ἣ χθόνα βωτιάνειραν ἐφίλαο, μητέρα βίβλων,
πατροκασιγνήτοιο βιησαμένη πόθον ἱρόν,
οὔνομα δ' ἄστεϊ δῶκας ἔχειν σέο καὶ φρένας ἐσθλάς,
ἔνθα μάχης ἀρίδηλον ὑπὸ σφυρὸν οὔρεος ἄκρον
σῆμα καὶ ὀψιγόνοισιν ἀνεβλάστησας ἐλαίην·
εὖτ' ἐπὶ Κεκροπίδῃσι Ποσειδάωνος ἀγωγῇ
μυρίον ἐκ πόντοιο κυκώμενον ἤλυθε κῦμα,
πάντα πολυφλοίσβοισιν ἑοῖς ῥεέθροισιν ἱμάσσον.
κλῦθί μευ, ἣ φάος ἁγνὸν ἀπαστράπτουσα προσώπῳ,*

VII. 20 *ψυχῇσι* Abel] *ψυχαῖσι*. — 24 *βιησαμένη* Abel] *βιασαμένη*.

δὸς δέ μοι ὄλβιον ὅρμον ἀλωομένῳ περὶ γαῖαν·
δὸς ψυχῇ φάος ἁγνὸν ἀπ' εὐιέρων σέο μύθων
καὶ σοφίην καὶ ἔρωτα· μένος δ' ἔμπνευσον ἔρωτι
τοσσάτιον καὶ τοῖον, ὅσον χθονίων ἀπὸ κόλπων
αὖ ἐρύσει πρὸς Ὄλυμπον, ἐς ἤθεα πατρὸς ἐῆος.
εἰ δέ τις ἀμπλακίη με κακὴ βιότοιο δαμάζει —
οἶδα γάρ, ὡς πολλοῖσιν ἐρέχθομαι ἄλλοθεν ἄλλαις
πρήξεσιν οὐχ ὁσίαις, τὰς ἤλιτον ἄφρονι θυμῷ —
ἵλαθι, μειλιχόβουλε, σαόμβροτε, μηδέ μ' ἐάσῃς
ῥιγεδαναῖς ποινῇσιν ἕλωρ καὶ κύρμα γενέσθαι
κείμενον ἐν δαπέδοισιν, ὅτι τεὸς εὔχομαι εἶναι.
δὸς γυάλοις μελέων σταθερὴν καὶ ἀπήμον' ὑγείην,
σαρκοτάκων δ' ἀπέλαυνε πικρῶν ἀγελάσματα νούσων,
ναί, λίτομαι, βασίλεια, καὶ ἀμβροσίῃ σέο χειρὶ
παῦσον ὅλην κακότητα μελαινάων ὀδυνάων.
δὸς βιότῳ πλώοντι γαληνιόωντας ἀήτας,
τέκνα, λέχος, κλέος, ὄλβον, ἐυφροσύνην ἐρατεινήν,
πειθὼ στωμυλίην φιλίης, νόον ἀγκυλομήτην,
κάρτος ἐπ' ἀντιβίοισι, προεδρίην ἐνὶ λαοῖς.
κέκλυθι, κέκλυθ', ἄνασσα, πολύλλιστος δέ σ' ἱκάνω
χρειοῖ ἀναγκαίῃ· σὺ δὲ μείλιχον οὖας ὑπόσχες.

VIII.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Olympiodorus in vita Platonis p. 384 ed. Westerm.:

Διθύραμβος ὁ Διόνυσος ὡς ἐκ δύο θυρῶν ἐξελθών, τῆς τε Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. εἰώθεισαν γὰρ οἱ ἀρχαῖοι τὰ αἰτίατα ὀνομάζειν τοῖς τῶν αἰτίων ὀνόμασι, καθάπερ καὶ τὸν Διόνυσον καλοῦσιν. διὸ καὶ ὁ Πρόκλος περὶ τούτου φησίν·

ὅσσ' εἶδον τεκέεσσιν ἐφημίξαντο τοκῆες.[1]

[1]) *τοκῆες* Vindetus] *τοκεῦσιν*.

Anonymi hymni in Bacchum et Apollinem.

I. ΥΜΝΟΣ ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Μέλπωμεν βασιλῆα φιλεύιον, εἰραφιώτην,
ἁβροκόμην, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτόν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην,
γηθόσυνον, γονόεντα, Γιγαντολέτην, γελόωντα,
Διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον,
εὔιον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον,
ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα,
ἤπιον, ἡδυπότην, ἡδύθροον, ἠπεροπῆα,
Θρήικα, θυρσοφόρον, θιασώτην, θυμολέοντα,
Ἰνδολέτην, ἱμερτόν, ἰοπλόκον, ἱραφιώτην,
κωμαστήν, κεραόν, κισσοστέφανον, κελαδεινόν,
Λυδόν, ληναῖον, λαθικηδέα, λυσιμέριμνον,
μύστην, μαινόλιον, μεθυδώτην, μυριόμορφον,
νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον,
ξυστοβόλον, ξυνόν, ξενοδώτην, ξανθοκάρηνον,
ὀργίλον, ὀβριμόθυμον, ὀρέσκοον, οὐρεσιφοίτην,
πουλυπότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον,
ῥηξίνοον, ῥαδινόν, ῥικνώδεα, ῥηνοφορῆα,
σκιρτητήν, Σάτυρον, Σεμεληγενέτην, Σεμελῆα,
τερπνόν, ταυρωπόν, Τυρρηνολέτην, ταχύμηνιν,
ὑπνοφόβην, ὑγρόν, ὑμενήιον, ὑλήεντα,
φηρομανῆ, φρικτόν, φιλομειδέα, φοιταλιώτην,
χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσεομίτρην,
ψυχοπλάνην, ψεύστην, ψοφομήδεα, ψυχοδαϊκτήν,

Hunc et sequentem hymnum eiusdem auctoris lusus pueriles Anthologia Palatina et Planudes nobis servaverunt; cf. CIG nr. 38. — V. 10 *ἵραφ. cod. Pal., εἰραφ. Plan. — 12 *λήναιον* cod. — 16 *ὀρέσκοον* Lobeck] *ὀρέσκιον*. — 23 *χρυσομίτρην* cod. — 24 *ψυχοπλανῆ* cod.

ὥριον, ὠμηστήν, ὠρείτροφον, ὠρεσίδουπον.
μέλπωμεν βασιλῆα φιλεύιον, εἰραφιώτην.

II. ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Ὑμνέομεν Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα,
ἄμβροτον, ἀγλαόμορφον, ἀκερσεκόμην, ἁβροχαίτην,
βριθύνοον, βασιλῆα, βελεσσιχαρῆ, βιοδώτην,
γηθόσυνον, γελόωντα, Γιγαντολέτην, γλυκύθυμον,
Διογενῆ, Διόπαιδα, δρακοντολέτην, δαφνογηθῆ,
εὔλαλον, εὐρυβίην, ἑκατηβόλον, ἐλπιδοδώτην,
ζωογόνον, ζάθεον, ζηνόφρονα, ζηλοδοτῆρα,
ἤπιον, ἡδυεπῆ, ἡδύφρονα, ἠπιόχειρα,
θηροφόνον, θαλερόν, θελξίφρονα, θελγεσίθυμον,
ἰαφέτην, ἱμερτόν, ἰήιον, ἱπποκορυστήν,
κοσμοπλόκον, Κλάριον, κρατερόφρονα, καρπογένεθλον,
Λητογενῆ, λαρόν, λυρογηθέα, λαμπετόωντα,
μυστιπόλον, μάντιν, μεγαλήτορα, μυριόμορφον,
νευροχαρῆ, νοερόν, νηπενθέα, νηφαλιῆα,
ξυνοχαρῆ, ξυνόν, ξυνόφρονα, ξυνοδοτῆρα,
ὄλβιον, ὀλβιοεργόν, Ὀλύμπιον, οὐρεσιφοίτην,
πρηύν, πανδερκῆ, παναπήμονα, πλουτοδοτῆρα,
ῥυσίπονον, ῥοδόχρουν, ῥηξήνορα, ῥηξικέλευθον,
σιγαλόεντα, σοφόν, σεληγενέτην, σωτῆρα,
τερψίχορον, Τιτᾶνα, τελέστορα, τιμήεντα,
ὑμναγόρην, ὕπατον, ὑψαύχενα, ὑψήεντα,
Φοῖβον, φοιβάζοντα, φιλοστέφανον, φρενογηθῆ,
χρησμαγόρην, χρύσεον, χρυσόχροα, χρυσοβέλεμνον,
ψαλμοχαρῆ, ψάλτην, ψευστίστυγα, ψυχοδοτῆρα,
ὠκύπον, ὠκυεπῆ, ὠκύσκοπον, ὡρεσιδώτην.
ὑμνέομεν Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα.

---

25 *ὠρινομιστην* cod. — *ὠρείτροφον* Scaliger] *ὠρεσσίτροφον.* — *ὠρεσίδουπον* Scaliger] *ὠρεσσίλοιπον.* — Ultimus versus ter repetitur in codice.
II, 7 *ζηλοδοτῆρα* Brodaeus] *ζηνοδοτῆρα.* — 9 *θελγεσίθυμον* Abel] *θελγεσίμυθον.* — 12 *λυροθηγέα* cod. — 14 *νεβροχαρῆ* cod. — 17 *πρηών* cod. — 21 *ὑψήεντα* Brunck] *ὑψόεντα* (ω supra ο) — 23 *χρημαγ.* et *χρυσόχροον* cod.

Hymni Magici.[1])

I.

Ἀπολλωνιακὴ ἐπίκλησις.

Οταν τελέσῃς πάντα τὰ προειρημένα, κάλει τῇ ἐπαοιδῇ·

Ἄναξ Ἀπόλλων, ἐλθὲ σὺν Παιήονι,
χρημάτισόν μοι περὶ ἂν ἀξιῶ, κύριε.

Δέσποτα, λεῖπε Παρνάσιον ὄρος καὶ Δελφίδα Πυθώ,
ἡμετέρων ἱερῶν στομάτων ἄφθεγκτα λαλούντων,
ἄγγελε πρωτεύων Ζηνὸς μεγάλοιο Ἰαώ·
καί σε τὸν οὐράνιον κόσμον κατέχοντα Μιχαήλ,
καί σε καλῶ, Γαβριὴλ πρωτάγγελε· δεῦρ᾽ ἀπ᾽ Ὀλύμπου
Ἀβρασὰξ ἀντολίης καταρήμενος ἵλαος ἔλθοις
ἐς δύσιν ἀντολίης ἐπισκοπιάζει[ν Ἀ]δώναι·
πᾶσα φύσις τρομέει σε, πάτερ κόσμοιο πακερβηθ·
ὁρκίζω κεφαλήν [σε] θεοῦ, ὅπερ ἐστὶν Ὄλυμπος·
ὁρκίζω σφραγῖδα θεοῦ, ὅπερ ἐστὶν ὅρασις·
ὁρκίζω χέρα δεξιτερήν, ἣ κόσμον ἐπέσχεν·
ὁρκίζω κρητῆρα θεοῦ πλοῦτον κατέχοντα·
ὁρκίζω θεὸν αἰώνιον αἰῶνά τε πάντων·
ὁρκίζω φύσιν αὐτοφυῆ, κρατερὸν Ἀδωναῖον·
ὁρκίζω δύνοντα καὶ ἀντέλλοντ᾽ Ἐλωαῖον·

ὁρκίζω τὰ ἅγια καὶ θεῖα ὀνόματα ταῦτα, ὅπως ἂν πέμψωσί μοι τὸ θεῖον πνεῦμα καὶ τελέσῃ ἃ ἔχω κατὰ φρένα καὶ κατὰ θυμόν.

---

[1]) Hae incantationes duobus papyris Graecis a Partheyo editis („Zwei griechische Zauberpapyri des Berliner Museums" in Actis acad. litt. Berolin. 1865. p. 109—180) nobis servatae intra saec. IV—VII post Chr. n. conditae esse videntur. Versus pessimos ubique ad rectum modulum corrigere nolui.

I, 1 *λεῖπε* Abel] *λίπε.* — 3 *πρωτεύων* Kirchhoff] *πρωτεύον.* — 7 *ἀντολίηθεν* coni. Dilthey. — Inclusa supplevit Parthey. — 8 *κόσμοιο* Parthey] *κόμοιο.* — 9 in papyro pro *σε* fort. *νυ* extat. — 10 *σφραγῖδα* Parthey] *σφρακῖδα.* — 11 *δεξιτερήν* Abel] *δεξιτέρην.* — *ἣν κόσμος ἐπέσχες* cod., corr. Parthey, *ᾗ κόσμον ἐπίσχεις* coni. Schenkl. — 14 *κρατερόν* Abel] *κράτιστον.* — 15 *ἀντέλλοντ᾽* Abel] *ἀντέλλοντα.* —

Κλῦθι μάκαρ, κλήζω σε τὸν οὐρανοῦ ἡγεμονῆα
καὶ γαίης χάεός τε καὶ Ἅιδος, ἔνθα νέμονται·
πέμψον δαίμονα τοῦτον ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς
νυκτὸς ἐλαυνόμενον προστάγμασι σῆς ὑπ' ἀνάγκης,
οὗπερ ἀπὸ σκήνους ἐστὶν τόδε (καὶ φρασάτω μοι
ὅσσα θέλω γνώμῃσιν, ἀληθείην καταλέξας)
πρηΰν, μειλίχιον, μηδ' ἀντία μοι φρονέοντα.
μηδὲ σὺ μηνίσῃς ἐπ' ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς,
ἀλλὰ φύλαξον ἅπαν δέμας ἄρκιον ἐς φάος ἐλθεῖν·
ταῦτα γὰρ αὐτὸς ἔταξας ἐν ἀνθρώποισι δαῆναι·
κλήζω δ' οὔνομα σὸν μοίραις αὐταῖς ἰσάριθμον.

. . . .

ἵλαθί μοι, προπάτωρ, προγενέστερε, αὐτογένεθλε·
ὁρκίζω τὸ πῦρ τὸ φανὲν πρῶτον ἐν ἀβύσσῳ·
ὁρκίζω τὴν σὴν δύναμιν τὴν πᾶσι μεγίστην,
ὁρκίζω τὸν φθείροντα μέχρις Ἅιδος εἴσω,
ἵνα ἀπέλθῃς εἰς τὰ ἴδια πρευμενὴς καὶ μή με βλάψῃς, ἀλλ' εὐμενὴς γενοῦ διὰ παντός.

II.

1. *Φοῖβε, μαντοσύναισιν ἐπίρροθος ἔρχεο χαίρων·*
Λητοΐδη, ἑκάεργε, ἀ[πό]τροπε, δεῦρ' ἄ[γ]ε δεῦρο·
δεῦρ' ἄγε θεσπίζων μαντεύ[εο] νυκτὸς ἐν ὥρῃ . . . . .
εἴ ποτε δίφιλον ἔσχεν ἔχων κλάδον ἐνθάδε δάφνης,
[σῆ]ς ἱερῆς κορυφῆς ἐφθέγγεο πολλάκις ἐσθλά·
καὶ νῦν μοι σπεύσειας ἔχων θεσπίσματ' ἀληθῆ . . . .

---

17 *Ἅιδος* Abel] *ἀίδος*. Post v. 17 observante Diltheyo excidit versus qui in hymno in Solem a Millero edito nonus est: *δαίμονες ἀνθρώπων οἱ πρὶν φάος εἰσορόωντες.* — 20 *ἐστίν* Parthey] *ἐστί.* — *φρασάτω* Parthey] *φρασσάτω.* — 22 *μειλίχιον* Parthey] *μειλίκιον.* — *μοὶ* (sic) Parthey] *μή.* — 25 *ἔταξας* (vel *ἔδειξας*) Parthey] *ἔδαξας.* — 26 *ἰσάρ.* Parthey] *εἰσάρ.* — Sequuntur praecepta quaedam soluta oratione conscripta. — 27 *προγενέστερος*? — 30 *μέχρις* Parthey] *μέχρεις.* — *Ἅιδος* Abel] *αἴδος.* — 31 *πρευμενής* Dilthey] *πρυμνήσια.*

II 1,4 *δίφυλλον* coni. Parthey.

2. *Δάφνη, μαντοσύνης ἱερὸν φυτὸν Ἀπόλλωνος,*
ἧς ποτε γευσάμενος πετάλων ἀνέφηνεν ἀοιδάς·
αὐτὸς ἄναξ σκηπτοῦχος, ἰήιε, κύδιμε Παιάν,
ἐν Κολοφῶ[ν]ι ναίων ἱερῆς ἐπάκουσον ἀοιδῆς·
ἐλθέ, τάχος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν † σμίγων ὕδωρ·
ἀμβροσίων στομάτων δὲ σταθεὶς ἔμπνευσον ἀοιδάς·
αὐτὸς ἄναξ μολπῆς μόλε κύδιμε μολπῆς ἀνάκτωρ·
κλῦθι μάκαρ βαρύμηνι, κραταιόφρων κλύε Τιτάν·
ἡμετέρης φωνῆς νῦν, ἄφθιτε, μὴ παρακούσῃς·
στῆθι μαντοσύνην ἀπ' ἀμβροσίου στομάτοιο·
ἔννεπε τῷ ἱκέτῃ πανακήρατε θᾶττον Ἄπολλον·
χαῖρε πυρὸς ταμία, τηλεσκόπε, κοίρανε κόσμου,
ἠέλιε κλυτόπωλε, Διὸς γαιήοχον ὄμμα,
παμφαές, ὑψικέλευθε, διιπετές, οὐρανοφοῖτα,
αἰγλήεις, ἀκάκητα, παλαιγενές, ἀστυφέλικτε,
χρυσομίτρη, φαλεροῦχε, πυρισθενές, αἰολοθώρηξ,
πωτήεις, ἀκάμας, χρυσήνιε, χρυσοκέλευθε,
πάντας δ' εἰσορόων καὶ ἀμφιθέων καὶ ἀκούων·
σοὶ φλόγες ὠδίνουσι φεραυγέες ἤματος ὄρθρον·
σοὶ δὲ μεσημβριόωντα πόλον διαμετρήσαντι
ἀντολίη μετόπισθε ῥοδόσφυρος εἰς ἑὸν οἶκον
ἀχνυμένη στείχει· πρὸ δέ σοι δύσις ἀντεβόλησεν,
ὠκεανῷ κατάγουσα πυριτρεφέων ζυγὰ πώλων.
νὺξ φυγὰς οὐρανόθεν καταπάλλεται, εὖτ' ἂν ἀκούσῃ
πωλικὸν ἀμφὶ τένοντα δεδουπότα ῥοῖζον ἱμάσθλης ...
Μουσάων σκηπτοῦχε, φερέσβιε, δεῦρό μοι ἤδη·
δεῦρο, τάχος δ' ἐπὶ γαῖαν, ἰήιε, κισσεοχαῖτα·

2, 5 *φέρων* pro *σμίγων* (*γ* incertum) coni. Parthey. — 7 *κ. σεμνὸς ἀν.* coni. Schenkl. — 11 *χαῖρε* post *Ἄπολλον* delevit Parthey. — 13 *γαιηόχου* coni. Schenkl. — 14 *ὑψικέλευθε* Parthey] *ὑψικέλευθα.* — *οὐρανοφοῖτα* Dilthey] *οὐρανοφοίτα.* — 15 *ἀκάκητα* Kirchhoff] *αιχητα.* — 17 *ἀκάμας* Dilthey] *ἄκαμνε.* — *χρυσοκέλευθε* Parthey] *χρυσοκέλευθα.* — 18 *εἰσορ. τε καὶ ἀμφ.* Dilthey. — 19 *φεραυγέος* coni. Schenkl. — *ὄρθρον* Dilthey] *ὄρθρου.* — 20 *μεσημβριόωντα* Dilthey] *μεσημβριόεντι.* 22 *στείχει* Dilthey] *στίχει.* — 21 *ἀντολίη* Dilthey] *ἀντολίης.* — 27 *κισσεοχαῖτα* Abel] *κισσεοχαίτα.*

μολπὴν ἔννεπε, Φοῖβε, δι᾽ ἀμβροσίου στομάτοιο·
καὶ σύ, πυρὸς μεδέων αραραχχοτα ηφθησικηρε·
καὶ Μοῖραι τρισσαί, Κλωθώ τ᾽ Ἄτροπός τε Λάχις τε.

III. ΕΙΣ ΕΚΑΤΗΝ.[1]

Δεῦρ᾽ Ἑκάτη, φαέεσσι Σεληναίας μεδέουσα,
Περσία, Βομβώ, φουρνῖτι <καὶ> ἰοχέαιρα,
ἀδμήτη, λυσία, πανδμάτειρ᾽, εὐπατέρεια,
δαδοῦχ᾽, ἡγεμόνη, ἁγνή, ὑψαύχενε κούρη,
κλῦθι διαζεύξασα πύλας κλειτοῦ ἀδάμαντος,
Ἄρτεμις, ἣ καὶ πρόσθεν ἐπίσκοπος ἦσθα μεγίστη.
πότνια, ῥηξίχθων, σκυλακαγέτι, πανδαμάτειρα,
εἰνοδία, τρικάρανε, φαεσφόρε, παρθένε σεμνή,
ἐλλοφόν᾽· ἐλθέ, ἄνασσα Ἀνδναία, πολύμορφε·
δεῦρ᾽ Ἑκάτη, τριοδῖτι, πυρίπνοε, φάσματ᾽ ἄγουσα,
ἥ τ᾽ ἔλαχες δεινὰς μὲν ὁδοὺς χαλεπάς τ᾽ ἐπιπομπάς,
τὴν Ἑκάτην σε καλῶ, σὺν ἀποφθιμένοισιν ἀώροις,

29 σύ Dilthey] σε. — μεδέων αραρ. Dilthey] μεδέωνα ραρ. — 30 Κλωθώ Λάχεσίς τ᾽ Ἄτροπός τε, vel Λάχεσις, Κλωθώ τ᾽ Ἄτροπός τε coni. Dilthey.

[1]) Hunc hymnum et duos qui proxime sequuntur E. Miller ex duobus papyris graecis, ut Dilthey vidit (Miller enim altum silentium tenet de exemplis, unde has incantationes sumpsit) Berolinensi similibus in lucem protraxit in „Mélange de Littérature grécque“ (Parisiis 1868). Plurimae horum carminum emendationes Meinekio (Hermae IV 56 sqq.) Nauckio (Mélanges gréco-romains III 177 sqq.) et Diltheyo (Mus. Rhen. XXVII 375 sqq.) debentur. — 1 φαέεσσι Σεληναίης (sic) Ludwich] γιγάεσσα διηνης (ω) ἡ. — 2 Βομβώ Dilthey] βαυβώ. — φουρνῖτι Dilthey] φρουνιτ᾽. — καί Miller addidit. — 3 λυσίη ἀδμήτη Dilthey pro ἀδμήτη λυδή. — πανδμάτειρ᾽ Abel (πανδμάτωρ Dilthey)] ἀδαμάτωρ. — 4 ἁγνά (sic) Meineke] νατα. — ὑψαύχενε Miller] ψυκαυχενα. — 5 κλειτοῦ Meineke] κλυτοῦ. — 6 Ἄρτεμις ἣ Nauck (ἥ Dilthey)] Ἄρτεμικ. — πρόσθεν Miller] πρός με. — ἦσθα Meineke] ησα. — 7 σκυλακαγέτι Nauck] σκυλακαγαιν. — 8 σε καλῶ ante ἐλλ. delevit Meineke. — 9 ἐλθὲ ἄνασσα Abel] αλωεισσα. — Ἀνδναίη (sic) Dilthey] ανδνεια. — 10 τριοδῖτι Miller] τριοτιδι. — ἄγουσα Meineke] ἔχουσα. — 11 ἥ τ᾽ Nauck] καιτ. — ἐπιπομπάς Meineke] ἐπὶ πομπάς. — 12 τὴν Ἑκάτην Abel] τὰν Ἑκάταν. — σε Miller] γε.

κεἴ τινες ἡρώων θάνον ἀγναῖοι καὶ ἄπαιδες,
ἄγρια συρίζοντες, ἐνὶ φρεσὶ θυμὸν ἔδοντες,
ἠνεμόεν δ' εἴδωλον ἔχοντες <ἀερθείητε>
στάντες ὑπὲρ κεφαλῆς, ἀφέλεσθε δὲ νήδυμον ὕπνον.
μηδέ ποτε βλέφαρον βλεφάρῳ κληιστὸν ἐπέλθοι,
τειρέσθω δ' ἐπ' ἐμαῖσι φιλαγρύπνοισι μερίμναις.
εἰ δέ τις ἄλλος ἑοῖς ἐν κόλποισιν κατάκειται,
κεῖνον ἀπωσάσθω, ἐμὲ δ' ἐν φρεσὶν ἐγκαταθέσθω,
καὶ προλιποῦσα τάχιστ' ἐπ' ἐμοῖς προθύροισι παρέστω,
δαμναμένη ψυχὴν ἐπ' ἐμῇ φιλότητι καὶ εὐνῇ.
ἀλλὰ σύ, ὦ Ἑκάτη πολυώνυμε, παρθένε κούρα,
ἐλθέ, θεά, κέλομαι, ἐλάουσ' ὑλακῇ καὶ ἰωῇ .....
Περσεφόνη, τρικάρανε, <θεά> πυρίφοιτε, βοῶπι,
βουφόρβη, παμφόρβη ....
δεῦρ' Ἑκάτη πολύβουλε, καλῶ σ' ἐπ' ἐμαῖς ἐπαοιδαῖς .....
μαινομένη ἵσταιτ' ἐπ' ἐμαῖσι θύραισι τάχιστα
ληθομένη τοκέων <τε> συνηθείης τε τέκνων <τε>,
καὶ στυγέουσα τὰ πόλλ' ἀνδρῶν γένος ἠδὲ γυναικῶν,
ἐς τόδ' ἐμοῦ τοῦ δ(εῖνα) μόνον δ' ἔμ' ἔχουσα παρέστω
ἐν φρεσί, δαμναμένη κρατερῆς ὑπ' ἔρωτος ἀνάγκης ....

---

13 *ἀγναῖοι καί* Meineke] *ἀγναῖοί τε.* — 14 *ἐνί* Nauck] *ἐπί.* — *ἔδοντες* Dilthey] *ἔχοντες.* — 15 *ἠνεμόεν δ'* Dilthey] *διδεανεμων.* — Versum supplevit Meineke. — 16 *στάντες* Nauck] *πάντες.* — Post *κεφαλῆς* in cod. *τῆς δ* .... legitur. — *ἀφέλεσθε δέ* Meineke] *αφετλεσθεθε.* — *νήδυμον* Schenkl] *θυτητον γλυκυν.* — 17 *κληιστόν* Nauck] *κυλλιπον.* — 19 *τις ἄλλος* Dilthey] *τιν' ἄλλον.* — *ἑοῖς* Dilthey] *ἔχοις.* — *κόλποισιν* Meineke] *κόλποις.* — 20 *κεῖνον* Miller] *ἐκεινον.* — *ἐγκατ.* Miller] *ἐνκατ.* — 22 *δαμναμένη* Miller] *δαμνομένη.* — *ψυχήν* Meineke] *ψυχή.* — 24 *ἐλθέ, θεά, κέλομαι* Nauck] *λόεσσα ελομαι.* — *αλωος φυλακα καὶ ιωπη* cod., corr. Dilthey, qui *ἰώῃ* edidit. — Puncta pro formulis magicis (*μασκελλι μασκελλω φνουκεντα βαωθορεο βαζαγρα* simil.) hic et infra posita sunt. — 25 *Περσεφόνη* Miller] *περσεφόνα.* — *θεά* Miller addidit. — 26 *βουφόρβη* Miller] *βονοφόρβη.* — 27 *πολύβουλε* Abel] *πυρίβουλε.* — 28 *ἵσταιτ'* Meineke] *ισαιτ'.* — 29 *τοκέων* Dilthey] *τέκνων.* — *τε* Miller addidit. — *τε* Meineke] *δέ.* — *τέκνων τε* Dilthey] *τέκνων.* — 30 *τὸ πᾶν* coni. Meineke. — 31 *ἐς* Abel] *εἰς.* — *δ' ἔμ'* Meineke] *με δ'.*

. . . . πολυώνυμε κυδιάουσα . .
φλέξον ἀκοιμήτῳ πυρὶ τὴν ψυχὴν . . . .
ἐφθ' ὑδάτων κρατέεις καὶ γῆς καὶ σκοονον . . .
<ὃν> καλέουσι δράκοντα μέγαν ἀκροκοδηρεμοι . . .
σπεῦδε τάχιστ'· ἤδη δ' ἐπ' ἐμαῖσι θύραισι παρέστω.

IV. ΕΙΣ ΗΛΙΟΝ.

Ἀεροφοιτήτων ἀνέμων ἐποχούμενος αὔραις,
Ἥλιε χρυσοκόμα, διέπων φλογὸς ἀκάματον πῦρ,
αἰθερίαισι τρίβοισι μέγαν πόλον ἀμφιελίσσων,
γεννῶν αὐτὸς ἅπαντα, τά περ πάλιν ἐξαναλύεις.
ἐκ σοῦ γὰρ στοιχεῖα τεταγμένα σοῖς τε νόμοισι
κόσμον ἅπαντα τρέφουσι τετράορον εἰς ἐνιαυτόν.
κλῦθι, μάκαρ· κλῄζω σε τὸν οὐρανοῦ ἡγεμονῆα
καὶ γαίης χάεός τε καὶ Ἄιδος, ἔνθα νέμονται
δαίμονες ἀνθρώπων οἵ πρὶν φάος εἰσορόωντες.
καὶ δὴ νῦν λίτομαί σε, μακάρτατε, δέσποτα κόσμου,
ἢν γαίης κευθμῶνα μόλῃς νεκύων τ' ἐπὶ χῶρον,
πέμψον δαίμονα τοῦτον ἐμοὶ μεσάταισιν <ἐν> ὥραις,
Νυκτὸς ἐλαυνόμενον προστάγμασι σῆς ὑπ' ἀνάγκης,
οὗπερ ἀπὸ σκήνους κατέχω τάδε (καὶ φρασάτω μοι

33 *κυδιάουσα* Meineke] *κυζαλέουσα*. — 35 *ἐφθ' ὑδάτων κρατέεις* Miller] *ἑπτὰ ὑδάτων κρατεῖς*. — 36 *ὃν* Miller addidit. — 37 *ἤδη δ'* Meineke] *ἠδ'*.

IV Ad hunc hymnum duorum codicum scripturas in notis proposuit Miller. — 4 *ἅπαντα, τάπερ* Meineke] *ἅπανταπερ* (*ἅπαντα ἅπερ*). — 5 *ἐκ σοῦ* Miller] *ἐξ οὗ*. — *σοῖς τε* Dilthey] *σοῖσι*. — 6 *τετράορον* Meineke] *τέτρατον* (*τετραπον*). — 8 *καὶ γαίης* Dilthey ex papyro Berolinensi] *γαίης τε*. — *Ἄιδος* Miller] *αἴδαο* (*ἀίδεος*). — 9 *εἰσορόωντες* Abel] *εἰσοροῶντες*. — 10 *μακάρτατε* Meineke] *μάκαρ ἄφθιτε*. — 11 *μόλῃς* Meineke] *μολῇς*. — *χῶρον* Miller] *χώρων* (*χώρῳ*). — 12 *ἐμοί* Dilthey] *δ(εῖνα)*. — *ἐν* Miller addidit. — 13 *ἐλαυνόμενον* Dilthey ex pap. Berol.] *ἐλευσόμενον*.

ὅσσα θέλω γνώμαισιν, ἀληθείην καταλέξας)
πραῢν, μειλίχιον, μηδ᾽ ἀντία μοι φρονέοντα.
μηδὲ σὺ μηνίσῃς ἐπ᾽ ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς,
ἀλλὰ φύλαξον ἅπαν δέμας ἄρκιον ἐς φάος ἐλθεῖν.
καί μοι μηνυσάτω ὁ δ(εῖνα) τοτ ηποθενη δυνατα μοι
λίχνει τηρεσίαν καὶ τὸν χρόνον παρεδρεύει.
ταῦτα γὰρ αὐτὸς ἔταξας ἐν ἀνθρώποισι δαῆναι
νήματα Μοιράων ταῖς σαῖς ὑποθημοσύναισι· . . . .
κλῄζω δ᾽ οὔνομα σὸν ἱεραῖς μοίραις ἰσάριθμον . . .
ἵλαθί μοι προπάτωρ, κόσμου πάτερ αὐτογένεθλε,
πυρφόρε, χρυσοφαές, φαεσίμβροτε, δέσποτα κόσμου,
δαῖμον ἀκοιμήτου πυρὸς ἄφθιτε, χρυσεόκυκλε,
φέγγος ἀπ᾽ ἀκτίνων καθαρὸν πέμπων ἐπὶ γαῖαν
πέμψον τὸν δαίμονα ὅνπερ ἐξῃτησάμην τῇ δ(εῖνα).

V. ΕΥΧΗ ΠΡΟΣ ΣΕΛΗΝΗΝ ΕΠΙ ΠΑΣΗΙ ΠΡΑΞΕΙ.

Ἐλθέ μοι, ὦ δέσποινα φίλη, τριπρόσωπε Σελήνη,
εὐμενίῃ δ᾽ ἐπάκουσον ἐμῶν ἱερῶν ἐπαοιδῶν,
νυκτὸς ἄγαλμα, νέα, φαεσίμβροτε, ἠριγένεια,
ἡ χαροποῖς ταύροισιν ἐφεζομένη βασίλεια,
ἠελίου δρόμον ἶσον ἐν ἅρμασιν ἱππεύουσα·
ἣ Χαρίτων τρισσῶν τρισσαῖς μορφαῖσι χορεύεις,
ἄστρασι κωμάζουσα, Δίκη καὶ νήματα Μοιρῶν,
Κλωθὼ καὶ Λάχεσις ἠδ᾽ Ἄτροπος εἶ, τρικάρανε,

---

15 ὅσσα Dilthey ex pap. Berol.] ἣν ὅσα. — ἀληθείην καταλέξας Dilthey ex pap. Berol.] ιν ἀληθειη καταλέξῃ (ἐν φρεσὶν πάντα μοι ἐκτελέσῃ) — v. 16 inter v. 13 et 14 inserendum esse coni. Dilthey. — 17 ἐπ᾽ ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς Abel ex pap. Berol.] ἐπ᾽ ἐμαῖς ἱεραῖσιν ἐπῳδαῖς (κραταιραῖς ἐπ᾽ ἐμαῖς ἐπαοιδαῖς). — 18 μου post ἅπαν delevit Miller. — ἄρκιον Dilthey ex pap. Berol.] ἄρτιον. — ἐς Abel ex pap. Berol.] εἰς. — Vv. 19, 20 corrupti sunt; in v. 19 πόθι δηθύνει latere coni. Schenkl, v. 20 λύχνος ἀπειρέσιος coni. Dilthey. — 22 ταῖς Miller] καί. — ὑποθημοσύναισι Abel] ὑποθημοσύνῃσι. — 23 ἱεραῖς μοίραις Dilthey] ὡρῶν μοιρῶν. — ἰσάριθμον Dilthey ex pap. Berol. qui εἰσάριθμον habet] ἐς ἀριθμόν.

V 8 τε καί pro ἠδ᾽ coni. Dilthey.

Τισιφόνη τε Μέγαιρα καὶ Ἀλληκτώ, πολύμορφε,
ἣ χέρας ὁπλίζουσα κελαιναῖς λαμπάσι δειναῖς,
ἣ φοβερῶν ὀφίων χαίτην σείουσα μετώποις,
ἣ ταύρων μύκημα κατὰ στομάτων ἀνιεῖσα,
ἣ νηδὺν φολίσιν πεπυκασμένη ἑρπυστήρων,
ἰοβολοῖς ταρσοῖσι κατωμαδίοισι δρακόντων,
σφιγγομένη κατὰ νῶτα παλαμναίης ὑπὸ δέσμης,
νυκτιβόη, ταυρῶπι, φιλήρεμε, ταυροκάρανε,
ὄμμα δέ τοι ταυρωπὸν ἔχεις, σκυλακώδεα φωνήν,
μορφὰς δ᾽ ἐν κνημοῖσιν ὑποσκεπάουσα λεόντων.
μορφαὶ λύκων σφύρον ἐστί, κύνες φίλοι ἀγριόθυμοι.
τοὔνεκά σε κλῄζουσ᾽ Ἑκάτην, πολυώνυμε, μήνην,
ἀέρα μὲν τέμνουσαν ἅτ᾽ Ἄρτεμιν ἰοχέαιραν,
τετραπρόσωπε θεά, τετραώνυμε, τετραοδῖτι,
Ἄρτεμι, Περσεφόνη, ἐλαφηβόλε, νυκτιφάνεια,
τρίκτυπε, τρίφθογγε, τρικάρανε, τριώνυμε μήνη,
τριναχία, τριπρόσωπε, τριαύχενε καὶ τριοδῖτι,
ἣ τρισσοῖς ταλάροισιν ἔχεις φλογὸς ἀκάματον πῦρ
καὶ τριάδων μεδέεις τρισσῶν δεκάδων τε ἀνάσσεις·
ἵλαθί μοι καλέοντι καὶ εὐμενέως ἐπάκουσον,
ἣ πολυχώρητον κόσμον νυχὸς ἀμφιέπουσα,
δαίμονες ἣν φρίσσουσι καὶ ἀθάνατοι τρομέουσι,
κυδιάνειρα θεά, πολυώνυμε, καλλιγένεια,

---

9 *Τισιφόνη τε Μέγαιρα* Meineke] *περσεφόνη τεμετερα.* — 10 *ἣ χέρας* Miller] *ἡμέρα.* — 11 *ἣ* Meineke] *ἥ.* — *σείουσα* Meineke] *σειεις τε.* — 14 *ταρσοῖσι* Miller] *ταρσοῖσιν.* — *κατωμαδίοισι* Meineke] *καματωδίοισι.* — 15 *δέσμης* Meineke] *δεσμοῖς.* — 16 *ταυρῶπι* Miller] *ταυρώπη.* — *ταυροκάρανε* Abel] *ταυροκάρηνε.* — 17 *δέ τοι* Miller] *δὲ τό.* — 18 *κνημοῖσιν* Dilthey] *κνήμαισιν.* — 19 *μορφόλυκον* dubitanter coni. Meineke; *σοί τε λύκοι φίλοι εἰσί* coni. Schenkl. — *ἐστί* Meineke] *εστιν.* — 20 *σε* Miller] *γε.* — *Ἑκάτην* Abel] *Ἑκάταν.* — *πολυώνυμ᾽ ἐρήμην ἀέρα κτλ.* coni. Meineke. — 22 *τετραοδῖτι* Miller] *τετραοδευτε.* — 24 *μήνη* Meineke] *σελήνη.* — 25 *τριναχία* Abel] *θριναχία.* — 27 *τριάδων* Dilthey] *τρισσῶν.* — *δεκάδων* Miller] *δεκάτων*; Meineke *δεκάνων* coni. — 28 *ἐπάκουσον* Meineke] *εἰσάκουσον.* — 29 *νυχός* Miller] *νυκτός.* — 31 *κυδιάνειρα* Abel] *κυδιάνειρε.*

ταυρῶπις, κερόεσσα, θεῶν γενέτειρα καὶ ἀνδρῶν,
καὶ φύσι παμμήτειρα· σὺ γὰρ φοιτᾷς ἐν Ὀλύμπῳ
εὐρεῖαν δέ τ' ἄβυσσον ἀπείριτον ἀμφιπολεύεις.
ἀρχὴ καὶ τέλος εἶ, πάντων δὲ σὺ μούνη ἀνάσσεις.
ἐκ σέο γὰρ πάντ' ἐστὶ καὶ ἐκ σέο πάντα τελευτᾷ·
ἀέναον διάδημα τεοῖς φορέεις κροτάφοισι,
δεσμοὺς ἀρρήκτους ἀλύτους μεγάλοιο Κρόνοιο,
καὶ χρύσειον σκῆπτρον ἑαῖς κατέχεις παλάμαισι.
χαῖρε, θεά, καὶ σαῖσιν ἐπωνυμίαις ἐπάκουσον.
γράμματα τῷ σκήπτρῳ ἅγια Κρόνος ἀμφεχάραξε,
δῶκε δέ σοι φορέειν, ὄφρ' ἔμπεδα πάντα μένοιεν,
δαμνώ, δαμνογόνη, δαμασάνδρα, δαμνοδάμεια,
σὺ δὲ φάους μεδέεις αραραχαραρα ηφθεισικηρε.
θύω σοὶ τόδ' ἄρωμα, Διὸς τέκος, ἰοχέαιρα,
οὐρανία, λιμνῖτις, ὀρείπλανε εἰνοδία τε,
νερτερία νυχία τ', ἀιδωναία σκοτία τε,
ἥσυχε καὶ δασπλῆτι, τάφοις ἔνι δαῖτας ἔχουσα,
νύξ, ἔρεβος, χάος εὐρύ· σὺ γὰρ δυσάλυκτος ἀνάγκη
μοῖρά τ' ἔφυς, σύ τ' ἔρις, βάσανος, ὀλέτις σύ, δίκη σύ.
Κέρβερον ἐν δεσμοῖσιν ἔχεις φολίδεσσι δρακόντων
κυανέα, ὀφιοπλόκαμος καὶ ζωνοδρακόντι,
αἱμοπότις, θανατηγέ, φθορηγόνε, καρδιόδαιτε,

32 ταυρωπις Dilthey] ταυρῶπι. — 33 παμμήτειρα Meineke] παμμήτωρ. — σὺ Miller] οὐ. — 36 ἐκ σέο Miller] ἔξεω. — ἐκ σέο Meineke] εἰσαιωνε. — 37 τεοῖς Abel] σοῖς. — 39 χρύσειον Meineke] χρύσεον. — παλάμαισι Abel] παλάμαισιν. — 40 ὑπάκουσον coni. Meineke. — 41 ἅγια Abel] ἅ τοι (ἅ γε τοι Miller). — ἀμφεχάραξε Abel] ἀμφεχάραξεν. — 42 σοί Meineke] σθι. — 43 δαμνογόνη Dilthey] δαμνογένεια. — δαμασάνδρα Meineke] δαμάσανδρα. — δαμναναναία gnosticum vocabulum coni. Dilthey. — 44 φάους Dilthey] χάους. — 46 λιμνῖτις Dilthey] λιμνῖτι. — ὀρείπλανος? — εἰνοδία Meineke] εἰνοδίαι. — 47 μυχία coni. Meineke. — τ' ἀιδωναία Meineke] τε ἀιδωναῖα. — 50 μοῖρά τ' Meineke] μοῖρα δ'. — ἔρις Meineke] ἔριννς. — βάσανός τ'? — ὀλέτις σύ Meineke] ολετισι. — 51 φολίδεσσι Meineke] φολίσιν σύ. — 52 κυανέα Abel] κυανέη. — ὀφιοπλόκαμος Dilthey] ὀφεοπλόκαμε. — ζωνοδρακόντι Meineke] ζωνοδράκοντι. — 53 αἱμοπότις Dilthey] αἱμοπότι. — καρδιόδηκτε? — φθορηγόνε Meineke (-ήγονε Miller)] φθορηγενες.

σαρκοφάγος, κοπετόκτυπ᾽, ἀωροβόρ᾽, οἰστροπλάνεια,
ἔλθ᾽ ἐπ᾽ ἐμαῖς θυσίαις καί μοι τόδε πρᾶγμα ποίησον.

Hymnus in Isim.[1])

[Col. I.]

Αἰγύπτου βασίλεια λινόστολε, τᾷ γονοέσσας
αὔλακος ἀρχαία μέλεται πολύπυρος ἀγυιά,

---

54 *σαρκοφάγος* Dilthey] *σαρκοφάγε.* — *σαρκ. καὶ ἀωροβόρε κοπετόκτυπε οἰστροπλάνια* cod., corr. Miller.

[1]) De hymno in Isim haec rettulit Ross in Inscriptionum Graecarum Ineditarum fasciculo secundo (Athenis 1842 p. 3 sqq.): „Hymnum in Isidem reperi [in Andro insula mense Iulio anni 1844] inter rudera antiquae urbis, ad casam *Ἰαννάκη Λουκρέζη*. Tabula est oblonga, albi marmoris, quatuor columnis [47 versuum] inscripta; sed titulum pessime habitum adeo festinanter transscribere coactus fui, ut difficiliora attingere non possem. Exscripsi igitur tantum Col. I et IV; verum si cui otium contingat, tabulamque commode ad lucem obvertat, crediderim etiam Col. II partem superiorem, et per totam fere Col. III dimidiam versuum partem qua Col. IV attingunt, legi et transscribi posse“. Col. II et III descripsit, reliqua contulit Welcker (Mus. Rhen. II 1843 p. 436 sqq).

Textum a Rossio editum iterum emendatius imprimendum curaverunt Sauppe (*ΥΜΝΟΣ ΕΙΣ ΙΣΙΝ*. Hymnus in Isim. Ab L. Rossio repertum primum distinxit emendavit annotavit Hermannus Sauppius. Turici MDCCCXLII), Bergk (in „Zeitschrift für die Alterthumswissenschaft, herausgeg. von Theodor Bergk und Julius Caesar“ Marburg. 1843 p. 36—46, 49—52) et Welcker (Mus. Rhen. II 1843 p. 327—334.) Plurima etiam G. Hermann emendavit (Z. f. Alt. 1843. p. 377—383). Quae Schmitz de hoc carmine in „The Classical Journal“ (London 1843 p. 34 sqq.) disseruit, non legi. Hymnum ad Isidis templum quod erat Andri olim pertinuisse veri quam simillimum, poetam ex Nonni schola prodiisse certum est.

De ipsa re imprimis dignus est qui conferatur Diodorus Siculus I c. 27,3 sqq.: *Οὐκ ἀγνοῶ δέ, διότι τινὲς τῶν συγγραφέων ἀποφαίνονται τοὺς τάφους τῶν θεῶν τούτων ὑπάρχειν ἐν Νύσῃ τῆς Ἀραβίας, ἀφ᾽ ἧς καὶ Νυσαῖον τὸν Διόνυσον ὠνομάσθαι. εἶναι δὲ καὶ στήλην ἑκατέρου τῶν θεῶν ἐπιγεγραμμένην τοῖς ἱεροῖς γράμμασιν. ἐπὶ μὲν οὖν τῆς Ἴσιδος ἐπιγεγράφθαι· Ἐγὼ Ἶσίς εἰμι ἡ βασίλισσα πάσης χώρας, ἡ παιδευ-*

σειστροφόρος Βούβαστος, ἀμαλλοτόκοισί τε Μέμφις
γαθομένα πεδίοισιν, ὅπᾳ στάλαν ἀσάλευτον
εἷσε φιλοθρέσκων ἱερὸς νόμος ἐκ βασιλήων,
σᾶμα τεᾶς, δέσποινα, μοναρχίας, ἱκέταισι
λαοῖς ἀπύοισαν. ἐγὼ χρυσόθρονος Ἶσις
ῥωμαλέα σκάπτροισιν, ὅσαν πυριλαμπέος ἀκτὶς
ἀελίω σελάγεσκε βολαῖς φορβάμονα γαῖαν,
ἀσφαλέων Ἑρμᾶνος ἀπόκρυφα σύμβολα δέλτων
εὑρομένα, γραφίδεσσιν ἅ τ' ἔξυσε πᾶσι χαράξας
φρικαλέον μύσταις ἱερὸν λόγον, ὅσσα τε δάμοις
ἀτραπὸν ἐς κοινὰν κατεθήκατο, πάντα βαθείας
ἐκ φρενὸς ἐκφάνασα διακριδόν. ἅδε θυγατρῶν
πρέσβα Κρόνω θυγάτηρ Ἶσις, δάμαρ εὐρυμ[έδοντος]

θεῖσα ὑπὸ Ἑρμοῦ, καὶ ὅσα ἐγὼ ἐνομοθέτησα, οὐδεὶς αὐτὰ δύναται λῦσαι. ἐγώ εἰμι ἡ τοῦ νεωτάτου Κρόνου θεοῦ θυγάτηρ πρεσβυτάτη. ἐγώ εἰμι γυνὴ καὶ ἀδελφὴ Ὀσίριδος βασιλέως. ἐγώ εἰμι ἡ πρώτη καρπὸν ἀνθρώποις εὑροῦσα. ἐγώ εἰμι μήτηρ Ὥρου τοῦ βασιλέως. ἐγώ εἰμι ἡ ἐν τῷ ἄστρῳ [τῷ κυνὶ] ἐπιτέλλουσα. ἐμοὶ Βούβαστος ἡ πόλις ᾠκοδομήθη. χαῖρε, χαῖρε, Αἴγυπτε ἡ θρέψασά με. ἐπὶ δὲ τοῦ Ὀσίριδος ἐπιγεγράφθαι λέγεται· Πατὴρ μέν ἐστί μοι Κρόνος νεώτατος θεῶν ἁπάντων, εἰμὶ δὲ Ὄσιρις ὁ βασιλεύς, ὁ στρατεύσας ἐπὶ πᾶσαν χώραν ἕως εἰς τοὺς ἀοικήτους τόπους τῶν Ἰνδῶν καὶ τοὺς πρὸς ἄρκτον κεκλιμένους μέχρι τῶν τοῦ Ἴστρου ποταμοῦ πηγῶν, καὶ πάλιν τἆλλα μέρη ἕως Ὠκεανοῦ. εἰμὶ δὲ υἱὸς Κρόνου πρεσβύτατος καὶ βλαστὸς ἐκ καλοῦ τε καὶ εὐγενοῦς ᾠοῦ σπέρμα συγγενὲς ἐγεννήθην ἡμέρας. καὶ οὐκ ἔστι τόπος τῆς οἰκουμένης εἰς ὃν ἐγὼ οὐκ ἀφῖγμαι, διαδοὺς πᾶσιν ὧν ἐγὼ εὑρετὴς ἐγενόμην. τοσαῦτα τῶν γεγραμμένων ἐν ταῖς στήλαις φασὶ δύνασθαι ἀναγνῶναι, τὰ δ' ἄλλα ὄντα πλείω κατεφθάρθαι διὰ τὸν χρόνον.

4 τᾷ Bergk] υλι. — 6 μοναρχίας Sauppe, Welcker] μοναρχειας. — ἱκέταισι Abel] ἱκέταισιν. — 7 Ἶσις Sauppe] εισις. — 10 ἀσφαλέων Hermann] δειφαλεωδ. — σύμβολα Rossii apographum, συνβολα est in lapide. — 11 γραφιδεσσι κατεξυσε ταισι χαρ. lapis, corr. Hermann. — 12 δάμοις Hermann] δαμος. — 14 ἐκφάνασα Sauppe] υφανασα. — θυγατρῶν Hermann] τυραννων. — 15 Ἶσις Sauppe] εισις. — Versum suppleverunt Welcker et Sauppe.

ἐμμὶ πολυζάλωτος Ὀσίριδος, ᾧ πότ' ὀ[παδὸς]
τὰν αὐτὰν ἀνέλυσα γενέθλιον [αὔλακα ῥίζας]
βριθομένα σοβαροῖς ἑλικόπλοκος [ἀμφὶ προσώποις]
αἰπυνόῳ βασιλῆος, ὃν ὠρανὸς ἐπρέσ[βευσε],
θεσμοθέτις μερόπων, τὼς [οὔ τις ἀνὴρ καταλύσει]
οὐδ' ἀπαμαυρώσει πο[λλὸς χρόνος, οὐδέ ποτέ σφιν]
ἐμπελάσει λά[θα] . . . .
ἀστροφόροι . . . .
θῆλύ τε γὰρ . . . .
ἐξέκαμον . . . .
Ἶσις ἐγὼ πολύβουλος . . . .
καὶ χθόνα μυδαλέαν . . . .
ἐς κρίσιν ὠρανίοισι καταχθονίοις . . . .
ἀτραπιτὸν πλαγκτὰν . . . .
λοξοπόρου σελάγεσ[κε κατ' αἰθέρ]α καὶ πυροέντων
ἀέλιον πώλων ἀγήτορα φαίνοπα κύκλων
ἐς πόλον ἰθύνεσκον, ἵν' εὐκόσμοισι πορείαις
ἄξονες ἰλίγγοισι περικτυπέοντι διαύλῳ
νύκτα διακρίνωσιν ἀπ' ἤματος. ἅδε θαλάσσας
πρᾶτον ἐν ἀνθρώποισι περάσιμον ἤνυσα μόχθον.
ἅδε δικασπολίᾳ ῥώμαν πόρον, ἅδε γενέθλας
ἀρχὰν ἀνδρὶ γυναῖκα συνάγαγον· εὖ τε σε[λά]νας

---

16 *Ὀσίριδος* Sauppe] *οσειριδος*. — Iota subscriptum in *ῳ* (v. 16) Bergk et Sauppe, in *διαύλῳ* (v. 33) Bergk, Sauppe, Welcker addiderunt. Versum suppl. Sauppe. — Vv. 17–22 Hermann supplevit. — 18 *ἑλικόπλοκος* Hermann] *ελινοτροπος*. — 19 *βασιλῆος ὃν ὠρανός* Bergk] *βασιληιος ον ωι \ νος*. — *ἐπρέσβευσεν* Hermann] *ειγρες* . . — Ad v. 20—21 Sophoclem (O. T. 867 sqq.) conferri iubet Schenkl. — 20 *τώς* Hermann] *γως*. — 21 *πο[λλὸς]* Abel scripsit (*δαμάτωρ* Hermann). — 22 *ἐμπελάσει λάθα* Hermann] *ενπετασειλα* .. — 26 *Ἶσις* Sauppe] *εισις*. — 28 *ὠρανίοισι* Bergk, Sauppe] *ωιανιοισι*. — *καταχθονίοις* Bergk] *κα . . . χιον . . ος* . . — 29 *πλαγκτάν* Bergk] *πλαγκτει*. — 30 suppl. Bergk. — 31 *φαίνοπα* Bergk, Sauppe] *φαινονα*. — 32 *ἰθύνεσκον* Bergk, Sauppe] *ειθυνεσκον*. — *ἵν'* Bergk, Sauppe] *αν*. — 34 *διακρίνωσιν* Bergk, Sauppe] *διακρεινωσιν*. — 35 *ἤνυσα* Bergk, Sauppe, Welcker] *ηνεσα*. — 37 *σελάνας* Bergk, Sauppe, Welcker] *σε . . τας*.

ἐς δεκάταν ἀψῖδα τεθαλότος ἄρκιον ἔργου
φέγγος ἐπ' ἀρτίγονον βρέφος ἄγαγον· ἅδε γονήων
ἀζομένως τιμὰν ἔτι νηπιάχως ὑπὸ μαζῷ
κωφισμοῖς ἐδίδαξα μελίφροσι, φοιτάδι δ' ὀργᾷ
μᾶνιν ἐρεισαμένα μυκάμονος ἄχρις ἐπ' εὐνὰς
Ἄιδος ἠπείλησα μελαμφαέων τε βερέθρων
ἀστόργοις φυλακὰν βαρυπάμοσιν. ἐμμὶ δ' ἀρούρας
πυροτόκω μεδέοισα, δαϊξάνδρων ἀπὸ χειρῶν
ἐχθομένα βρώμαν, ἃν φωλάδες ἔστυγον ἄρκτοι,
τὰν λύκος ἀρπακτὰς λιμῷ τεθοωμένος ἀλκὰν

[Col. II.]

δυσπαθέων, ἀπενή[ναθ' ὁμαίμον]ος οὐλα[μὸν ἄγρας],
τλαθύμων [δ' ἀγέλᾳ βορὸν] ἀνθερεῶν[α πελ]άσσας
ἀγροίκοις τὼς δρυμὸς ἀμείλιχος [ἔτρεφεν οὔτι]
φείσατ' ὄν[ων] σκιεροῖσιν ἐν ὤρεσι θυ[μὸν ἰαίνων]
. . . .
θώσσοισιν . . . .
. . . . ονεον λάπτοισα φιλατόκα σαμ
. . . . μαιμῶοντε τατασιν . . . .
. . . . αὐχμῶδε[ι . . . . .
. . . . [ἀνθ]ρώποισινοτασω . . οντατον
. . . . εονιον . . . . εσσω . .

38 ἀψῖδα Sauppe, Welcker] αψειλα. — ἄρκιον Hermann] ἄρτιον. — 39 γονήων Bergk, Sauppe, Welcker] γονηιων. — 42 μυκάμονος Bergk, Welcker (μωκάμονος Hermann)] μυκαμωνος. — 43 μελαμφαέων Hermann] μελαμφαρον. — 45 πυροτόκω Hermann] πυρνοτοκω. — δαϊξάνδρων Bergk, Welcker] δαιξανδ . ων. — χειρῶν Hermann] μειρων. — 46 ἐχθομένα Hermann] ἐχθομεναν. — ἔστυγον Bergk, Sauppe, Welcker] εστυσον. — Vv. 48—51 supplevit Hermann. — 48 οὐλαμόν Hermann] ουδα. — 49 τλαθυμωνο . . . κεν . . . . . ανερεων . . . ασσας est in lapide, corr. Hermann. — 50 ἀγροίκοις τὼς et ἀμ. Hermann] αγροικιοσιωσ et μειλιχος. — 51 φεισατον.σωζεμοσενωφεσιου est in lapide, corr. Hermann.

Col. II et III inde a v. 52 Abel primus distinxit, nisi quod iam Welcker v. 97, 103, 109, 110, 111, 120 expedivit. — 53 θωσσοισσον. — 54 ααπτοισα. — 56 αυχμωλε.

τειραν . . . .
μητέρα κ . . . .
αὔλακ᾽ ἔκυμαν . . . .
ἄμητον δρεπ[αν . . . .
ἄμπελον ἐκπρο . . . .
ἁμερίῳ καμάτῳ . . . .
ἔργα κασιγνήτας ἐ . . . .
ἱκέσιος βρυαθῳ . . . .
πᾶσα δὲ μιταναο . . . .
δρῦς ει . . . .
εισι . . . .
καὶ πρυταν . . . .

[Col. III.]

. . . . αχ. χος ἔπλασε μῦθος .
. . . . ατο ναως . . . . .
. . . . π . . . . . ονδε μοναρχῶν .
. . . . ονωια . . . . ον Ἐνυώ . . . .
. . . . περστ . . . . ἀρὰν ω . . . .
. . . . ἐπὶ τάρτα . . . ας ἐνιπαῖς . . . .
. . . . δεοσ . . . ἀν᾽ ἄγρας . . . . .
δῶκα . . . . θανιον ἀνδρὶ γυναῖκα . . . .
ἀμφ . . . . οδαγρον αὐχένος αἶπος
αθμ . . . . [κ]ατεύνασεν ἅσυχα πειθώ .
. . . . μαδεσ . . . θελγέος ἠδ᾽ ἀμαρυγᾶς . . . .
. . . . ερεχτερον ἐν πολιήταις
. . . . ην ἄμμι δ᾽ ἀμαυρὰς . .
. . . . νεγ αἰόλον.. ἀντὶ δ᾽ ὀλισθρᾷ
. . . . λάχεν. εἴδεα δ᾽ ἁγνά .
. . . . εἴδεσι πάστως .
. . . . α πεύκας . . . .

82 μετερα. — 85 αμητυν. — 89 εικεσιος. — 104 οεαγεοσ. — ἠδ᾽ fortasse corruptum est.

. . . . χ ὑμεναίοις . . . .
. . . . αδος ὀμφὰς . . .
. . . . οἶμαν . . . . .
. . . . εὔστοχον οὖροις . .
. . . . αἶσχους . .
. . . . ον οἴκῳ . .
. . . . ἐν δὲ βαρεῖαι .
. . . . μερίμνας . . .
. . . . ον ἐλαύνει .
. . . . α δ' Ἐρινὺς .
. . . . ωι . . . .
. . . . δα . . .
. . . . ο . . . .
. . . .
. . . . ξ . . . . .
. . . . σ . . . .
. . . . λιοπλαεσ . . . .
. . . . αμοναρειπα . .
. . . . δ' ὀρίνειν . .
. . . . γαλάναν . .
. . . . υνομεμ . .
. . . . υσσω . . .
. . . . αιαδοσ . .
. . . . κεταιαμας
. . . . ευ . . .

Col. IV.

ἀελίω βασιλῆος ὁμᾷ συν . . . .
καί με καλεῦσι πάρεδρον· ἐλα . . . .
συμφέρομ' ἀκτίνεσσι κάτω . . . .
ὅσσα δ' ἐμὸς γνώμων νόος εἴσιδ[εν ἀρχεγένεθλα]

---

120 ερειννσ. — 129 δορεινειν. — 136 βασιλῆος Bergk] βασιληιον. — 138 συμφ. ἀκτὶν. Bergk, Sauppe] συνφερομακτεινεσσι. — 139 suppl. Hermann.

ἐς πέρας ἰθύνω· τὰ δ' ὑπείροχον ἀγκαλέ[οντα]
κῦρος ὑποκλάζοισ', ὑπάταν βασιληίδα τ[ιμὰν]
πτήσσονθ' ἁματέραν. δεσμῶν δ' ἀέκουσαν ἀν[άγκαν]
ἀλλύω· πλωτὰ δὲ φιλεύδιος Ἀμφιτρίτα
νηυσὶ μελαμπρῴροισιν ὑπαὶ παχνώδεος αὐχμῶ,
ἀνίκα μειδάμων, ἱλαρὰν ἐρύθοισα παρειάν,
ἀμπετάσω Τηθὺν γλαυκώλενον· ἐν δ' ἀπεράτοις
βένθεσιν ἀστιβέα πλαγκτὰν ὁδόν, εὖτέ με θυμὸς
κορθύσῃ, κλονέω· παντᾷ δὲ μελανθέι ῥοίζῳ
σπερχόμενος βαρὺ πόντος ἐνὶ σπήλυγξι βαθείαις
μυκᾶτ' ἐξ ἀδύτων· πράτα δ' ἐπὶ σέλματι δούρων
κολπωτὰν ὀθόναισι θοὰν τρόπιν ἰθύνεσκον,
οἶδμα καθιππεύοισα· δαμαζομένας δὲ θαλάσσας
ὠκυπόροις ἐλάταις ἑλικὰν ἔστασε χορείαν
Δωρίδος εὐλοχία· περιπάλλετο δ' ἐν φρεσὶ θάμβος
εἰρεσίαν ἀδάητον ἐν ὄθμασι παπταινοίσαις.
Ἶσις ἐγὼ πολέμω κρυερὸν νέφος ἔρκεσι μόχθων
ἀμφέβαλον, κλῄζοισι πολυκτέανον βασίλειαν
θεσμοφόρον. νάσως δὲ βαθυνομένας ἀπὸ ῥιζᾶν
ἐς φάος ἐκ βυθίας ποτανάγαγον ἰλύος αὐτά,
ὤρεα καὶ πε[δίω]ν σπορίμαν βάσιν, ὀργάδα τ' ἄκραις
στηρικταῖ[ς ζείδω]ρον ὑπερτείνοισα, βοαύλοις
μαλοκόμοι[ς πλήθοισ]αν· ἐπ' ἀφριόεντι δὲ Νηρεὺς
πλάσσεν ὕ[δει τεύ]χων περὶ μάρμαρον ἄνθεσιν ἄχνας,
φλοῖσβο[ν ὑπὸ β]ρεμέθοντα ποτὶ κροκάλαισιν ἀράσσων

---

140 *υπειροχοπανκαισ* . . est in lapide, corr. Hermann. — 141 *τιμάν* Bergk, Welcker] *τε* . . . — 142 *ἀνάγκαν* Bergk] *αι* . . . — 143 *ἀλλύω* Bergk, Sauppe pro *ανλυω*, quod contra nostrum scribendi morem est. — 144 *μελαμπρωροισιν* lapis. — 146 *ἐν δ' ἀπεράτοις* Sauppe] *εν δε περητοισ*. — 155 *ἐν* Hermann] *ετ*. — 160 suppl. Bergk, Sauppe, Welcker. — 161 suppl. Sauppe. — 162 *μαλοκόμοις* restituerunt Sauppe, Welcker; cetera Hermann supplevit (*πλήθοισαν* Abel, *πλήθουσαν* Hermann). — 163 *πλάσσεν* Hermann] *πλλσετ*. — *ὕδει* pro *υ* . . . Sauppe. — *τεύχων* Hermanno debetur.—164 *φλοῖσβον* Sauppe] *φλογερο* . .—Cetera in vv. 164—168 Hermann supplevit. — 164 *ποτὶ κρ. ἀράσσων* Hermann].*οτινοκαδαισιναρασσω*.

[χοιράδας· ἀμφὶ λό]φως δὲ κατ᾽ ὀφρύος ἑρσάεσσαν
[κεκλιμέναν φέρ]βω ποτὶ ματέρα περκάζοισαν
[ὄμφακα χαρμοδ]ότειραν· ὑπερφιάλοις δὲ κεραυνῷ
[ἀστράπτοισα β]ολαῖς στιβαρὰν θνατοῖσ[ιν] ἀπειλάν
— — — — — — — — — — — — — — —

---

166 Pro *βω* fort. *ρω* est in lapide. — *απεικαζοισαν* est in lapide, corr. Hermann; *ματέρ᾽ ἀπεικασθεῖσαν* Bergk. — 167 *ὑπερφιάλοις* Sauppe] *υπερναλοισ* (*ν* incertum). — 168 *θνατοῖσιν* Bergk, Sauppe] *ονατοσ* . . . . — Post v. 168 sequuntur quindecim versus litteris ita corrosis ut legi nequeant.

Indices.

I. Index nominum.

(Siglis A. = Argonautica, E. = *Εὐχὴ πρὸς Μουσαῖον*, H. = Hymni, L = Lithica, F. = Fragmenta designantur).

II. Index scriptorum, apud quos poësis Orphicae fragmenta servata sunt.

(Numeri unciniss inclusi fragmentorum Orphicorum sunt.)

III. Tabula libri.

Appendix.

Indices Orphicorum.

Gressner & Schramm. Leipzig.


Stanford University Libraries
3 6105 020 018 003

